

Day & Son, Lithrs to the Queen

ΝΙΚΟΛΑΟΣ

Ο ΜΕΘΩΝΗΣ ΤΗΣ ΛΑΚΩΝΙΚΗΣ ΕΠΙΣΚΟΠΟΣ,

ΩΣ ΕΝ ΤΑΙΣ ΚΑΤΑ ΤΟΝΑΘΩΝΤΟΙΧΟΓΡΑΦΙΑΙΣ ΕΙΚΟΝΙΖΕΤΑΙ.

ΕΓΕΝΝΗΘΗ ΔΕ ΟΥΤΟΣ ΤΩΙ Α,ΣΚΒ' ΚΑΙ

ΕΤΕΛΕΥΤΑΤΩΙ Α,ΣΝΖ'

ΝΙΚΟΛΑΟΥ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ

ΜΕΘΩΝΗΣ

ΛΟΓΟΣ ΠΡΟΣ ΤΟΥΣ ΛΑΤΙΝΟΥΣ

ΠΕΡΙ

ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΟΤΙ ΕΚ ΤΟΥ

ΠΑΤΡΟΣ ΟΥ ΜΗΝ ΚΑΙ ΕΚ ΤΟΥ ΥΙΟΥ

ΕΚΠΟΡΕΥΕΤΑΙ.

ΠΡΩΤΟΝ ΗΔΗ ΕΚΔΙΔΟΜΕΝΟΣ ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΙΜΩΝΙΔΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.



ΕΝ ΛΟΝΔΙΝΩΙ

ΤΥΠΟΙΣ ΓΙΛΒΕΡΤΟΥ ΚΑΙ ΡΙΒΙΝΓΤΩΝΟΣ.

ΑΩΝΗ'.

ΤΩΙ

ΠΑΝΑΓΙΩΤΑΤΩΙ

ΚΑΙ ΕΝ

ΠΑΤΡΙΑΡΧΑΙΣ ΣΟΦΩΤΑΤΩΙ ΤΕ ΚΑΙ ΚΛΕΙΝΟΤΑΤΩΙ

ΓΡΗΓΟΡΙΩΙ ΤΩΙ ΣΤ'

ΤΩΙ ΤΗΣ

ΑΜΩΜΗΤΟΥ ΤΕ ΚΑΙ ΑΚΙΒΔΗΛΟΥ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ

ΕΛΛΗΝΩΝ ΕΚΚΛΗΣΙΑΣ

ΓΕΝΝΑΙΟΤΑΤΩΙ ΠΡΟΜΑΧΩΙ ΚΑΙ ΣΤΥΛΩΙ ΑΚΡΑΔΑΝΤΩΙ

ΕΙΣ ΕΥΓΝΩΜΟΣΥΝΗΣ

ΑΪΔΙΟΥ ΤΕΚΜΗΡΙΟΝ

ΤΑ ΔΥΩ ΠΡΩΤΑ ΤΩΝ ΣΥΓΓΡΑΜΜΑΤΩΝ

ΤΗΣ ΔΕ ΤΗΣ ΒΙΒΛΟΥ

ΠΑΝΕΥΛΑΒΩΣ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ.

ΝΙΚΟΛΑΟΣ, Ο ΜΕΘΩΝΗΣ ΕΠΙΣΚΟΠΟΣ, *ἐξ οὗ τοσοῦτος ἔρρευσε πλοῦτος θεολογικῶν ναμάτων, ἦν πατρὸς μὲν Εὐλογίου πρεσβυτέρου, μητρὸς δὲ Κυριακῆς ἐκ τῆς κατὰ Θρᾴκην Μεθώνης (Α′)*[1] *ἄμφω ὁρμωμένων, ἐν ᾗ καὶ ὁ υἱὸς αὐτῶν Νικόλαος ἐγεννήθη· ὃς ἀκουστὴς γενόμενος Ἀνδρονίκου τινὸς, θείου πρὸς μητρὸς αὐτοῦ τυγχάνοντος, τὴν δὲ σοφίαν δεινοῦ κατ' ἐκεῖνο καιροῦ ὄντος, καὶ τὴν θεολογίαν οὐδενὸς δεύτερος, καὶ ἐν Βυζαντίῳ τότε δημοσίᾳ διδάσκοντος, ταχὺ ἐθαυμάσθη ἐφάμιλλος τοῦ ἑαυτοῦ διδασκάλου γενόμενος. Εἰς Ἄθων δὲ ἀπὸ Βυζαντίου ἐλθὼν ἅμα τῷ Ἀνδρονίκῳ, τὴν μοναστικὴν πολιτείαν ἠσπάσατο καὶ ἐν τῇ τῶν Θεσσαλονικέων (Β′) μονῇ κατέμεινεν ἐπὶ χρόνον τινὰ, καύχημα γενόμενος τῆς μονῆς ἐκείνης, καὶ παράδειγμα τῶν συναδελφῶν αὐτοῦ· ἀσθενείᾳ δὲ περιπεσὼν εἰς τὴν τοῦ Κώνστα μεταβαίνει μονὴν (Γ′), ἐν ᾗ παραμείνας μικρὸν καὶ ὑγιὴς γενόμενος εἰς τὴν τῶν Θεσσαλονικέων αὖθις ἐπανακάμπτει μονήν. Μετὰ δὲ ταῦτα εἰς Πελοπόννησον ἀφικνεῖται ἐξ Ἄθω ἀπάρας, καὶ πρὸς τὸν ἐκ πατρὸς θεῖον αὐτοῦ Χρύσανθον τοὔνομα Ἱεράρχην ὄντα Μεθώνης τῆς Λακωνικῆς παραγίνεται σὺν τῷ Ἀνδρονίκῳ, παρ' ᾧ καὶ κατέμεινε πρεσβύτερος ἀπὸ Ἱεροδιακόνου ὑπ' ἐκείνου προχειρισθείς· μεθ' ὃ καὶ Πρωτοσύγγελος ἀνεδείχθη τῆς Μεθωναιέων Ἐκκλησίας. Χρυσάνθου δὲ τελευτήσαντος ἐπίσκοπος Μεθώνης ὁ Νικόλαος χειροτονεῖται κελεύσει τῆς τοῦ Χριστοῦ μητρὸς ἡμῶν Μεγάλης Ἐκκλησίας τῷ ͵ΑΣΚΔ′ σωτηρίῳ ἔτει δύω καὶ τεσσαράκοντα ἐτῶν ὢν τὴν ἡλικίαν, ὥς φησι Στέφανος Ἱερομόναχος ὁ Ἀθηναῖος (Δ′) ἐν τῇ τρίτῃ τῶν τοῦ Ἄθω ἐνδόξων ἀνδρῶν. Τρία δὲ πρὸς τοῖς τριάκοντα ὁσίως ποιμεναρχήσας ἔτη, ἐτελεύτα ἐν εἰρήνῃ τῷ ͵ΑΣΝΖ′ Ἰνδικτιῶνος δωδεκάτῃ.*

[1] Ὅρα ἐν τῷ τέλει τὰς σημειώσεις.

Ἔγραψε δὲ οὗτος οὐκ ὀλίγα σοφὰ συγγράμματα, δι' ὧν τοὺς καινοτομοῦντας ἀριδήλως ἐξελέγχει, καὶ περὶ ὧν μάλιστα Νικηφόρος Βλεμμύδης, ἐπίκλην φιλόσοφος ἐμμέτρῳ λόγῳ φησὶ τάδε

"Ὅσοι γὰρ θεσμοὺς πατέρων Χριστοφόρων,
Ἀποστολικάς τε παραδόσεις ἐνθέους
Πίστεως ἁπλῆς, ἀληθεστάτους ὅρους
Θέλετε ἰδεῖν ἀμέμπτους ὀρθοδόξους,
Δεῦτε πρόσιτε τῷ σοφῷ διδασκάλῳ,
Νικολάῳ λάμψαντι νέῳ Μεθώνης,
Ἔνθους ἀρετῆς, σώφρονος συνουσίας,—
Ἣν ἔννομοι κυροῦσι τῆς Γραφῆς τύποι.
Ὁ τῶν δε πατὴρ γνησίων νοημάτων,
Δι' ὧν νόθον κύλικα καὶ πορνικοῦ σπόρου,
Ἔξωθεν ἕλκων, ἀλλόφυλον ὡς γένος
Πρὸς ἐξαπάτην τῶν λόγων τοὺς φληνάφους
Ἤλεγξε κατέβαλε ῥίψας εἰς χάος,
Καὶ συλλογισμῶν τοὺς ἀσυμπλόκους βρόχους
Ἔλυσεν ἄρδην, ὡς ἀραχνίους μίτους."

Καὶ τοσαῦτα μὲν τὰ τοῦ Νικηφόρου. Τὰ δὲ συγγράμματα, ἅ περ ὁ ἱερὸς Νικόλαος συνετάξατό ἐστι τὰ ἑξῆς.

Πρῶτον, Περὶ πρωτείων Πάπα.

Δεύτερον, Συλλογισμὸν περὶ τῆς τοῦ Παναγίου Πνεύματος ἐκπορεύσεως.

Τρίτον, Περὶ ἐκπορεύσεως αὖθις τοῦ Παναγίου Πνεύματος δεύτερον συλλογισμόν.

Τέταρτον, Περὶ ἀζύμων.

Πέμπτον, Περὶ ἀζύμων αὖθις δεύτερον σύνταγμα.

Ἕκτον, τὸ ἀνὰ χεῖρας, ὃ καὶ ἀποδίδωσιν ὁ σοφὸς Φαβρίκιος, κακῶς ποιῶν, νεωτέρῳ τινὶ Νικολάῳ τὸν τοῦ Νικηφόρου παρανοήσας ἔμμετρον λόγον. Καὶ γὰρ ὁ ποιητὴς εἰπών,

"Δεῦτε πρόσιτε τῷ σοφῷ διδασκάλῳ,
Νικολάῳ λάμψαντι νέῳ Μεθώνης"

οὐδαμῶς ἕτερον τοῦ Νικολάου τούτου ὑπαινίττεται, ἀλλ' αὐτὸν τοῦτον λέγει νέον παραβάλλων αὐτὸν πρὸς τὸν ἁγιώτατον ἐκεῖνον Νικόλαον τὸν Θαυματουργὸν, τὸν καὶ Μύρων τῆς Λυκίας Ἀρχιεπίσκοπον. Ἐπειδή περ ἐκεῖνος μὲν Ἄρειον τότε τῇ χειρὶ ἐράπισεν, οὗτος δὲ λόγοις μεστοῖς Πνεύματος καὶ ἀληθείας τοὺς

καινοτόμους ῥαπίζει. Ὅτι δὲ οὕτως ἔχει, ὁ αὐτὸς Φαβρίκιος ἑτέρως ὡμολόγησεν εἰπὼν (ἐν τῷ αὐτῷ μάλιστα περὶ τοῦ Μεθώνης ἄρθρῳ), ὅ τι ἔγραψε καὶ δεύτερον περὶ τῆς τοῦ παναγίου Πνεύματος ἐκπορεύσεως συλλογισμὸν (καθά φησι καὶ ὁ σφόδρα παποσεβὴς Ἀλλάτιος) ἀρχόμενον ὧδε· "Ἐχρῆν μὲν μηδ' ἀπολογεῖσθαι τοῖς οὕτω καινοφώνοις καὶ καινοπίστοις." Καὶ γὰρ ἡ ἀρχὴ αὕτη οὐκ ἔστιν ἀρχὴ λόγου ἢ συλλογισμοῦ δευτέρου, ἀλλ' ἀρχὴ περιόδου τοῦ αὐτοῦ λόγου ὡς ὁρᾶται ἐν τῇ 26 σελίδι τοῦ ἀνὰ χεῖρας συγγράμματος, ὅπερ ὁ κλεινὸς Φαβρίκιος διαιρέσας εἰς μέρη δύω, τὸ μὲν πρῶτον Νικολάῳ τινὶ νέῳ μηδέποτε ὑπάρξαντι ἐπέγραψε τὸν τοῦ Νικηφόρου παρανοήσας στίχον· τὸ δὲ δεύτερον τῷ Μεθώνης ἀποδίδωσιν (ὀρθῶς ποιῶν), ἀγνοῶν ὡς τὸ δεύτερον τοῦτο μέρος ἐστι συνέχεια τοῦ πρώτου, καὶ μάλιστα ἓν καὶ τὸ αὐτὸ σύγγραμμα. Τοῦτο δὲ βεβαιοῦται καὶ ἐκ περικοπῶν τινῶν τοῦ αὐτοῦ συγγράμματος ἀπαντωμένων ἔν τισι χειρογράφοις καὶ ἀποδιδομένων τῷ αὐτῷ τῆς Μεθώνης Ἱεράρχῃ Νικολάῳ (ὅρα χειρόγραφον 1303 σελίδι 78 τῆς τῶν Παρισίων Αὐτοκρατορικῆς Βιβλιοθήκης) μάλιστα δὲ καὶ τὸ ὕφος τοῦ λόγου καταγγέλλει τοῦτο. Καὶ ταῦτα ἀρκεῖ περὶ τῆς παρανοήσεως τῶν τοῦ Νικηφόρου στίχων καὶ τοῦ ἐξ ἀγνοίας ἁμαρτήματος τῆς διαιρέσεως τοῦ συγγράμματος εἰς ὃ ὑπέπεσεν ὁ σοφὸς Φαβρίκιος πλανηθεὶς παρ' ἄλλων.

Ἕβδομον δὲ, περὶ νηστείας, ἔγραψεν ὁ Νικόλαος, Λατίνων ἐν τῷ σαββάτῳ καὶ περὶ τοῦ ὅ τι οὐ δεῖ ἐν τεσσαρακοστῇ τελείαν γενέσθαι μυσταγωγίαν, ὡς ἐκ τῶν θείων κανόνων ἐστὶν ἀπόδειξις· ἔτι δὲ καὶ περὶ γάμου τῶν ἱερέων.

Ὄγδοον, κατὰ παραβατῶν τοῦ θείου νόμου.

Ἔννατον, περὶ τῆς ἁγίας Τριάδος βιβλία τρία.

Δέκατον, συζητήσεις περὶ θεολογικῶν θεσμῶν τοῦ Πλατωνικοῦ φιλοσόφου Πρόκλου βιβλία ἕξ.

Ἑνδέκατον, περὶ χρεῶν ἱερέως.

Δωδέκατον, περὶ αἱρεσέων βιβλία ἑπτά.

Τρισκαιδέκατον, περὶ ἐξομολογήσεως.

Τεσσαρασκαιδέκατον, περὶ τῶν ἑπτὰ μυστηρίων.

Πεντεκαιδέκατον, περὶ χρεῶν τοῦ ἀνθρώπου.

Ἑκκαιδέκατον, περὶ εὐσεβείας.

Ἑπτακαιδέκατον, περὶ μετανοίας.

Ὀκτωκαιδέκατον, περὶ τῶν ἑπτὰ ἁγίων οἰκουμενικῶν συνόδων.

Ἐννεακαιδέκατον, περὶ προσευχῆς.

Εἰκοστὸν, περὶ Λατινικῆς ματαιοφροσύνης.

Εἰκοστὸν πρῶτον, πανηγυρικοὺς λόγους τρεῖς καὶ τριάκοντα.

Εἰκοστὸν δεύτερον, ἀνάπτυξιν τῆς θεολογικῆς στοιχειώσεως Πρόκλου τοῦ Λυκίου, Πλατωνικοῦ φιλοσόφου, πρὸς τὸ μὴ συναρπάζεσθαι τοὺς ἀναγινώσκοντας ὑπὸ τῆς ἐπιφαινομένης αὐτῇ πειθανάγκης, καὶ σκανδαλίζεσθαι κατὰ τῆς ὑγιοῦς πίστεως, ὅ περ μάλιστα καὶ ἐξεδόθη.

Εἰκοστὸν τρίτον, σύνοψιν τῶν ὡς ἐπὶ λόγῳ τῶν κατὰ πλάτους τῷ Φωτίῳ περὶ ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος γεγραμμένων.

Καὶ ταῦτα μέν ἐστιν, ἅ περ ὁ ἱεράρχης Νικόλαος ἔγραψεν· ἀναφερόμενα τὰ μὲν, ὑπὸ Στεφάνου ἱερομονάχου τοῦ Ἀθηναίου· τὰ δὲ, ὑπὸ Νικηφόρου Βλεμμύδου τοῦ φιλοσόφου· τὰ δὲ, ὑπὸ Νικολάου τοῦ Κομνηνοῦ, τὰ δὲ, ὑπὸ Λέοντος τοῦ Ἀλλατίου· τὰ δὲ, ὑπὸ Φαβρικίου γράφοντος Λατινίδι φωνῇ τάδε.

"NICOLAUS METHONENSIS in Peloponneso Episcopus et Metropolita multum Mich. Cerulario recentior, et ad duodecimum referendus saeculum, nec confundendus cum Nicolao Cabasila (Allat. de consensu, pag. 858 et 554), plura scripsit adversus Latinos, maximam partem inedita adhuc. Librum primum *de primatu Papae* citat Nicol. Comnenus pag. 366, praenot. mystagog. Librum secundum contra Latinos pag. 356. Ejusdem *Syllogismos de processione Spiritus S.* quorum initium: '*Ὡμολόγηται ὅ τι καὶ ὅλη ἡ Θεότης μονάς ἐστι καὶ τὸ ἕν*[1],' et alterum quod incipit: '*Ἐχρῆν μὲν μηδ'*

[1] Τοῦ συλλογισμοῦ τούτου, ὃν καὶ ἐξέδωκα ἐν Μονάχῳ, προηγεῖται καὶ πρόλογος ἐκτεταμένος· ἀπαντᾶται δὲ, ἔν τε τῷ Βαβαρικῷ χειρογράφῳ καὶ

ἀπολογεῖσθαι τοῖς οὕτω καινοφώνοις καὶ καινοπίστοις.' Necnon tertium de *Azymis* evolvisse se testatur Allatius Lib. 2, c. 10, de consensu § 2, pag. 627, cujus initium, '*Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, ὦ Λατινόφιλε, πρὸς σέ.*' Aliud scriptum de processione Spiritus S. idem memorat quod incipit, '*Βασιλεῦ οὐράνιε, Παράκλητε ἀγαθὲ,*' sed illud juniori cuidam *Νικολάῳ λάμψαντι νέῳ Μεθώνης* tribuendum suspicatur, qui scripserit post Nicephorum Blemmydam. In Bibl. Bavarica asservati sunt praeter librum de processione Spiritus S. Graecolatinum, *liber de S. Eucharistia in pane fermentato conficienda: liber de jejunio Latinorum in Sabbato et de Sacerdotum conjugio, et quod in Quadragesima non sit perfecta Missa celebranda.* In eadem Bibl. atque in aliis obvia hujus Nicolai *discussio theologicae institutionis Procli,* Platonici Philosophi. Ex scripto de processione Spiritus S. petita videtur ejus '*Θεολογία περὶ τῆς ἁγίας Τριάδος*' sive fragmentum de SS. Trinitate in Bibl. Caesarea, incipit: '*Τίς ὅλως ἀνάσχοιτο τῶν ἐν Χριστιανοῖς τελούντων ἐπὶ τῆς ἁγίας Τριάδος δύω εἰσάγειν αἴτια.*' *Orationem contra transgressores Legis Divinae* citat Nic. Comnenus pag. 166. In Nicolai Hydruntini scriptis multa ad verbum ex Methonensi repetita et expressa reperiri notavit Allatius de consensu pag. 705 et 627. Editum hujus Methonensis nescio an aliud quicquam exstat quam breve scriptum '*πρὸς τοὺς διστάζοντας καὶ λέγοντας ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,*' *de Corpore et Sanguine Christi adversus eos qui dubitant an consecratus panis et vinum sint Corpus et Sanguis Domini*, Graece cum Liturgiis SS. Jacobi, Basilii, et Chrysostomi, Paris. 1560. fol. pag. 129—133. Latine in Liturgiis Claudii de Sainctes, Antwerp. 1562. 8. pag. 77. atque in

τῷ τοῦ Ἄθω, οὗ ἡ ἀρχή. "Προτέλειος λόγος τοῦ περὶ ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος πρώτου συλλογισμοῦ. Ἐπειδὴ νῦν περὶ τοῦ ἁγίου Πνεύματός ἐστιν ἡμῖν ὁ λόγος." Ἐκδώσω δὲ καὶ τοῦτον ταχὺ ἅμα τῷ συλλογισμῷ, ὅτι καὶ οὗτος ἐξηντλήθη ὅλως.

Bibliothecis Patrum ut Lugdunensi, tom. 23, pag. 634, tum Graece ac Latine in auctario Ducæano, tom. 2, pag. 372, et in Bibliotheca Patrum Morelliana, Paris. 1644. 1654. Tom. xii. pag. 516—520.

Καὶ ταῦτα μὲν πάντα φησὶν ὁ Φαβρίκιος ἐν τῇ δεκάτῃ τῆς Ἑλληνικῆς Βιβλιοθήκης σελίδι 294. *Γράφει δὲ καὶ ἕτερα τούτων πλείω ἐν τῷ αὐτῷ συγγράμματι, περὶ ὧν ὅρα Βιβλ. η΄ σελ.* 517. *ιγ΄* 815, *σελ. καὶ* 824. *ἔκδοσιν Χαμβούργης* (Hamburgi) *τοῦ ἔτους ᾳψκϛ΄.*

Ἐκ τούτων τοίνυν πάντων τῶν καταλεχθέντων τοῦ Νικολάου συγγραμμάτων ἑπτὰ μόνα περιῆλθον εἰς χεῖρας ἡμῶν, τὰ μὲν ἐν πρωτοτύποις, τὰ δὲ ἐν ἀπογράφοις· ἅ περ ἐστὶ τὰ ἑξῆς·

α΄. Περὶ Πρωτείων Πάπα.

β΄. Περὶ ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος πρῶτος συλλογισμός. Τὸν συλλογισμὸν τοῦτον ἐξέδωκα ἐν Μονάχῳ τῷ ᾳωνζῳ ἅμα τῷ τρίτῳ ἀριθμῷ τοῦ Μέμνονος.

γ΄. Τὸ ἀνὰ χεῖρας.

δ΄. Περὶ Ἀζύμων.

ε΄. Περὶ Ἀζύμων βον σύνταγμα.

ϛ΄. Σύνοψις τῶν ὡς ἐπὶ λόγῳ τῶν κατὰ πλάτους τῷ θειοτάτῳ Φωτίῳ περὶ ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος γεγραμμένων.

ζ΄. Σύνταγμα περὶ τῆς τῶν Λατίνων ἐν σαββάτῳ νηστείας· καὶ περὶ τοῦ, ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ τελείαν γενέσθαι μυσταγωγίαν, ὡς ἐκ τῶν θείων κανόνων ἐστὶν ἀπόδειξις· ἔτι δὲ καὶ περὶ τοῦ γάμου τῶν ἱερέων.

Ἔστι δὲ ταῦτα πάντα ἀνέκδοτα (πλὴν τοῦ βου, ὅ περ ἡμεῖς πρῶτοι ἐξεδώκαμεν ὡς προεῤῥέθη) καὶ ὑπὸ πολλῶν σοφῶν, ὡς ἤδη ἀπεδείχθη, ὀνομαστὶ ἀναφερόμενα, ὧν καὶ τὴν ἔκδοσιν νυνὶ ἀναλαμβάνω χάριν τῆς μητρός μου ἁγιωτάτης ὀρθοδόξου Ἐκκλησίας καὶ τῆς φιλτάτης μου πατρίδος Ἑλλάδος.

Νῦν δὲ ἐκδιδόντες τὸ τρίτον ἐκ τῶν ἑπτὰ ἐροῦμεν τάδε· Πρῶτον μὲν, ὅτι τὸ χειρόγραφον ἐξ οὗ προκύπτει εἰς φῶς τοῦτο ἀνεκαλύφθη ἐν τῇ κατὰ τὸν Ἄθων μονῇ τοῦ ἁγίου Διονυσίου (Ε΄.) [1]

[1] Ὅρα τὴν τῆς μονῆς ταύτης περιληπτικὴν ἱστορίαν ἐν τῷ τέλει.

τῷ αωναφ· δεύτερον δὲ, ὅτι σύγκειται ἐκ τεσσάρων καὶ εἴκοσι σελίδων τὸ ὅλον αὐτοῦ, ὧν ἑκάστη τῶν σελίδων δύω καὶ τριάκοντα περιέχει στίχους, πλὴν τῆς πρώτης καὶ τῆς τελευταίας· περιέχει γὰρ ἡ μὲν πρώτη ἕνα καὶ τριάκοντα, ἡ δὲ τελευταία πέντε πρὸς τοῖς εἴκοσι. Τὸ δὲ τούτου μῆκός ἐστι ποδὸς ἀγγλικοῦ ἑνὸς παρὰ $\frac{3}{8}$ τοῦ δωδεκατημορίου, τὸ δ' εὖρος $8\frac{1}{2}$ δωδεκατημόρια τοῦ ποδός. Ἔστι δὲ τοῦτο ἐκ χάρτου ἀσιανοῦ, ὃν Παμβακίαν ἰδίᾳ προσαγορεύουσι, καὶ οὗ τὴν κατασκευὴν ἐν τῷ τρισκαιδεκάτῳ κατατάττουσιν αἰῶνι· καθορᾶται γὰρ ἐν τῷ βάθει αὐτοῦ ἡ ψαλίς· ἡ δὲ ψαλὶς, καθόσον ἡμεῖς ἴσμεν, ἦν σύμβολον τῶν τῆς Δαμασκοῦ ἐργοστασίων, καὶ κυρίως τοῦ ὀνόματος Ψαλίδα τοῦ κυρίου ἐκείνων. Ὁ δὲ Ψαλίδας Ἀμβρακιώτης ὢν τὸ γένος (καθὰ ἱστορεῖται) καὶ διατρίβων ἅμα τῷ πατρὶ αὐτοῦ Ἀρτεμίῳ εἰς Σμύρνην ἤχθη εἰς Δαμασκὸν αἰχμάλωτος νεανίσκος ἔτι ὢν, ἐν ᾗ δημοπρατηθεὶς ἐπρίατο αὐτὸν εἷς τῶν ζαπλούτων Ὀθωμανῶν τῆς πόλεως ἐκείνης Μουράτης ὀνόματι· οὗτος δὲ ἐργοστάσιον χάρτου ἔχων ἐν Δαμασκῷ μέγα[1], οὗ οἱ πλεῖστοι τῶν ἐργατῶν ἦν ἀνδράποδα, κατέταξε τούτοις καὶ τὸν νεανίσκον Θεόδωρον, τὸν καὶ Ψαλίδαν ἐπίκλην. Μετὰ δὲ χρόνον οὐ πολὺν ἰδοῦσα αὐτὸν ἡ μονογενὴς τοῦ κυρίου αὐτοῦ θυγάτηρ, καὶ ἐρασθεῖσα τοῦ νεανίσκου, ἦν γὰρ τὴν ὄψιν λίαν καλὸς, συγγενεύει τούτῳ· ὁ δὲ, ἀπώμοτος ὕστερον γενόμενος χάριν τῆς γυναικὸς, νυμφεύεται αὐτὴν καὶ τῶν κτημάτων κυριεύει τοῦ πενθεροῦ αὐτοῦ πάντων εὐθὺς ὡς ἐτελεύτα ἐκεῖνος. Γενόμενος οὖν κύριος παρ' ἐλπίδας ὁ Μουσταφᾶ Ψαλίδας τοσούτων κτημάτων καὶ μάλιστα τοῦ τοῦ χάρτου ἐργοστασίου, ἔθετο ἐν τῷ βάθει τοῦ χάρτου, οὗ αὐτὸς κατεσκεύαζε, σύμβολον συνώνυμον τοῦ ἐπιθέτου αὐτοῦ Ψαλίδα, ὅ ἐστιν ἡ ψαλίς. Τελευτησάσης δὲ τῆς γυναικὸς αὐτοῦ μετὰ ταῦτα παιδὸς ἄνευ ἐκποιεῖ τὰ ἑαυτοῦ πάντα ὁ Μουσταφᾶς μικρὸν πρὸ τῆς τελευτῆς αὐτοῦ, καὶ εἰς Ἄθων παραγίνεται τὸ ὄρος μεταμεληθεὶς ἐπὶ τῇ

[1] Τὸ ἐργοστάσιον τοῦτο ἐπαγίωσαν μὲν πρῶτοι Ἐπιφάνειός τε, καὶ Ἀθανάσιος, καὶ Προκόπιος οἱ Δαμασκηνοὶ, ἐν τῇ μεγάλῃ Ἀσίᾳ μαθόντες τὴν τοῦ χάρτου κατασκευὴν, ἐκτήσαντο δὲ βίᾳ τοῦτο οἱ τοῦ Μουράτου πρόγονοι, καθὰ Στέφανος ἱστόρηκεν.

ἀπωμόσει, ἐν ᾧ, μοναχὸς γενόμενος, κατέμεινε μέχρι τελευτῆς, καὶ μάλιστα ἐν ᾗ μονῇ τοῦ Βατοπαιδίου (ς΄) [1] τὴν ἀπόκαρσιν ἐδέξατο [2]· ἐκλήθη δὲ ἐν τῇ κουρᾷ Θεόδοτος. Ἐτελεύτα δὲ οὗτος τῷ ΑΤΟΕῳ σωτηρίῳ ἔτει μηνὶ δεκεμβρίῳ Ἰνδικτιῶνος τρισκαιδεκάτῃ, ὄγδοον καὶ ὀγδοηκοστὸν ἄγων τῆς ἡλικίας ἔτος, ὥς φησι Στέφανος Ἱερομόναχος ὁ Ἀθηναῖος ἐν τῇ τετάρτῃ τῶν περὶ ἐνδόξων ἀνδρῶν τοῦ Ἄθω βίβλῳ. Καὶ ταῦτα μὲν ἐν παρόδῳ περί τε τοῦ χάρτου καὶ τοῦ Θεοδώρου Ψαλίδα.

Παρεκτὸς δὲ τοῦ χειρογράφου τούτου εἶδον καὶ ἕτερα τέσσαρα· δύω μὲν ἐν τῇ τῆς Ὀξονίας Βοδλεϊανῇ (Bodleian) βιβλιοθήκῃ, ὧν τὸ μὲν, ἐκ χάρτου νεωτάτης ἐποχῆς, τὸ δὲ, ἐκ διφθερῶν τοῦ τεσσαρασκεδεκάτου αἰῶνος. Τρίτον δ᾽ εἶδον ἐν τῇ Αὐτοκρατορικῇ τῶν Παρισίων βιβλιοθήκῃ γεγραμμένον τῷ αφιε΄. κατὰ τὰ τάδε·

" Τῷ ἔχοντι καὶ γράφοντι Χριστέ μου σῶσον.
" Διπλοῦν τὸν ἁπλοῦν ἡ κυήσασα Λόγον,
" Διπλῆν χάριν δίδωμι τῷ γεγραφότι,
" Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις.
" Ἔτους ζ͵κγ΄. Ἰνδικ. η΄· αφιε΄. μηνὸς Φεβρ. θ΄. ἡμέρᾳ β΄.

Ἔστι δὲ καὶ τοῦτο ἐπὶ χάρτου γεγραμμένον, καὶ φέρει ἀριθμὸν 2830 (Ζ΄). Τέταρτον δὲ ἐν τῇ ἐν Μονάχῳ Βαβαρικῇ βιβλιοθήκῃ

[1] Ὅρα τὸ ἱστορικὸν τῆς μονῆς ταύτης ἐν τῷ τέλει.

[2] Τῆς γενεᾶς ταύτης ἀπόγονός ἐστιν, ἴσως, καὶ ὁ ἀοίδιμος Ἀθανάσιος Ψαλίδας ἐκεῖνος, ὁ ἐν Κερκύρᾳ καὶ ἀλλαχοῦ εὐκλεῶς διδάξας, οὗ μάλιστα μαθηταὶ ὑπῆρξαν σὺν ἄλλοις καὶ οἱ κλεινοὶ καθηγηταὶ Ἀσώπιος, καὶ Φιλιτᾶς, καὶ Πατούσας ὁ ἀοίδιμος, καὶ Ἀγάπιος Ῥήγας ὁ μακάριος, ὃς μάλιστα (ὁ Ἀγάπιος) καὶ τὰ εἰσέτι ἐν χειρογράφοις σῳζόμενα ΕΛΛΗΝΙΚΑ συνετάξατο ἐν δέκα βίβλοις. Περιέχει δὲ ταῦτα τὴν μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ὀθωμανῶν ἱστορίαν τοῦ Ἑλληνικοῦ ἔθνους, τριῶν καὶ ἡμίσεως αἰώνων ἱστορικὰς ὑποθέσεις περιλαμβάνον τὸ σύγγραμμα· πρὸς δὲ καὶ εὐμέθοδον γραμματικὴν τῆς Ἑλληνικῆς γλώσσης συνέγραψεν, ἥ περ ἐπιγράφεται ὧδε· "Γραμματικὴ τὰ ὀκτὼ τοῦ λόγου συνοπτικῶς περιέχουσα μέρη. Ἐρανισθεῖσά τε καὶ συντεθεῖσα παρὰ τοῦ ὁσιολογιωτάτου κυρίου Ἀγαπίου Ῥήγα τοῦ ἐκ πόλεως Πάργης, πρὸς χάριν τῶν πρωτοπείρων μαθητῶν. Ἐν ἔτει αωα῾ Φευρουαρί κζῃ." Ἀνεκδότου δὲ οὔσης καὶ ταύτης ἄχρις ἡμέρας εἶδον ἀπόγραφον ἐν ταῖς τοῦ ἀτρομήτου προμάχου τῆς ἐλευθερίας τῶν Ἰονικῶν νήσων καὶ μεγαλοφωνοτάτου κήρυκος τῶν δικαιωμάτων ἁπάσης τῆς Ἑλλάδος Γ. Δρακάτου Παπανικολάου.

[Ἐτελεύτα

φέρον ἀριθμὸν 28, ὃ ἐκ χάρτου ὂν ἐξέγραψεν ἐν Φλωρεντίᾳ Μιχαῆλος Μαλέας ὁ Ἐπιδαύριος τῷ ͵αφγ' σωτηρίῳ ἔτει.

Ἐκ τούτων τοίνυν τῶν τεσσάρων χειρογράφων παρέβαλον πρὸς τὸ ἡμέτερον τὸ τῆς Βαβαρικῆς βιβλιοθήκης μόνον· παρέβαλον δὲ καὶ τὸ τῆς Βοδλεϊανῆς βιβλιοθήκης διφθέρινον χειρόγραφον, ἀλλ' οὐχὶ τὸ ὅλον (ὅρα σημ. 3 ἐν σελ. 24). Πρὸς δὲ καὶ τὰς τοῦ Παρισιανοῦ χειρογράφου ἐν περισελιδίοις σημειώσεις πρὸς τὰς τοῦ ἡμετέρου, ὅτι οὐκ εἶχον καιρὸν ἵνα τὴν τοῦ ὅλου ποιήσω ἀντιβολήν· τὰς δὲ γραφικὰς διαφορὰς πρὸς τῇ πέζῃ τῶν σελίδων ὑπέταξα, προσημειῶν αὐτῶν καὶ τὰ ἀρχικὰ τῶν χειρογράφων γράμματα ὡς ᾧδε. Βαβ. χ. = βαβαρικὸν χειρόγραφον, Ὀξ. χ. = Ὀξονίας χειρόγραφον, Π. χ. = Παρισιανὸν χειρόγραφον, ἡμ. χ. = ἡμέτερον χειρόγραφον. Πρὸς δὲ προσέθηκα ὑπογράψας καὶ τὰς κυριωτέρας τῶν παραπομπῶν τοῦ ἱεροῦ Εὐαγγελίου. Τὴν δὲ στίξιν τὴν αὐτὴν (ὡς ἐπὶ τὸ πλεῖστον) τοῦ χειρογράφου ἠκολούθησα. Καὶ ταῦτα μὲν περὶ τούτου οὕτως ἐχέτω.

Τὸ δὲ τοῦ πατριάρχου Γενναδίου ἐπιστολιμαῖον περὶ ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος πρῶτον βιβλίον ἀνεκαλύφθη συγχρόνως τῷ τοῦ Μεθώνης, καὶ μάλιστα ἐν τῇ αὐτῇ μονῇ, συνδεδεμένον ὂν μετ' ἄλλων θεολογικῶν συγγραμμάτων τε καὶ ἐπιστολῶν, ἅ περ ἐπιγράφονταί τε καὶ ἄρχονται ᾧδε.

α'. "✠ Ἔκθεσις τῆς ὑγιοῦς καὶ ὀρθοδόξου πίστεως τοῦ κυρίου Γεωργίου τοῦ καὶ ὕστερον γεγονότος πατριάρχου Κωνσταντινουπόλεως ὡς ἐν τύπῳ ὁμολογίας.

"Γεώργιος ὁ Σχολάριος τὸ εὐτελέστατον τοῦ Θεοῦ κτίσμα, εἰς ἀΐδιον τῶν ἐντυγχανόντων πληροφορίαν. Ἐπειδὴ χαλεπόν ἐστι τοῖς δυσὶ τεύχεσιν" . . . κτλ.

β'. "✠ Τοῦ αὐτοῦ περὶ τῶν ῥητῶν τῶν Δυτικῶν ἁγίων· ἐφ' οἷς μάλιστα ἐρείδονται Λατῖνοι· ἀπόκρισις σύντομος καὶ σαφής.

"Ἐπειδὴ Λατῖνοι καὶ οἱ τὰ αὐτὰ φρονοῦντες αὐτοῖς περὶ τῆς

Ἐτελεύτα δὲ ὁ σοφὸς Ἀθανάσιος Ψαλίδας μικρὸν μετὰ τὴν Ἑλληνικὴν Ἐθνεγερσίαν, καὶ ἐτάφη ἐν τῷ κατὰ τὴν Λευκάδα ναῷ τοῦ ἁγίου Τιμοθέου καὶ ἁγίας Μαύρας. Οἱ δὲ τούτου διάδοχοι ζῶσι μέχρι τοῦ νῦν.

τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, πορίζονται, ἐκ τῶν Δυτικῶν ἁγίων, καὶ μάλιστα τοῦ Αὐγουστίνου" . . . κτλ.

γ΄. "✠ Τοῦ αὐτοῦ ἀπολογία σύντομος, ὑπὲρ τοῦ μὴ δέχεσθαι τοὺς ὑγιαίνοντας τῶν Γραϊκῶν, τὴν ἐν Φλωρεντίᾳ σύνοδον, καὶ τὴν ἐκεῖ κακῶς ὁρισθεῖσαν ἕνωσιν. Ἐγράφη δὲ μετὰ τὴν τοῦ βασιλέως Ἰωάννου τελευτήν" . . . κτλ.

"Ὅθεν μὲν καὶ ὅπως ἐπὶ τὴν ἐν τῷ συμβόλῳ προσθήκην οἱ Λατῖνοι κεκίνηνται, ἄλλως ἂν γένοιτο χρείας ἐξετάζειν τε καὶ σκοπεῖν. Προσέθησαν δὲ ὅπως" . . . κτλ.

δ΄. "✠ Ὅρος ὁ γενόμενος ὑπὸ Λατίνων ἐν Φλωρεντίᾳ καὶ ὑπογραφεὶς ἐκ τῶν ἡμετέρων παραχωρήσει Θεοῦ."

"Εὐγένιος ἐπίσκοπος, δοῦλος τῶν δούλων τοῦ Θεοῦ· εἰς ἀΐδιον τοῦ πράγματος μνήμην" . . . κτλ.

ε΄. "✠ Γεωργίου Κορεσσίου Θεολόγου περὶ ἐκπορεύσεως τοῦ θείου Πνεύματος."

"Ἐγκαίρως ἐμοί γε δοκεῖ τῇ σῇ περιτετυχηκέναι λογιότητι καθηγητὰ λογιώτατε, ἡνίκα ἡμῖν οὐκ ἀμελητέος" . . . κτλ.

ϛ΄. "✠ Τοῦ αὐτοῦ, Περὶ τῆς τοῦ Πάπα ἀρχῆς."

"Ἡγοῦμαι, ὦ ἄνδρες ἀκροαταί, οὐδὲ τὸ ὑμῶν ἀφανὲς εἶναι, τὸ μὲν τῶν Πατριαρχῶν ἕκαστον, ἣν ἐκείνοις οἱ συνοδικοὶ θεσμοὶ κατ᾽ ἀρχὰς διετυπώσαντο τάξιν διασώζειν εἰρήνην ποιεῖν βαθεῖαν" . . . κτλ.

ζ΄. "✠ Τοῦ αὐτοῦ, Περὶ καθαρτηρίου πυρός."

"Ὁρῶ πάλιν, ὦ φιλόθεον ὑμᾶς σύστημα, προθύμως ἐμοί γε πεπλησιακότας, εὔνοι τε καὶ τῇ ἄλλῃ ἐπιεικείᾳ κεχρημένους" . . . κτλ.

η΄. "✠ Τοῦ αὐτοῦ, Περὶ ἀπολαύσεως τῶν ἁγίων."

"Καὶ τήμερον αὖθις περὶ τῆς τῶν ἁγίων ἀπολαύσεως λόγους καταβαλούμενος ὑμῶν ἀπολαύσων" . . . κτλ.

θ΄. "✠ Τοῦ αὐτοῦ κυροῦ Γεωργίου τοῦ Κορεσσίου, ἰατροῦ καὶ θεολόγου σ υ ν τ ο μ ί α *τῶν Ἰταλικῶν ἁμαρτημάτων τοῦ ἀριθμοῦ."*

" Πολλάκις τῶν Ἰταλῶν ἐθαύμασα διὰ τὸ πρὸς τὰς καινοτομίας εὐόλισθον" . . . κτλ. (ὅρα σελ. 91).

ι'. " ✠ Μάρκου τοῦ ἁγιωτάτου Μητροπολίτου Ἐφέσου, τῷ τιμιωτάτῳ ἐν Ἱερομονάχοις καὶ Πνευματικῷ Κυρίῳ Ἰσιδώρῳ.

" Περὶ ὅρων ζωῆς·"

" Οὔτ' αὐτὸς ἠπόρεις, ὦ μακαριώτατε δέσποτα, τοῦ ζητουμένου τὴν λύσιν ἐξευρεῖν τε καὶ ἀποδοῦναι" . . . κτλ.

ια'. " ✠ Τοῦ αὐτοῦ, Περὶ τῆς τῶν θείων δώρων μεταβολῆς καὶ τελειώσεως."

"Ἡμεῖς ἐκ τῶν ἱερῶν Ἀποστόλων καὶ τῶν διαδεξαμένων αὐτοὺς διδασκάλων τῆς Ἐκκλησίας τὴν τῆς μυστικῆς λειτουργίας" . . . κτλ.

ιβ'. " ✠ Τοῦ αὐτοῦ, Ὁμολογία τῆς ὀρθῆς πίστεως ἣν ἐγγράφως ἐξέδωκεν ἐν Φλωρεντίᾳ."

" Ἐγὼ τῇ τοῦ Θεοῦ χάριτι δόγμασιν ἐντραφεὶς εὐσεβέσι, καὶ τῇ ἁγίᾳ καὶ καθολικῇ Ἐκκλησίᾳ διὰ πάντων ἑπόμενος" . . . κτλ.

ιγ'. " ✠ Τοῦ αὐτοῦ, Κὺρ Μάρκου Ἐπιστολὴ πρὸς Γεώργιον πρεσβύτερον."

" Ἐντιμότατε Πρεσβύτερε καὶ ἡμῖν ἐν Χριστῷ ποθεινότατε ἀδελφὲ, Κὺρ Γεώργιε, τοῦ Θεοῦ δέομαι ὅπως ὑγιαίνῃ ἡ ἁγιοσύνη σου καὶ ἐπὶ πᾶσι καλῶς ἔχοι, οὗ τῷ ἐλέει καὶ αὐτὸς ὑγιαίνω μετρίως τῷ σώματι. Τὴν γραφήν σου δεξάμενος λύπης οὐ φορητῆς ἐπληρώθην μαθὼν ἐξ αὐτῆς ὅτι οἱ τὴν ἄζυμον καὶ νεκρὰν θυσίαν Ἰουδαϊκῶς ἱερουργοῦντες, καὶ τῇ σκιᾷ τοῦ νόμου παρακαθήμενοι, τολμῶσιν ἐγκαλεῖν ἡμῖν καὶ μέμφεσθαι περὶ τῶν ὑφ' ἡμῶν τελουμένων ἐν τῇ ἱερᾷ λειτουργίᾳ" . . . κτλ.

ιδ'. " ✠ Τοῦ ἐν ἀρχιερεῦσιν ἁγιωτάτου κυρίου Λαζάρου πρὸς τὸν Λαρίσσης Ἐπιστολή."

" Ἀπόλωλεν ἄρα παρ' ὑμῖν τοῖς ἀρχιερεῦσι τὸ τιμιώτατον χρῆμα καὶ φυσικώτατον, ὃ παρὰ τοῦ πρώτου ἀρχιερέως εἰλήφατε" . . . κτλ.

ιε´. "✠ Τοῖς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων εὑρισκομένοις πιστοῖς, Μάρκος Ἐπίσκοπος τῆς Ἐφεσίων Μητροπόλεως ἐν Κυρίῳ χαίρειν."

"Οἱ τὴν κακὴν ἡμᾶς αἰχμαλωσίαν αἰχμαλωτεύσαντες, καὶ πρὸς τὴν Βαβυλῶνα τῶν Λατινικῶν ἐθῶν καὶ δογμάτων θελήσαντες κατασύραι" . . . κτλ.

ιϛ´. "✠ Τοῦ αὐτοῦ, Διήγησις σύντομος περὶ τῆς ἐν Φλωρεντίᾳ συνόδου· καὶ ὅτι βουλόμενος μὴ χωρισθῆναι τῆς ἀληθείας, καὶ τῶν θείων πατέρων, οὐ συνῄνεσεν οὐθ᾽ ὅλως ὑπέγραψεν."

"Ἐγὼ διὰ τὴν ἐπιταγὴν καὶ τὴν χρείαν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἀναδεξάμενος τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα" . . . κτλ.

ιζ´. "✠ Τῷ μακαριωτάτῳ Πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Μάρκος ἐπίσκοπος τῆς ἐν Ἐφέσῳ τῶν πιστῶν παροικίας."

"Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια· σήμερον αἱ νοηταὶ ἀκτῖνες τοῦ τῆς εἰρήνης ἡλίου τῇ οἰκουμένῃ πάσῃ προανατέλλουσι" . . . κτλ.—"Ἔοικε ταύτην ἐπιστεῖλαι πρὸ τῆς ἐν Φλωρεντίᾳ συνόδου·" οὕτω πρὸ τῆς ἐπιστολῆς ἀναγινώσκεται.

ιη´. "✠ Τοῦ αὐτοῦ μακαριωτάτου καὶ ἁγίου Μητροπολίτου Ἐφέσου Κυρίου Μάρκου τοῦ Εὐγενικοῦ ἐπιτελεύτια ῥήματα."

"Βούλομαι πλατύτερον τὴν ἐμὴν γνώμην εἰπεῖν εἴπερ ποτὲ καὶ νῦν ἐν τῷ ἐγγίζειν τὴν τελευτήν μου" . . . κτλ.

ιθ´. "✠ Τοῦ αὐτοῦ ῥηθέντα ἐν τῷ μέλλειν αὐτὸν πρὸς Κύριον ἐκδημεῖν, πρὸς τὸν σοφώτατον τότε μὲν Κὺρ Γεώργιον τὸν Σχολάριον, ὕστερον δὲ" . . . κτλ. (ὅρα τὰ λοιπὰ ἐν σελίδι 44).

κ´. "✠ Ἀπόκρισις πρὸς ταῦτα τοῦ σοφωτάτου καὶ μακαριωτάτου Πατριάρχου Κυρίου Γενναδίου" . . . (ὅρα τὰ λοιπὰ ἐν σελ. 46).

κα´. "✠ Τῷ μεγαλοπρεπεστάτῳ καὶ ἐκλαμπροτάτῳ" . . . (ὅρα τὰ λοιπὰ ἐν σελίδι 53).

κβ´. "✠ Ἴσον τῆς ὁμολογίας τῆς κραταίας καὶ ἁγίας

δεσποίνης ἐπὶ τοῖς ἐκκλησιαστικοῖς πράγμασιν, ὅ περ" ... κτλ. (ὅρα τὰ λοιπὰ ἐν σελίδι 85).

κγ'. "✠ Τοῦ φιλοσόφου Κυρίου Ἰωσὴφ τοῦ Βρυενίου περὶ σχισματικῶν ἤτοι τῶν Λατίνων."

"Ἐπειδὴ ἡ καθ' ἡμᾶς τῶν Ὀρθοδόξων ἅπασα τοῦ Χριστοῦ καθολικὴ Ἐκκλησία καὶ Ἀποστολικὴ διὰ τῶν ἱερῶν αὐτῆς ποιμένων καὶ προστατῶν καὶ διδασκάλων τῆς πίστεως, οὓς ὁ βίος καὶ ὁ λόγος ἁγίους καὶ θεοσόφους λαμπρῶς ἀνέδειξε, καὶ φωστῆρας ψυχῶν λόγον ζωῆς ἐπέχοντας, ταῖς Εὐαγγελικαῖς θείαις φωναῖς καὶ ταῖς Ἀποστολικαῖς καὶ Πατρικαῖς παραδόσεσιν· ἔτι δὲ καὶ τοῖς ὅροις καὶ ταῖς ἀποφάσεσι τῶν ἐν ταῖς οἰκουμενικαῖς ἁγίαις Συνόδοις ἱερῶν διδασκάλων, νομίμως καὶ δικαίως τοὺς Λατίνους, ἐκ τῶν ἱερῶν διπτύχων καὶ πάσης κοινωνίας ἐξέβαλεν, ὡς προφανῶς τοὺς Ἐκκλησιαστικοὺς νόμους παραβάντας καὶ ἀναισχύντως οὕτω τὴν προσθήκην τολμήσαντας· καὶ τοὺς ἀπὸ τῆς β^{ας} μέχρι καὶ τῆς ζ^{ης} Συνόδου φρικώδεις ἀφωρισμοὺς τῶν θείων ἐπὶ τούτων πατέρων καταφρονήσαντας, τίς ἐστιν ἐκεῖνος ἤδη λοιπὸν, ὃς μένοντα τὸν Πάπαν ὡς ἔχει νῦν ταῖς τῶν Πατέρων ἀποφάσεσιν ἀπεναντίας φερόμενον, ταὐτὸν δ' εἰπεῖν τοῦ ἁγίου Πνεύματος, ὅλως κοινωνῆσαι τολμήσει, ἢ διὰ μνημοσύνου, ἢ δι' ἄλλου τινὸς τοιούτου; Τίς Χριστιανὸς ἀληθὴς ἐν ὅσῳ ὑγιαινούσας ἔχει τὰς φρένας, πρὸς τοιοῦτον βόθρον κατολισθήσει, εἰ οὕτω ῥιψοκινδυνεύσει ποτέ; α^{ον}. Εἰ δὲ μήγε, πῶς λοιπὸν ὁ κανὼν τηρηθήσεται, ὁ λέγων, ὡς ὁ κοινωνῶν τῷ ἀκοινωνήτῳ καὶ αὐτὸς ἀκοινώνητος ἔστω;" ... κτλ.

Καὶ τοσαῦτα μὲν τὸ χειρόγραφον περιέχει, τὸ τοῦ Γενναδίου ἐπιστολιμαῖον περιλαμβάνον πρῶτον βιβλίον, καὶ τὴν πρὸς αὐτὸν τοῦ Μάρκου ἐπιστολὴν, καὶ τὴν πρὸς τὸν Μάρκον ἀπάντησιν αὐτοῦ, καὶ τὴν τῆς Ἀνάσσης Θεοδώρας ὁμολογίαν.

Τοῦτο δ' ἔχον μῆκος καὶ εὖρος ἴσον τῷ πρώτῳ ἐξεγράφη ἐν τῇ ἀρχῇ τοῦ ἑκκαιδεκάτου αἰῶνος κατὰ τὰ ἐν τῷ τέλει γεγραμμένα τάδε·

"✠ Ἐγράφησαν τὰ παρόντα διὰ χειρὸς ἐμοῦ τοῦ ἐλα-

χίστου ἐν ἱερομονάχοις Ἰγνατίου ἐν τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ βασιλικῇ μονῇ, τοῦ Κὺρ Διονυσίου, ἐν ἔτει ᾳχκα Ἀπριλ. ιζ'."

Καὶ τοσαῦτα μὲν καὶ περὶ τούτου· ἡ δὲ πρὸς τὸν Βασιλέα Τραπεζοῦντος Ἰωάννην τὸν Κομνηνὸν Ἐπιστολὴ Γενναδίου τοῦ Σχολαρίου ἀντεγράφη ἐκ τοῦ ἐν Ὀξονίᾳ Βοδλεϊανῆς βιβλιοθήκης χειρογράφου, ἐν ᾧ καὶ τὸ τοῦ Μεθώνης, ἐκ χάρτου καθὰ προείρηται, περιλαμβάνεται. Ἐν τούτῳ δὲ (σὺν ἄλλοις τῶν ἡμετέρων πατέρων καὶ διδασκάλων, πρὸς δὲ καὶ τῶν ἀλλοτρίων ἀνεκδότοις συγγράμμασιν[1]) ἀπαντᾶται καὶ τὸ τοῦ Γενναδίου β'. περὶ ἐκπορεύσεως τοῦ Παναγίου Πνεύματος βιβλίον, οὗ περ μάλιστα προηγεῖται ἡ ἐπιστολή. (ὅρα αὐτὴν ἐν σελίδι 49).

[1] Τὸ χειρόγραφον τοῦτο ἐκ τεσσάρων καὶ πεντήκοντα καὶ τριακοσίων σελίδων συγκείμενον περιέχει καὶ ἕτερον τοῦ Πατριάρχου Σχολαρίου συγγραμμάτιον, ὅ περ ἄρχεται ὧδε·

"Σχολαρίου Διάλογος. Τὰ τοῦ διαλόγου πρόσωπα. Ὀλβιανός, Εὐλόγιος, καὶ Βενέδικτος."

"Ὀλβιανός. Ἀλλὰ καιρός ἐστιν, ὦ Εὐλόγιε, ἐπισκέψασθαι εἰ βούλεις" . . . Πρὸς τούτῳ δὲ καὶ τὰ ἑξῆς ὑπάρχει·

α'. "Βαρλαὰμ μοναχοῦ πρὸς τὸν Ἀρχιεπίσκοπον Νικόλαον περὶ τοῦ Πάπα.

"Φῂς ὅτι τῶν ἀδυνάτων" . . . . κτλ.

β'. "Τοῦ αὐτοῦ. Ὅτι ὑποκειμένου καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἀναιροῦνται τὰ περὶ θεολογίας ῥητά.

"Ἴσως, ὦ ἄνδρες Λατῖνοι" . . . . κτλ.

γ'. "Τοῦ αὐτοῦ. Ὅτι οὐχ ἁπλῶς ὑπόθεσις τὸ νομίζειν ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἐκλάμψαντα."

"Ὅτι μὲν οὖν ὑποκειμένου ἐκ μόνης τῆς πρώτης ἀρχῆς" . . . . κτλ.

δ'. "Τοῦ αὐτοῦ. Ὅτι ὑποκειμένου καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον πολλὰ τῶν ὁμολογουμένων ἀναιρεῖται, καὶ πολλοῖς ῥητοῖς τῶν ἁγίων ἐναντίως ἔχει ἡ τοιαύτη ὑπόθεσις."

"Ὅταν εἰς λόγους ἀλλήλοις, ὦ ἄνδρες Λατῖνοι, περὶ τῶν ἀμφισβητουμένων" . . . . κτλ.

ε'. "Μανουὴλ τοῦ μεγάλου ῥήτορος εἰς δύο συλλογισμοὺς Λατινικοὺς ἀποδεικνύντας καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἀνασκευαστικὸς μὲν αὐτῶν, κατασκευαστικὸς δέ, ὅτι ἐκ μόνου τοῦ Πατρός. Ἐῤῥέθη δὲ πρὸς τὸν κὺρ Γεράσιμον τὸν ἐνεγκόντα αὐτούς."


"Πάλιν, αἰδεσιμώτατε Πάτερ, πρὸς Λογικὸν ἡμᾶς."

ϛ'. "Δημητρίου τοῦ Χρυσολουρᾶ κατὰ Λατίνων λόγος συνοπτικός, ἀφ' ὧν ἐποίησεν ὁ ἁγιώτατος Νεῖλος Ἀρχιεπίσκοπος Θεσσαλονίκης, οὗ καὶ τὰς λύσεις, καὶ τὰς τῶν ἐναντίων ἐνστάσεις, καὶ τοὺς συλλογισμοὺς αὐτοῖς σχήμασιν ἀποδεικνὺς ἐν συντόμῳ κατὰ συλλογισμὸν ἕκαστον."

"Κεφάλαιον Α'. Ἀρχαία δόξα τῇ Ἐκκλησίᾳ, ὡς ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα.

Ἄρχεται δὲ τοῦτο ὧδε· "Περὶ τῆς ἐκπορεύσεως τοῦ Παναγίου Πνεύματος, πρὸς τοὺς ταύτης ἡμῖν διαφερομένους βιβλίον β'.
"Τῷ ὑψηλοτάτῳ βασιλεῖ Τραπεζοῦντος" . . . κτλ.

Εθος δὲ αὐτῇ ἐμμένειν τῇ παραδόσει. Ἔπειτα καὶ οἱ ἅγιοι βεβαιοῦσιν αὐτὴν τὴν δόξαν·"



ζ'. "Τοῦ ἁγιωτάτου Μάρκου τοῦ Ἐφέσου ὁμολογία τῆς ὀρθῆς πίστεως, ἡ ἐγγράφως ἐκδοθεῖσα ἐν Φλωρεντίᾳ. Ἐγὼ τῇ τοῦ Θεοῦ χάριτι" . . . . κτλ.

η'. "Ῥήματα καὶ λόγοι τοῦ Φρὰ Φραγκίσκου καθὼς ἐκεῖνος ἔγραψε πρὸς τὸν μέγαν Ῥήτορα. Ταῦτα τὰ κεφάλαια καὶ δόγματα τῆς εὐσεβείας κρατῶ καὶ παρὰ σοῦ, μέγα ῥήτωρ καὶ διδάσκαλε, ποῦ σφάλω διδαχθῆναι ἐπιζητέω."

θ'. "Συμπεράσματα Θεολογικὰ καὶ Ὀρθόδοξα τοῦ Φρὰ Φραγκίσκου Περδικατόρου. Τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεται."

ι'. "Ἀπολογία καὶ ἀνατροπὴ τῶν κεφαλαίων, τοῦ Φρὰ Φραγκίσκου."

"Μανουὴλ ὁ μέγας ῥήτωρ τῆς Μεγάλης Ἐκκλησίας Φρὰ Φραγκίσκῳ τῷ Περδικατόρῳ ἐκ παλαιᾶς Ῥώμης χαίρειν."

"Τὸ ἐπιστολιμαῖόν σου πρὸς ἡμᾶς ἐλθὸν γράμμα" . . . . κτλ.

Καὶ τοσαῦτα μὲν περιέχει τὸ ἐκ χάρτου τῆς Βοδλεϊανῆς βιβλιοθήκης χειρόγραφον τὸ περιέχον τὰ τοῦ Σχολαρίου δύω συγγράμματα· πρὸς δὲ καὶ τὸν ἀνὰ χεῖρας τοῦ Μεθώνης λόγον ἐπιγραφόμενον ὧδε·

"Τοῦ Μεθώνης κὺρ Νικολάου περὶ τοῦ ἐκπορεύεσθαι τὸ Πανάγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς μόνου."

Σώζεται δὲ ἐν τῇ αὐτῇ βιβλιοθήκῃ καὶ ἕτερον τοῦ Πατριάρχου, δῆθεν Γενναδίου συγγραμμάτιον ὅ περ ἄρχεται μὲν ὡς ἑξῆς·

"Ἑρμηνεία Γενναδίου Πατριάρχου Κωνσταντινουπόλεως ὑπὲρ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Φλωρεντίᾳ συνόδου, ὅτι ὀρθῶς ἐγένετο ὑπεραπολογουμένου τῶν ἐν τῷ Ὅρῳ αὐτῆς πέντε κεφαλαίων·" λήγει δὲ ἐπὶ τούτοις·

"Τέλος τῆς ἁγίας καὶ οἰκουμενικῆς ὀγδόης συνόδου τῆς ἐν Φλωρεντίᾳ γενομένης, ὅτι ὀρθῶς ἐγένετο, ὑπεραπολογουμένου τῶν ἐν τῷ Ὅρῳ αὐτῆς· Ε' κεφαλαίων, διὰ χειρὸς ἐμοῦ 51273174 ἱερέως 374312174 ἐν ἔτει αφϛέ, ἐν μηνὶ Μαρτίῳ ιδ'*." Ἀλλὰ τοῦτο μέν ἐστιν ὑποβολιμαῖον καὶ μάλιστα ἔργον Λατινικῆς χειρὸς καὶ οὐδαμῶς τοῦ Πατριάρχου Γενναδίου· καὶ γὰρ οὐ μόνον ἡ τοῦ νόθου τούτου βιβλίου ὑπόθεσις ἀντίκειται τῇ ἀληθείᾳ τῶν πραγμάτων, καὶ

* Ὅρα Catalogi codicum Manuscriptorum Bibliothecæ Bodleianæ—pars prima recensionem codicum Græcorum continens. Confecit Henricus O. Coxe A.M. Hypo-Bibliothecarius. Oxonii, 1853.

"*Τμῆμα πρῶτον, τῆς ὅλης διαλέξεως προκαταλεκτικόν. Κεφάλαιον πρῶτον.*

"'*Επειδή τινες τῇ ἀνθρωπίνῃ σοφίᾳ πλέον τοῦ εἰκότος πιστεύουσιν ἐν τῇ περὶ τῶν θείων ἐρεύνῃ, καὶ τῇ ὁδηγίᾳ τοῦ λόγου ἐν τοῖς τῆς πίστεως ἕπονται δόγμασιν καὶ τῶν μὴ βουλομένων ὁμοίως σφίσι ποιεῖν, οὐκ ἐπαινοῦσι τὴν ἀσφάλειαν, ἀλλ' ἀγροικίαν καταιτιῶνται, ὁπόσον ἐστὶν ἐν τοῖς τῆς πίστεως πράγμασιν ἐπαινετὴ ἡ ἀσφάλεια, καὶ ὡς ἐπικίνδυνός ἐστιν ἡ ἐν αὐτοῖς τόλμη· καὶ τί τοῖς ἱεροῖς διδασκάλοις περί τε τῆς*

μάρτυς τὸ ἀνὰ χεῖρας τοῦ ἀνδρὸς σύγγραμμα, καὶ τἄλλα, καὶ ἰδίως τὸ κατὰ τῆς ἑνώσεως (ὅρα σελ. ιγ'.—ιδ'.), ἀλλὰ καὶ ἡ ὑφὴ τοῦ λόγου αὐτὴ βοᾷ καὶ λέγει·

"*Ἔργον εἰμὶ Λατίνου ψυχοφθόρου*
Ἱερέως ΝΙΚΟΛΑΟΥ *τοῦ* ΛΑΚΡΟΥ."

Ὅτι δὲ οὕτως ἔχει βεβαιοῦται καὶ ἐκ τοῦ αὐτοῦ τούτου βιβλίου κηρύττοντος τοῖς ἀριθμοῖς τὸ ὄνομα τοῦ ἀληθοῦς συντάκτου· καὶ γὰρ οἱ μὲν ὀκτὼ πρῶτοι τῶν ἀριθμῶν φράζουσι τὸ κύριον τοῦ συγγραφέως ὄνομα· οἱ δὲ ἑξῆς ἐννέα τὸ ἐπίθετον αὐτοῦ ἅμα τῷ ἄρθρῳ. Ἡ δὲ ἑρμηνεία ἔχει οὕτω.

Πᾶς ἀριθμὸς ἔχων ἐπ' αὐτοῦ (,) ὀξεῖαν σημαίνει μονάδα· ὁ δὲ ἔχων (.) στίγμα ἐν δηλοῖ δεκάδα, ὁ δὲ ἔχων (..) δύω σημαίνει ἑκατοντάδα· ὁ δὲ (...) τρία μονάδα χιλιάδος κτλ. Εἶτα δὲ ἐξελληνιζόμενοι φράζουσι τὸ κρυπτόμενον· ὥς περ ἐν τοῖς ἑξῆς τοῦ αὐτοῦ χειρογράφου ἀριθμοῖς καταφαίνεται τοῦτο·

"5̇	1̇	2̇	7̇	3̇	1́	7̇	4̈		3̈	7̇	4̈	3̇	1́	2̇	1̈	7̇	4̈
‖	‖	‖	‖	‖	‖	‖	‖		‖	‖	‖	‖	‖	‖	‖	‖	‖
50	10	20	70	30	1	70	400		300	70	400	30	1	20	100	70	400
‖	‖	‖	‖	‖	‖	‖	‖		‖	‖	‖	‖	‖	‖	‖	‖	‖
Ν	Ι	Κ	Ο	Λ	Α	Ο	Υ		Τ	Ο	Υ	Λ	Α	Κ	Ρ	Ο	Υ

Νικόλαος οὖν ἐστιν ὁ Λακρὸς ὁ τοῦ Ψευδοσυγγράμματος τούτου ἀληθὴς πατὴρ, ὃς, ἀφ' ἑνὸς μὲν, αἰσχυνόμενος τοῦ συγχρόνους αὐτοῦ ἐκάλυψεν ὑπὸ ἀριθμοὺς τὸ αὐτοῦ ὄνομα καὶ ἐπέγραψεν ἑτέρῳ, τῷ Πατριάρχῃ Γενναδίῳ, τῷ μόνῳ ἀντιπάλῳ τῆς ψευδοσυνόδου ἐκείνης, τὸ σατανικὸν αὐτοῦ ἀποκύημα· ἀφ' ἑτέρου δὲ εἴτε φιλαυτῶν, ὡς ἔοικεν, ὁ ἀνὴρ, εἴτε ἐλεγχόμενος ὑπὸ τῆς ἰδίας αὐτοῦ συνειδήσεως, ἐδήλωσεν αὐτὸ ἀριθμοῖς, ὅπως ἀποκαλυφθῇ ποτὲ ἡ ἀλήθεια. Εἰ δὲ καὶ ἐκλάβει τις ἂν τὸν Λακρὸν τοῦτον ὡς ἀντιγραφέα δῆθεν τοῦ ἀπὸ σκοποῦ δολίου γραφέντος ἐν Ἰταλίᾳ πονήματος τούτου σφάλλει τὰ μάλιστα, ὅτι οὗτος ἦν πολὺ τοῦ ἀπογράφου τούτου προγενέστερος, ὥς περ ἐν ἄλλοις ἀπογράφοις τοῦ αὐτοῦ συγγράμματος ἐν τῇ Ἱσπανικῇ βιβλιοθήκῃ σωζομένοις καταφανὲς γίγνεται τοῦτο· ἐν οἷς μάλιστα τὸ μὲν τοῦ Γενναδίου ὄνομα παραλείπεται ὅλως, τὸ δὲ τοῦ Λακροῦ κατέχει τόπον συγγραφέως, ὑπὸ ἀριθμοὺς ὅμως κεκρυμμένον, ὥς περ καὶ ἀνωτέρω ὁρᾶται. Καὶ ταῦτα μὲν ἱκανοῦσιν, οἶμαι, ἐν τῷ παρόντι, ἐν ἄλλοις δὲ ῥηθήσεται ἐν ἐκτάσει τὰ δέοντα, καθά γε καὶ περὶ ἄλλων πολλῶν τῆς Λατινικῆς μοχθηρίας τοιούτων ἔργων.

ἡμετέρας ἀσφαλείας καὶ ἀκριβείας, καὶ τῆς ἐκείνων ἐπικινδύνου περιεργείας δοκεῖ, δῆλον ἐκ τῶν ὑποτεταγμένων γενήσεται· καὶ οἷόν ἐστι τὸ καινοτομεῖν ἐν τοῖς θείοις, ἢ τὸ ἐπὶ τῇ διαλέξει φρονεῖν" . . . κτλ.

"Τμῆμα δεύτερον. Ὧν παρεξηγοῦνται ῥήσεων οἱ φρονοῦντες τὸν Υἱὸν ἀρχὴν τῆς τοῦ Πνεύματος ὑποστάσεως ἐξηγητικὴν εἰς τὴν πέμψιν.

"Ἐπειδὴ οἱ φρονοῦντες καὶ ὁμολογοῦντες τὸ Πνεῦμα τὸ ἅγιον" . . . κτλ.

"Τμῆμα τρίτον. Τῶν Δυτικῶν διδασκάλων προχείρως καὶ ἀληθῶς πρὸς τοὺς Ἀσιανοὺς, καὶ τὸν κοινὸν κανόνα τῆς πίστεως ἐφελκυστικόν.

"Ἐπεὶ δὲ τελευταῖον ἀντεπάγουσι τὰς ῥήσεις" . . . κτλ.

"Τμῆμα τέταρτον. Τῆς ἡμετέρας δόξης, ὅτι δόξα κοινὴ τῶν διδασκάλων τῆς πίστεώς ἐστιν ἀποδεικτικόν.

"Δι' ὧν τοίνυν οἴονται βοηθεῖσθαι τοσούτων ὄντων" . . . κτλ.

Καὶ οὕτω μὲν ἄρχεται τὰ τέσσαρα τμήματα τοῦ δευτέρου βιβλίου· διαιρῆται γὰρ, ὡς καθορᾶται, ἐν τέσσαρσι τμήμασιν.

Ἡ δὲ τοῦ ἁγιωτάτου Γρηγορίου τοῦ Παλαμᾶ περὶ πίστεως ὁμιλία, ἐπὶ χάρτου οὖσα καὶ αὕτη, τοῦ ιδ΄ μάλιστα αἰῶνος, ἀνεκαλύφθη ἔνθα καὶ τὰ προηγούμενα· ἅμα δὲ καὶ ἅπασαι τοῦ Πατρὸς ὁμιλίαι ἑβδομήκοντα οὖσαι ἅπασαι. Ἔχει δὲ καὶ τοῦτο τό τε μῆκος καὶ εὖρος ἴσον τοῖς πρὸ αὐτοῦ· τὴν δὲ γραφὴν λίαν καθαράν· ὁ δὲ τούτου ἀπογραφεὺς Γαλακτίων ἐκαλεῖτο, καθὰ εὕρηται γεγραμμένον·

"Τὴν θείαν καὶ μελίῤῥυτον τήν δε βίβλον
"Τοῦ θαυματουργοῦ Παλαμᾶ Γρηγορίου
"Γαλακτίων ἔγραψεν ὁ Ὑλλαριμεὺς
"Τῷ χιλιοστῷ καὶ τριακοσιοστῷ
"Καὶ ὀγδοηκοστῷ σωτηρίῳ ἔτει.
"Μηνὸς δ' Αὐγούστου τῇ τρίτῃ καὶ δεκάτῃ."

Ἡ δὲ τοῦ σοφοῦ Κορεσσίου ἀξιόλογος Συντομία τῶν Ἰταλικῶν ἁμαρτημάτων τοῦ ἀριθμοῦ ἐξ ἕνδεκα σελίδων συγκειμένη, περιέχεται καὶ αὕτη, ἐν ᾧ χειρογράφῳ, καθὰ ἐῤῥέθη, καὶ τὸ τοῦ Πατριάρχου Σχολαρίου ἀνὰ χεῖρας σύγγραμμα· δι'

ὃ καὶ ὁμοιότατόν ἐστι κατὰ πάντα τούτῳ· κατά τε τὴν γραφὴν δηλονότι καὶ τὸ μέγεθος τῶν φύλλων καὶ τὰ λοιπά. Καὶ ταῦτα μὲν οὕτως ἐχέτω."

Ἐκ τούτων τοίνυν προσφέρω ἤδη τὸ πρῶτον, τὸ τοῦ Μεθώνης, τῇ ἐν Ἀθήναις ἐθνικῇ βιβλιοθήκῃ, ὅπως βεβαιωθῶσι περὶ τῆς ἀληθείας καὶ οἱ ἐν Ἀθήναις μέχρι μονομανίας κατήγοροί μου, οἵ περ καίτοι ἄπειροι ὄντες τὸ παράπαν περὶ τὰ τοιαῦτα ἐθελοκακοῦσι καθ' ἡμῶν ῥᾳδιουργούμενοι. Δι' ὃ καὶ τὸ πολυπαθὲς ἡμῶν ἔθνος ἔβλαψαν καιρίως τῇ ἀποξενώσει (Ν'.) πεντήκοντα ἀρχαιοτάτων Ἑλληνικῶν χειρογράφων, καὶ βλάπτουσι καθ' ἑκάστην ᾄδοντες ληρωδίας, ὁτὲ μὲν κατὰ τοῦ ἑνὸς, ὁτὲ δὲ κατὰ τοῦ ἄλλου.

Ἔστι δὲ τὸ προσφερόμενον λίαν πολύτιμον, οὐ μόνον διὰ τὸ περιεχόμενον, ἀλλὰ καὶ διὰ τὸ σπάνιον τοῦ χάρτου· σπανίως γὰρ ἀπαντᾷ τις ἐν ταῖς βιβλιοθήκαις τοιούτου εἴδους χειρόγραφα. Δι' ὃ εἰδὼν τοῦτο ὁ πολυπράγμων Ἐδουάρδος ἐπρόσφερε 110 λίρας Ἀγγλικὰς ὅπως ἀποκτήσῃ αὐτὸ, ἀλλὰ μαθὼν, ὅ τι ἀνετέθη τῷ ἡμετέρῳ ἔθνει, ἐλυπήθη σφόδρα. Πρὸς τὸ τοῦ Μεθώνης δὲ χειρόγραφον προσφέρω καὶ τὸ τῆς Συντομίας τῶν Ἰταλικῶν ἁμαρτημάτων τοῦ ἀριθμοῦ τοῦ σοφοῦ Κορεσσίου. Δίδωμι δὲ ἅμα τούτοις καὶ ἑκατὸν ἀντίτυπα τοῦ ἀνὰ χεῖρας συγγράμματος, ἵνα τοῖς τῆς Θεολογίας διανεμηθῶσιν ἀπόροις φοιτηταῖς. Πρὸς δὲ καὶ ἑκατὸν ἕτερα ἀντίτυπα τῇ ἐν Χάλκῃ τοῦ γένους ἡμῶν Θεολογικῇ σχολῇ δίδωμι, ὅπως διανεμηθῶσι καὶ ταῦτα τοῖς ἐν αὐτῇ μαθητευομένοις ὑποτρόφοις. Προσφέρω δὲ τὰ μὲν πρῶτα τούτων διὰ τοῦ ἐν Λιβερπούλῃ Ἑλληνικοῦ Προξένου Κυρίου Γιαννακοπούλου, τὰ δὲ δεύτερα διὰ τοῦ Κυρίου Γ. Μ. Παπαγιάννου, ἀνδρῶν φιλογενεστάτων καὶ ταμάλιστα φιλομούσων.

Ἔγραφον ἐν Λονδίνῳ τῇ πρώτῃ ἀρχομένου μηνὸς Ἰανουαρίου, ἔτει Σωτηρίῳ ͵αωνθ'.

Κ. Σ.

ΠΙΝΑΞ.

Ἐν τῇ Ε′ ἐπιστολῇ τῆς 153 σελίδος παρελείφθη τάδε· "S 163/1856 An Herrn Simonides in Wien.—Kolbe." Πρὸς δὲ ἐν τῇ σελ. 88 ϛίχ. 11 ἀνάγνωθι ᾧδε· "ἅμα τοῖς προηγουμένοις πᾶσί τε καὶ τοῖς ἑπομένοις, πρὸς" κτλ. Ἐν δὲ τῇ 176 σελίδι, ϛίχ. 30, ἀντὶ "πρὸς ταῦτα οὖν πάντα τὰ μαρτύρια," ἀνάγνωθι "πρὸς τούτοις οὖν πᾶσι τοῖς μαρτυρίοις." Τὰ δὲ λοιπὰ τῶν παροραμάτων ἀφίημι τῷ εὐμενεῖ ἀναγνώστῃ.

ΝΙΚΟΛΑΟΥ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΜΕΘΩΝΗΣ

ΛΟΓΟΣ ΠΡΟΣ ΤΟΥΣ ΛΑΤΙΝΟΥΣ

ΠΕΡΙ ΤΟΥ

ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΟΤΙ

ΕΚ ΤΟΥ ΠΑΤΡΟΣ ΟΥ ΜΗΝ ΚΑΙ ΕΚ ΤΟΥ ΥΙΟΥ ΕΚΠΟΡΕΥΕΤΑΙ.

" Οὐδέν ἐστιν ἀνιαρὸν, ἢ τὸ τῷ Θεῷ προσκρούειν· τούτου δὲ οὐκ ὄντος, οὐ θλίψις, οὐκ ἐπιβουλαὶ, οὐκ ἄλλο οὐδὲν δυνατὸν λυπῆσαι τὴν εὖ φρονοῦσαν ψυχήν."

ΧΡΥΣΟΣΤΟΜΟΣ.

('Εν ὁμιλίᾳ Α' τῆς πρὸς Κορινθ. Β' ἐπιϛ.)

ΝΙΚΟΛΑΟΥ

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ[1] ΜΕΘΩΝΗΣ

ΠΡΟΣ ΤΟΥΣ ΛΑΤΙΝΟΥΣ

ΠΕΡΙ ΤΟΥ

ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΟΤΙ[2]

ΕΚ ΤΟΥ ΠΑΤΡΟΣ ΟΥ ΜΗΝ ΚΑΙ ΕΚ ΤΟΥ ΥΙΟΥ ΕΚΠΟΡΕΥΕΤΑΙ.

[Εὐχὴ τάξιν ἐπέχουσα προοιμίου*.]

ΒΑΣΙΛΕΥ οὐράνιε, παράκλητε, ἀγαθὲ, προσκυνητὲ, θεὲ τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ ἅγιον, τὸ ὑπερούσιον, τὸ ὑπέρφωτον, τὸ ὑπέρζωον, τὸ ὑπέρσοφον, τὸ προαιώνιον, τὸ ἀκατάληπτον, τὸ συνάναρχον, καὶ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ, καὶ ὁμοδύναμον, καὶ ὁμότιμον, τὸ θεουργὸν, τὸ δημιουργὸν, τὸ ζωοπάροχον, τὸ φωτοπάροχον[3], τὸ στηρικτικὸν, τὸ φρουρητικὸν, τὸ εὐθὲς, τὸ ἡγεμονικὸν, τὸ ἁγιαστικὸν, τὸ φωτιστικὸν, τὸ καθαρτικὸν, τὸ σοφιστικὸν[4], τὸ τελειωτικὸν, τὸ τοῖς Προφήταις ἐμπνεῦσαν, τὸ τοὺς Ἀποστόλους πληρῶσαν, καὶ δι' αὐτῶν πᾶσαν τὴν κτῆσιν αὐγάσαν καὶ φωτίσαν, φῶς γνώσεως· αὐτὸ καὶ νῦν ἐφ' ἡμῖν τοῖς δούλοις σου παρακλήθητι, καὶ τῇ ἀοράτῳ καὶ θείᾳ σου παρουσίᾳ[5], καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ, σαρκὸς καὶ πνεύματος, καὶ ὅλους ὅλως καθαγιάσαν, ἔλλαμψον ἡμῖν τὴν γνῶσιν τῆς σῆς ἀληθείας, καὶ τὸν ὑπὲρ σοῦ λόγον ἔμπνευσον, καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματος ἡμῶν λόγον ἀληθείας· ἀλλ' αὐτὸ καὶ

[1] Βαβαρ. χειρ. Νικ. τοῦ ἁγι: καὶ μακαριωτάτου ἐπ: Μεθ: πρὸς Λατ. κτλ. [2] βαβ. χ. ὅτι καὶ ἐκ. [3] βαβ. χ. τὸ ζωοπάροχον τὸ στηρικτόν. [4] βαβ. χ. τὸ σοφιστικὸν, τὸ καθαρτικὸν, τὸ φωτιστικόν. [5] τὸ ἡμ. χειρ. παῤῥουσίᾳ.

---

* Ἡ σημείωσις αὕτη ἀπαντᾶται ἐν τῷ περισελιδίῳ τοῦ βαβαρικοῦ χειρογράφου, ὥς περ καὶ ἐν τῷ τῶν Παρισίων· ἐν δὲ τῷ ἡμετέρῳ ὅλως ἐκλείπει. ἐν τῷ τῆς Ὀξονίας δὲ, ἀναγινώσκεται ὧδε· "εὐχὴ τόπον ἀπέχουσα προοιμίου."

διάνοιξον ἡμῶν τὸ στόμα, καὶ πλήρωσον ἀγαθοπρεπῶς, καὶ παρὸν, καὶ τὴν ἔφεσιν ἐμφοροῦν, καὶ τῇ δηλώσει τῶν θείων σου λόγων διὰ τῆς ἡμετέρας ἀναξιότητος, φωτίζον καὶ συνετίζον νηπίους, τοὺς ἀτελῆ καὶ ἀναξίαν τῆς σῆς θεοπρεπείας τὴν περὶ σοῦ δόξαν ἔχοντας. Ταῦτα μὲν οὕτω μοι ηὔχθω· συνευχέσθω δὲ τῆς εὐχῆς, καὶ πᾶν ὅσον ἱερατικὸν καὶ ὀρθόδοξον σύστημα, ᾧ μᾶλλον ἐγὼ θαῤῥήσας, ὡς μᾶλλον θεοπειθεῖ, πρὸς τὸν οὕτω μέγαν τε καὶ ὑπὲρ ἐμὲ ἀπεξεδυσάμην ἀγῶνα.

['Αξίωμα, ὅτι τὰς εὐχὰς τῆς τοῦ Πνεύματος θεολογίας ἀπὸ τῶν τοῦ μονογενοῦς Υἱοῦ λόγων ληπτέον*.]

'Αλλὰ πόθεν ἀρκτέον τοῦ λόγου; τίνα δὲ ἄρα θετέον αὐτῷ θεμέλιον, εἴ γε μέλλοι βαίνειν ἐπ' ἀσφαλοῦς, καὶ πρὸς τὰς τῶν ἐναντίων ἐπιφορὰς ἀτίνακτος ἵστασθαι; ἢ πάντως Παύλῳ πειστέον[1] τῷ μεγάλῳ διδασκάλῳ τῆς οἰκουμένης οὕτως εἰπόντι· "Θεμέλιον ἄλλον θεῖναι παρὰ τὸν κείμενον [οὐδεὶς δύναται][2]." Καὶ τίς οὗτος; ἐφερμηνεύοντι, "ὅς ἐστιν 'Ιησοῦς ὁ[3] Χριστός[4]." Τοῦτον ἄρα καὶ ἡμῖν θετέον τῷ περὶ τοῦ Πνεύματος λόγῳ θεμέλιον. Εἰ γάρ ἐστι τὸ Πνεῦμα θεὸς, ὥς περ δὴ καί ἐστι καὶ λέγεται καὶ πιστεύεται· Θεὸν δὲ οὐδεὶς ἑώρακε πώποτε· ᾗ φησὶν ὁ τὰ τῆς θεολογίας βροντήσας ἀπόῤῥητα· 'Αλλ' ὁ μονογενὴς Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο[5]· τουτέστι[6] τὰ κρύφια τῆς θεότητος, ὅσα δῆτα καὶ θέμις ἦν ἐξεκάλυψεν· οὐκ ἄρα θαῤῥητέον ἑτέρωθεν πόθεν τὴν περὶ τοῦ Πνεύματος τοῦ ἁγίου μαθεῖν ἀλήθειαν, ἢ παρ' ἐκείνου τοῦ ἐξηγητοῦ τοῦ τῆς θεότητος Λόγου, τῆς ἀληθείας αὐτῆς[7], τοῦ πᾶσαν ὁδὸν ἐπιστήμης ἐξευρίσκοντος καὶ παρέχοντος, τῷ διὰ πρακτικῆς ἀρετῆς πτερνίζοντι[8] τὸν ἀντίπαλον, 'Ιακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ διὰ θεωρίας, τὸ τῆς ψυχῆς διορατικὸν πρὸς Θεὸν ἀπευθύνοντι καὶ οὕτως[9] 'Ισραὴλ ἠγαπημένῳ ὑπ' αὐτοῦ χρη-

[1] βαβ. χ. πιστέον. [2] αἱ παρένθετοι λέξεις οὐχ ὑπάρχουσιν ἐν τῷ ἡμετέρῳ χειρ. [3] 'Οξ. χ. 'Ιησοῦς Χριστός. [4] "Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν 'Ιησοῦς Χριστός" (πρὸς Κορινθ. ἐπιστ. α'. κεφ. γ'. § 11.) [5] "Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο." ('Ιωάν. κεφ. α'. § 18.) [6] βαβ. χ. τουτέστιν ἐκεῖνος τὰ κρ. οὕτω καὶ τὸ τῆς 'Οξ. [7] βαβ. χ. καὶ 'Οξ. τῆς ἀληθείας αὐτῆς τῆς σοφίας τοῦ πᾶσαν. [8] 'Οξ. χ. πτερνίζοντος τῆς τόν. [9] 'Οξ. χ. τῷ 'Ισραήλ.

* Καὶ ἡ δευτέρα αὕτη σημ. ἐκλείπει τοῦ ἡμετ. χειρ.

ματίζοντι· ὃς ἡμῖν καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα ἐγνώρισεν ἐν ἑαυτῷ δείξας καὶ ἄμφω· τὸν μὲν, δι' ὧν εἶπεν· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα[1]. Καὶ αὖθις· ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν[2]. Τὸ δὲ, δι' ὧν[3] ἄλλον ἀνθ' ἑαυτοῦ[4] παράκλητον αὐτὸ πέμψειν παρὰ τοῦ καὶ αὐτὸν ἀποστείλαντος Πατρὸς, τοῖς Ἀποστόλοις ὑπέσχετο τὴν ἴσην αὐτοῖς παρέξον προμήθειαν· καὶ ταύτῃ τότε ἰσοδύναμον καὶ τὸ τῆς φύσεως ἀπαράλλακτον ἐπιστάμενος· οὐ μόνον δὲ, ἀλλὰ καὶ οἷς ἑαυτῷ τε τὴν παρὰ τοῦ Πατρὸς ἀνεκφοίτητον[5] ἐπιγράφεται ἐπιφοίτησιν· "ἐξῆλθον λέγων[6] παρὰ τοῦ Πατρὸς καὶ ἥκω[7]." Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι ἀποφαίνεται· ἔτι δὲ καὶ δι' ὧν ἑαυτῷ τε τὴν τοῦ Πατρὸς εἴδησιν, καὶ τῷ Πατρὶ τὴν ἑαυτοῦ ἐπιμαρτυρεῖ· καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον, "οὕτως εἰδέναι, λέγει, τὰ τοῦ Θεοῦ, ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου οἶδε τὰ ἐν αὐτῷ." Ταύτην τοίνυν ἀρχὴν ὑποθέμενοι τῷ παρόντι λόγῳ[8]· δηλαδὴ τὸ λαμβάνειν τῆς περὶ τοῦ προσκυνητοῦ Πνεύματος ἀληθείας ἐξηγητὴν[9], τὸν συγγενῆ τοῦ Πατρὸς Λόγον, καὶ τοὺς διὰ πίστεως ἡνωμένους αὐτῷ καὶ γενομένους αὐτόπτας αὐτοῦ καὶ ὑπηρέτας, καὶ τοὺς μετ' ἐκείνους ὅσοι τὰς ἐκείνων παραδόσεις ἀκαινοτομήτως ἐτήρησαν, λέγωμεν ἤδη.

Ἔκθεσις ἐν συνόψει τοῦ καθ' ἡμᾶς ὀρθοῦ δόγματος μετά τινος συμμέτρου[10] κατασκευῆς.

Πιστεύομεν εἰς ἕνα Θεὸν ἐν τρισὶ προσώποις εἴτουν ὑποστάσεσι θεωρούμενον Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, εἰς ὃν καὶ βεβαπτίσμεθα κατὰ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἑνὸς τῆς Τριάδος, παράδοσιν· οὗτος γὰρ ὁ μονογενὴς Υἱὸς τοῦ Πατρὸς καὶ ὁμοούσιος αὐτῷ τε τῷ Πατρὶ καὶ τῷ Πνεύματι τῷ ἁγίῳ. ἐπεὶ καὶ καθ' ἡμᾶς διὰ φιλανθρωπίαν γέγονεν, οὐχ ὃ

[1] Εὐαγ. κατὰ Ἰωάννην κεφ. ιδ'. § 9. [2] Ἰωάν. κεφ. ί. § 30. [3] βαβ. χ. Δι' ὧν ἄλλου ἄλλον. [4] βαβ. χ. τὸν παράκλητον. [5] βαβ. χ. ἐκφοίτησιν. [6] βαβ. χ. λέγω. [7] Ἰωάν. κεφ. ή. § 42 καὶ κεφ. ιζ. § 28. [8] βαβ. χ. τῷ παρόντι λόγῳ τῆς περὶ τοῦ· τὸ δὲ τῆς Ὀξ. τῷ π. λόγῳ τὸ τῆς περὶ τοῦ. [9] βαβ. χειρ. ἐξηγητὴν συγγενῆ τοῦ Πνεύματος λόγον λαμβάνειν καὶ τοὺς διά. [10] Παρ. χειρ. εὐμέτρου· ἀπαντᾶται δὲ πᾶσα ἡ ἐπιγραφὴ αὕτη ἐν μὲν τῷ Παρ. χειρ. ὡς σημείωσις, ἐν δὲ τοῖς λοιποῖς ὥς περ ἐπιγραφή.

ἦν ἀποβαλὼν, ἀλλ' ὃ οὐκ ἦν προσλαβὼν, καὶ τέλειος ὀφθεὶς ἄνθρωπος ὥς περ ἦν καὶ Θεὸς ὁ αὐτὸς τέλειος· ἵνα τὸν ἄνθρωπον, ὃν ἀπαρχῆς κατ' εἰκόνα [1] οἰκείαν ἔπλασε, τοῦτον [2] δὴ τὴν εἰκόνα τῆς πρώτης πλάσεως διὰ παραβάσεως παραφθείραντα, πάλιν ἀναμορφώσῃ καὶ ἀναπλάσῃ. Καὶ ταύτην ἐπλήρωσε τὴν οἰκονομίαν, δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν ἀντίλυτρον τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν, καὶ λογισθεὶς ἐν νεκροῖς καὶ μόνος ἐλεύθερος ἐν αὐτοῖς εὑρεθεὶς [3], καθότι οὐδὲν εὗρεν [4] ἐν αὐτῷ ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ λύσας τὰς ὠδίνας τοῦ θανάτου, καὶ ἀρχηγὸς τῆς ἀναστάσεως ἡμῶν καὶ τῆς εἰς ἀθανασίαν παλιγγενεσίας γενόμενος· μέλλων εἰς οὐρανοὺς, ὅθεν κατῆλθεν [5], ἀνάλαμβάνεσθαι, καὶ τοὺς ἐνταυθοῖ γενομένους αὐτόπτας αὐτοῦ καὶ ὑπηρέτας, κήρυκας τοῦ εὐαγγελίου τῆς σωτηρίας εἰς πάντα κόσμον ἐξαποστέλλων, οὕτως αὐτοῖς παραδέδωκε [6]· "Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱὸυ καὶ τοῦ ἁγίου Πνεύματος [7]." Εἰς ἓν οὖν ὄνομα θεότητος βεβαπτίσμεθα· καὶ τὴν θεότητα Πατέρα καὶ Υἱὸν εἶναι καὶ Πνεῦμα ἅγιον μεμνήμεθα· μίαν φύσιν τρισυπόστατον· τῶν ὑποστάσεων ἀχωρίστως διηρημένων καὶ ἀσυγχύτως ἡνωμένων· οὔτε γὰρ ὁ Πατὴρ χωρὶς τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, οὔτε ὁ Υἱὸς ἢ τὸ Πνεῦμα χωρὶς τοῦ Πατρὸς, ἢ θάτερον θατέρου, ἢ εἶναι, ἢ δύνασθαι, ἢ ἐνεργεῖν τι πιστεύεται· ἐπεὶ, οὐκέτ' ἂν μία ἦν ἡ φύσις αὐτοῖς, οὐδὲ ἡ δύναμις, οὐδὲ ἡ ἐνέργεια· οὐ μὴν, οὐδὲ τὸ τῆς θεότητος ὄνομα ἓν ἦν, εἰς ὃ βεβαπτίσμεθα. Ἀλλὰ μὴν, καὶ τοῦτο ἓν κατὰ τὴν εἰρημένην τοῦ Κυρίου παράδοσιν. Καὶ φύσις μία καὶ δύναμις καὶ ἐνέργεια Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὡμολόγηται καὶ πεπίστευται. Οὐκ οὖν καὶ διαιρουμένη ταῖς ὑποστάσεσιν ἡ θεότης, ἀχώριστός ἐστι, πάλιν εἰ καὶ ἥνωται ἡ τριὰς, ἀλλ' οὐδὲν ἧττον καὶ τριὰς μένει· ἑκάστης τῶν ὑποστάσεων ἀμέριστον σωζούσας καὶ ἀκοινώνητον τὴν καθ' ἑαυτὴν ἰδιότητα, καθ' ἣν καὶ τὸ οἰκεῖον ὄνομα τετήρηκεν ἀμετάπτωτον· μόνος γὰρ ὁ Πατὴρ, Πατήρ·

[1] Ὀξ. χ. καὶ εἰκόνα. [2] βαβ. χ. ἔπλασε τοῦτο. [3] Ὀξ. χ. εὑρεθείσης. [4] βαβ. χ. καθότι οὐδὲν ἐν ἑαυτῷ. [5] βαβ. χ. γινομένους. [6] Ὀξ. χ. παραδέδωκεν. [7] Ματθ. κεφ. κη'. § 19.

καὶ μόνον Πατήρ· οὐδὲ γὰρ Υἱὸς ἢ Πνεῦμα· εἰ γάρ τι τούτων, οὐκ ἔστι Πατήρ· καὶ ἅμα τροπή τις τοῦτ' ἂν εἴη τοῦ ἀκηράτου. Κατὰ ταῦτα δὲ, καὶ μόνος Υἱὸς ὁ Υἱός· καὶ μόνον Υἱός· καὶ μόνον ἅγιον Πνεῦμα τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τοῦτο μόνον, καὶ οὐδέτερον τῶν λοιπῶν. Διὰ τοῦτο ἀσύγχυτον ὁμολογοῦμεν τὴν τῆς Τριάδος ἕνωσιν. Καὶ οὐχ οὕτω καὶ σὺ πιστεύεις, ὦ τὴν πάλαι Ῥώμην αὐχῶν, καὶ τῇ προεδρίᾳ τῆς καθέδρας τῶν Ἀποστόλων Χριστοῦ[1] σεμνυνόμενος;

C̄H.[2] Οὕτω πάντως· ἡ μὲν γὰρ τῶν ὑποστάσεων σύγχυσις, ἐκ τῆς σαβελλιανῆς[3] αἱρέσεως εἰσαχθεῖσα, τὸν ἤδη κατηργημένον Ἰουδαϊσμὸν ἀνεκαίνιζεν· ἡ δὲ τῆς οὐσίας κατατομὴ καὶ διαίρεσις, ἐκ τῆς ἀρειανικῆς προβιβαζομένη μανίας, εἰς πολυθεΐαν ἑλληνικὴν ἐξωλίσθαινεν· ἥ γε[4] μὴν τῶν ὀρθῶν δογμάτων εὐθύτης τὰς ἑκατέρωθεν ἀποτροπὰς ἀποτρέπουσα, τὴν μέσην βαδίζειν καὶ βασιλικὴν παρηγγύησεν· ὥς πέρ τινος ἀσφαλοῦς ἐχομένη πείσματος τῆς κυριακῆς παραδόσεως· ἣ καὶ τὸ ἓν[5] ἡμῖν ἐγνώρισεν ὄνομα τῆς θεότητος, καὶ τὰ τρία σαφῶς ὑπέδειξε πρόσωπα. Τούτων οὕτως ἡμῖν ὡμολογημένων, φέρε τὸν σκοπὸν τῶν προκειμένων ὀνομάτων κοινῇ συνδιασκεψώμεθα· καὶ τῇ ἀναπτύξει τῶν ὀνομάτων, τὰς ὑπ' αὐτῶν σημαινομένας προσωπικὰς ἰδιότητας θεωρήσωμεν.

Ἀνάπτυξις τῶν ὀνομάτων Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος.

Τί τοίνυν βούλεται σημαίνειν τὸ ὄνομα τοῦ Πατρός; καὶ τί τὸ τοῦ Υἱοῦ; καὶ τί τοῦ Πνεύματος; Ἆρ' οὐχ ὅτι γόνιμός ἐστιν ἀρχὴ καὶ αἰτία θεότητος ὁ Πατὴρ, καὶ κατὰ τὸν μέγαν εἰπεῖν Διονύσιον, πηγαία θεότης; αὐτὴ μὲν ἀγέννητος, ἑαυτῇ δὲ κατ' οὐσίαν ὅμοι' ἄττα προάγουσα, καὶ γεννῶσα μὲν τὸν Υἱὸν, προβαλλομένη[6] δὲ τὸ Πνεῦμα, κατὰ τὴν διττὴν τῆς γονίμου δυνάμεως πρόοδον· οὔτε γὰρ ἄλλοθεν τὸν Πατέρα προῆχθαι πᾶσα ἀνάγκη· ἐκεῖνο γὰρ ἦν[7] ὁ Πατὴρ, τὸ προάγον, οὐχ οὗτος οὔτε Πατὴρ ὢν αὐτὸς ἐξ οὗ πᾶσα πατριὰ, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς

[1] βαβ. χειρ. τῶν Ἀποστόλων σεμνηνόμενος. [2] Τὸ σημεῖον τοῦτο C̄H ἐστι σύμβολον ἀντιθέσεως· καὶ γὰρ ἐν τῷ περισελιδίῳ τοῦ χειρογράφου ἀναγινώσκεται ἐρυθροῖς γράμμασι τάδε· "Ἔνθα εὑρίσκεται τοῦτο C̄H: τὸ σημεῖον, νοείσθω ὡς παρὰ τοῦ ἀντιθέτου τὸ λεγόμενον." [3] βαβ. χ. σαβελλιακῆς. [4] Ὀξ. χ. ἥ γε. [5] Ὀξ. χ. ἣ καὶ ἓν ἡμῖν. [6] βαβ. χειρ. προβαλλομένους. [7] βαβ. χ. ἐκεῖνο ἦν γὰρ ὁ Πατήρ.

ἔστι τε καὶ ὀνομάζεται, καὶ τὴν αὐτογονιμότητος[1] *προσέχων ἐν ἑαυτῷ, ἐξημισείας προάγειν ἔμελλε τὴν γόνιμον δύναμιν, ὥστε τυχὸν ἢ γεννᾷν μόνον, ἢ προβάλλεσθαι μόνον· καίτοι γε τῆς*[2] *κάτω που θεωρουμένης περὶ τὴν αἴσθησιν γονιμότητος*[3], *τὸν διττὸν τῆς προόδου τρόπον ἐμφανιζούσης· οὐ γὰρ μόνον ὁ ἄνθρωπος ἄνθρωπον γεννᾷ, καὶ ἵππος ἵππον κατὰ τὴν γεννητικὴν τῆς γονιμότητος πρόοδον, ἀλλὰ καὶ τὸ φυτὸν, ἡ ῥίζα προβάλλει· καὶ τὸ ὕδωρ ἀπὸ τῆς πηγῆς ἐκπορεύεται· καὶ τὸ φῶς προχέει μετὰ τῆς ἀκτῖνος ὁ ἥλιος κα[τὰ*[4]*] τὴν προβολητικὴν τοῦ γονίμου δύναμιν.*

Ὅλην οὖν ἡ πηγαία θεότης[5] *ἐν ἑαυτῇ προειληφυῖα τὴν γονιμότητα, καὶ ὅλην αὐτὴν καὶ τελείαν προβαλλομένη, γεννᾷ μὲν ὑπερφυῶς τὸν Υἱὸν, προάγει δὲ ὑπερουσίως τὸ Πνεῦμα· οὐ τὸν*[6] *μὲν πρότερον τὸ δὲ ὕστερον· ἀλλ' ἄμφω ἅμα· καὶ κρυφίως καὶ ἀποῤῥήτως ἑκάτερον· οὐ χρόνῳ οὐκ αἰῶνι τινὶ περιγραφομένης ἢ τῆς γεννήσεως ἢ τῆς ἐκπορεύσεως· ἀλλὰ προαιωνίως καὶ ὑπεραρχίως ὑπὲρ πάντα λόγον καὶ πᾶσαν ἔννοιαν· τῇ ἀρχεγόνῳ καὶ ἀγενήτῳ τῆς θεότητος ὑποστάσει, τελείων*[7] *μᾶλλον δὲ ὑπερτελῶν· συνθεωρουμένων τοῦ τε γεννήματος, εἰ οὕτω χρὴ φάναι, καὶ τοῦ ἐκπορεύματος. Ταύτῃ τοι καὶ ἡ μὲν θεογόνος ὑπόστασις τῆς θεότητος, Πατὴρ ἔστι τε καὶ ὀνομάζεται· οἱ δὲ ταύτης οἷον βλαστοὶ θεόφυτοι, ὁ μὲν Υἱός· ὅτι δὴ καὶ γεννητῶς προῆκται· τὸ δὲ Πνεῦμα, ὅτι περ ἐκπορευτῶς ὀνομάζεται*[8]. *Ἦ, οὐ ταῦτα καὶ σοὶ δοκεῖ; ἢ οὐκ εὐστόχως πρὸς τὸν σκοπὸν ὁ λόγος ἀπετοξάσατο;*

ΣΗ. *Πάνυ μὲν οὖν.*

Ἐρώτησις[9]. *Πότερον οὖν τὸ πατρικὸν τοῦτο ἰδίωμα, ὅπερ ἦν*[10] *τὸ προάγειν ἐξ ἑαυτοῦ θεογόνως τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, δόσομεν*[11] *καὶ τῷ τῶν ἐξ αὐτοῦ, ἢ ὥς περ τούτων ἑκάτερον*[12], *πρός τε θάτερον καὶ πρὸς τὸν Πατέρα ἀκοινότητος ἡ ἰδιότης*

[1] βαβ. χ. κ. τ. αὐτογονιμότητα. Ὀξ. χ. κ. τ. αὐτογονιμότητα προέχων. [2] Ὀξ. χ. καίτοι γε κάτω που. [3] Ὀξ. χ. γονιμότητα. [4] οὕτω τὸ β. χ. καὶ τὸ τῆς Ὀξ. [5] βαβ. χ. θεότητος ἐν ἑαυτῇ προειλειφυῖα. [6] βαβ. χ. οὐ τὸ μέν. [7] Ὀξ. χ. τελεῖ. [8] Ὀξ. χ. ὀνομάζονται. [9] Ἡ λέξις ἐρώτησις ὥς περ καὶ ἡ ἀπόκρισις ἐκλείπει τοῦ βαβ. χειρ. ὥς περ καὶ τὸ τῆς ἀντιθέσεως σημεῖον. [10] Ὀξ. χ. ὅπερ ἄν. [11] βαβ. χ. δώσομεν. [12] βαβ. χ. ἑκατέρῳ.

ἐστὶν, οὕτω καὶ τῷ Πατρὶ ἀκοινώνητον πρὸς τὰ ἐξ αὐτοῦ διατηρήσομεν[1] τὸ ἰδίωμα, ἵνα καὶ ὄντως ἰδίωμα ᾖ;

[Κατασκευὴ ἐκ τῶν εἰρημένων, ὅτι δεῖ τὸ πατρικὸν ὅλον ἰδίωμα, ὅπερ ἦν τότε γεννᾷν καὶ τὸ προβάλλεσθαι τῷ Πατρὶ μόνῳ τηρεῖν, ὥς περ δὴ καὶ τῷ Υἱῷ τὸ γεννᾶσθαι καὶ τῷ Πνεύματι τὸ ἐκπορεύεσθαι, καὶ ὅτι τὸ λέγειν τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, ἀναιρεῖν ἐστι καὶ τὰς ἰδιότητας τῶν προσώπων, καὶ τὴν ὁμοτιμίαν τῆς φύσεως *.]

Ἀπόκρισις. Τοῦτό γε οἶμαι. Οὐκοῦν τήρει τοῦτον τὸν λόγον, καὶ μόνος σοι θεογόνος ἀρχὴ ὁ Πατὴρ νοείσθω τε καὶ λεγέσθω· καὶ μόνος ὁ Υἱὸς γεννητός· καὶ μόνον τὸ Πνεῦμα ἐκπορευτὸν, ἐκ τοῦ Πατρὸς ἄμφω ἑκάτερον· τουτέστιν ὁ μὲν, γεννώμενος· τὸ δὲ Πνεῦμα, ἐκπορευόμενον· καὶ μήτε τὸν Υἱὸν θεογόνον εἴπῃς ἀρχὴν, μήτε τὸ Πνεῦμα· ὥς περ οὔτε τῷ Πατρὶ δίδως τὸ γεννᾶσθαι· οὔτε τῷ Πνεύματι· οὔτε μὴν τῷ Πατρὶ ἢ τῷ ἐξ αὐτοῦ γεγεννημένῳ, τὸ ἐκπορεύεσθαι· οὕτω γὰρ κᾂν τῇ διαιρέσει τῶν προσώπων, τὴν ὁμοτιμίαν τηρήσεις τῆς φύσεως, κᾂν τῇ ἑνώσει, διαφεύξῃ τὴν σύγχυσιν· εἰ δὲ τὸ Πνεῦμα οὐ μόνον ἐκ τοῦ Πατρὸς, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ ἐρεῖς ἐκπορεύεσθαι, κατὰ τὴν ἄρτι παρ᾽ ὑμῖν κρατοῦσαν καινοφωνίαν, δῆλος εἶ πάντως τό, τε πατρικόν ὑποκλέπτων ἰδίωμα, καὶ τῷ Υἱῷ τῷ δοκεῖν χαριζόμενος, εἴ γε θεογόνος ἔσται τοῦ Πνεύματος ἀρχὴ ὁ Υἱὸς, καὶ σύγχυσιν εἰσάγων τῶν ὑποστάσεων· καὶ ἅμα, πλεονεκτήσει μὲν ὁ Υἱὸς τὸν Πατέρα· τὸ μὲν οἰκεῖον αὐτὸς ἰδίωμα σῶον ἑαυτῷ συντηρῶν, τὸ πατρικὸν δὲ συμμεριζόμενος τῷ Πατρί· τὸ Πνεῦμα δὲ, τῆς θεογόνου ταύτης δυνάμεως μένον ἔρημον, κινδυνεύσει μεγάλῳ βαθμῷ κατὰ σὲ τῆς θεότητος ἐκπεσεῖν, εἴ γε τῇ δυνάμει καὶ τὴν οὐσίαν ἀνάγκη συνυφαιρεῖσθαι· εἰ γὰρ τὸ ὁμοούσιον ὁμοδύναμον, τὸ μὴ ὁμοδύναμον, οὐδὲ ὁμοούσιον. Ἀλλ᾽ ἄπαγε[2] ταύτης τῆς βλασφημίας, ἣ τὴν ἄφεσιν ἀρνεῖται καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· Σαβέλλιοι ταῦτα καὶ Ἄρειοι, καὶ οἱ κατὰ τοῦ ἁγίου Πνεύματος, μᾶλλον δὲ τῆς ἑαυτῶν κεφαλῆς, ἐξοπλισάμενοι, Εὐνόμιοί τε καὶ Μακεδόνιοι· οἱ μὲν, τὴν σύγχυσιν ἢ συναλοιφήν· οἱ δὲ, τὴν κατατομὴν ἢ διαίρεσιν ἢ ὑπόβασιν ἢ ὡς ἂν ἐθέλῃς καλεῖν ἀθέως εἰσάγοντες καὶ ἀναξίως τοῦ Πνεύματος, τὰ ἐκ διαμέτρου κακὰ καὶ ὁμότιμα, τὴν ἀσέβειαν· ἵν᾽ ἢ πρὸς Ἰουδαϊσμὸν ἐκτραπῶσι καὶ τὴν τριάδα ἀρνήσωνται, ἢ πρὸς Ἑλληνισμὸν ἐκπέσωσιν, εἰς κτίσιν κατάγοντες τὴν θεότητα.

[1] βαβ. χ. τηρήσομεν. [2] βαβ. χ. ἀλλ᾽ ἄπαγε τῆς ταύτης βλασφημίας.

* Ἡ σημείωσις αὕτη, ἐν τῷ τοῦ βαβαρικοῦ χειρογράφου περισελιδίῳ ἀπαντᾶται.

Ἀντίθεσις. Τί οὖν; οὐ τιμήσομεν τὸν Υἱόν; οὐκ ἰσοδύναμον εἶναι τῷ Πατρὶ δώσομεν; καὶ μὴν ἐκείνου ἐστὶ φωνή, "Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν[1]·" καὶ "πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι[2]."

Λύσις. Μενοῦν γε, ἀλλὰ τοσοῦτον τιμήσομεν τὸν Υἱὸν εἴ τις[3] δύναμις, ὅσον καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ δεχόμεθα τὰς τοῦ Κυρίου φωνάς· καὶ ἓν εἶναι τὸν Πατέρα καὶ τὸν Υἱόν. ·§·[4] Ἀλλὰ δὴ καὶ τὸ Πνεῦμα ὁμολογοῦμεν. Ἀλλ' ἕν, οὐ τῷ ἀριθμῷ, ἀλλὰ τῇ οὐσίᾳ ἤτοι τῇ ὑπερουσιότητι· τῇ ποιητικῇ καὶ συνεκτικῇ τῶν ὅλων δυνάμει καὶ ἐνεργείᾳ· τῇ θελήσει, τῇ ἐξουσίᾳ, πᾶσι τοῖς θείοις ὑπερτερήμασι. Καὶ πάντα γοῦν ὅσα ὁ Πατὴρ ἔχει, ταῦτα καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· πλὴν τῆς Πατρικῆς ἰδιότητος. Εἰ δὲ καὶ ταύτην, πῶς τὰ πρόσωπα ὑποστήσεται; πῶς ἡμῖν ἡ τριὰς σωθήσεται ὑφ' ἧς καὶ σωζόμεθα; ·§· Εἰ δὲ τιμὴ τοῦ Υἱοῦ ἡ προσθήκη τῆς θεογόνου δυνάμεως, πῶς οὐκ ἀτιμία τοῦ Πατρὸς ἡ τῆς οἰκείας ἀφαίρεσις ἰδιότητος; ἤ, καὶ τῷ Πατρὶ μεταδώσεις τῆς υἱϊκῆς ἰδιότητος, ἵνα καὶ οὕτω τηρήσῃς τὸ πρὸς τὸν Υἱὸν ἰσοδύναμον καὶ ὁμότιμον; ἵνα τί δὲ μὴ καὶ τὸ Πνεῦμα τιμήσῃς οὕτως, τῶν ἀμφοῖν ἰδιοτήτων μεταδιδούς, καὶ αὖ τὴν αὐτοῦ πρὸς ἄμφω μερίζων· ἵνα τῇ ἀφθονίᾳ τῆς μεταδόσεως τὴν διάλληλον εἰσάγῃς θεογονίαν, καὶ καθαρώτερον ἐκφήνῃς τὴν σύγχυσιν. Εἰ δὲ φῂς τοῦ μὲν Υἱοῦ τιμὴν εἰκότως εἶναι τὴν τῆς θεογονίας προσκύρωσιν, ἅτε δὴ μείζονος ὄντος τοῦ κατ' αὐτὴν ἀξιώματος· οὐκ ἔτι δὲ καὶ τοῦ Πατρός, τὴν τῆς ἐξ ἑτέρου γεννήσεως πρόσληψιν· ὡς ἐλάττονος ὄντος, πρὸς ἀξιώματος λόγον, τοῦ γεννᾶσθαι παρὰ τὸ τὴν γόνιμον ἔχειν τε καὶ προβάλλεσθαι δύναμιν, λέληθας σεαυτὸν οἷς δοκεῖς[5] τιμᾶν τὸν Υἱόν, τούτοις μᾶλλον αὐτὸν ἀτιμάζων· εἴπερ καὶ τὸ γεννᾶσθαι, ὃ[6] μᾶλλον ἴδιον τοῦ Υἱοῦ, τοῦ γεννᾶν ἀτιμότερον.

·§· Ὅτι ἡ τριὰς τῇ οὐσίᾳ ἐστὶν ἕν, τρία δὲ ταῖς ὑποστάσεσιν, εἴτουν προσωπικαῖς ἰδιότησιν.

·§· Ὅτι τὸ διδόναι τὶ[1] τῆς πατρικῆς ἰδιότητος τῷ Υἱῷ, οὔτε τούτῳ τιμή ἐστιν[2], ἀλλὰ καὶ τῆς ὅλης θεότητος ἀτιμία, ὃ συγχεῖν ἀναγκάζει[3] τὰς ὑποστάσεις.

[1] Π. χ. δίδ. τὸ τῆς.
[2] ἐστιν καὶ τῆς ὅλης θ.
[3] ἀναγκάζειν.

[1] Ἰωάν. κεφ. ί. § 30. [2] Ἰωάννης κεφ. ις'. § 15. [3] βαβ. χειρ. εἴ γε.
[4] Τὸ σύμβολον τοῦτο ·§· σημαίνει ἀναφορὰν (οὕτω γὰρ ἀπαντᾶται ἐν τῷ χειρογράφῳ, ἐρυθρῷ μάλιστα χρώματι γεγραμμένῳ)· ὅπου δὲ τοῦτο εὑρίσκεται, νοείσθω ὅτι αἱ ἐν τοῖς περισελιδίοις σημειώσεις εἰς τὸ ἐχόμενον αὐτοῦ χωρίον ἀναφέρονται· φυλάττεται δὲ οὐχ ὁ αὐτὸς πανταχοῦ κανών, ὡς οὐδὲ ἐν τῷ τῆς ἀντιθέσεως συμβόλῳ. [5] βαβ. χ. τιμᾶν δοκεῖς τὸν Υἱόν, οὕτω καὶ τὸ τῆς Ὀξ. [6] Ὀξ. χ. ἤ.

·§· Ὥρα † δέ σοι καὶ τὸ Πνεῦμα οὕτω προαιρουμένῳ τιμᾷν αὐτό γε[1] μᾶλλον ἀτιμάζειν· καὶ ἔτι τὴν εἰς αὐτὸν καθήκουσαν τοῦ γονίμου δύναμιν· εἰ μὴ μέλλοι ἀργὴν καὶ ἀνενέργητον ἀποφέρεσθαι, ἢ πρὸς τὸν Υἱὸν ἀντιστρέφειν ἵνα μὴ λέγω καὶ τὸν Πατέρα φειδοῖ τῆς αἰτίας· ὡς ἢ γεννᾷν αὐτὸν ἢ προβάλλεσθαι, ἢ ἄλλους ἀπογεννᾷν ἀπείρους θεοὺς, ἵνα φανερῶς κἀνταῦθα τὴν ἄθεον εἰσάξῃς πολυθεΐαν· ἀλλ' οὐχὶ καὶ τῷ ὀρθῷ λόγῳ ταῦτα δοκεῖ. Ἀλλ' ἡ τιμὴ καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἐν τῷ τὸν Πατέρα τιμᾶσθαι καὶ ὁρίζεται καὶ γνωρίζεται· ἵν' ᾖ ἡ αὐτὴ καὶ τοῦ Πατρὸς[2] τιμὴ καὶ τῶν ἐξ αὐτοῦ, ἀμιγῆ σώζοντος ἑκάστου καὶ ἀκοινώνητον τὴν ὑποστατικὴν ἤτοι προσωπικὴν ἰδιότητα.

·§· Ὅτι πολυθεΐαν εἰσάγει[1] ἡ τῆς τριαδικῆς ἰδιότητος κοινωνία *.

[1] Π. χ. τῆς πατρικῆς ἰδ. κ.

·§· Πλὴν γὰρ ταύτης, τἄλλα πάντα θεοπρεπῆ ἀξιώματα, ὅσα πρὸς ὕμνον τῆς ὅλης θεότητος, ἔκ τε τῶν[3] ὑπεροχικῆς ἀφαιρέσεως κἀκ τῆς θεολογικῆς θέσεως παραλαμβάνεται· κοινὰ γὰρ τῇ ὅλῃ θεαρχίᾳ κατὰτὸν θεοτελῆ λόγον προσένεστιν[4]· ἡ ὑπεράγαθος ἀγαθότης, ἡ ὑπερούσιος οὐσία, ἡ ὑπέρσοφος σοφία, ἡ ὑπέρζωος ζωὴ, ἡ κυριαρχία, ἡ φωταρχία, ἡ θεοποιὸς θεαρχία, ἡ γενεσιουργὸς αἰτία, ἡ ἄφραστος καλλονὴ καὶ ἀπρόσιτος, τὸ ἀγαθὸν, τὸ καλὸν, τὸ ὂν[5], τὸ σοφὸν, τὸ ζωογόνον· ἁπλῶς ὅσα ἐκ τῶν ἀγαθοπρεπῶν αὐτῆς δωρεῶν, ἡ μία πάντων αἰτία κατονομάζεται. Ὥς περ οὖν ταῦτα ἡνωμένα φυλάττειν ἀεὶ παραφυλακτέον καὶ μηδαμῶς διαιρεῖν, οὕτως οὐδὲ τὰ διακεκρυμμένως ἡμῖν ὑπὸ τῆς θεολογίας παραδεδομένα συγχεῖν θεμιτόν. Διακεκρυμμένως δὲ ἡμῖν παραδέδοται, τὸ τοῦ Πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα· τὸ τοῦ Υἱοῦ, καὶ[6] τοῦ Πνεύματος· οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἐπεισαγομένης· ᾗ[7] φησιν ὁ τὰ θεῖα πολὺς Διονύσιος· οὗ κἀκεῖνά ἐστιν ἐν τῷ περὶ θείας ἑνώσεως καὶ διακρίσεως εἰρημένα. Ἔστι δὲ καὶ διάκρισις ἐν ταῖς ὑπερουσίοις[8] θεολογίαις·

·§· Ἀνακάθαρσις τῶν κοινῶν[1] τῆς ὅλης θεότητος γνωρισμάτων, καὶ τῶν διακεκριμμένων ἰδιωμάτων.

[1] Π. χ. τῶν κοινωνιῶν.

[1] βαβ. χ. αὐτό τε μᾶλλον. [2] βαβ. χ. ἵν' ᾖ ἡ αὐτὴ καὶ τοῦ Πατρὸς ᾖ τιμή. [3] βαβ. χ. καὶ Ὀξ. ἐκ τῆς ὑπεροχικῆς. [4] βαβαρ. χ. τὸν θεοτελῆ λόγον ἡ ὑπεράγαθος ἀγαθότης, ἡ ὑπερούσιος οὐσία. Τὸ δὲ τῆς Ὀξ. τὸν θεοτελῆ λόγον ἡ ὑπεράγαθος, ἡ ὑπερούσιος οὐσία. [5] Ὀξ. χ. τὸ ἦν. [6] βαβ. χ. τὸ τοῦ Υἱοῦ τὸ τοῦ Πνεύματος. [7] βαβ. χ. ᾗ φησιν ὁ. [8] Ὀξ. χ. ὑπερουσίαις.

* Ἡ σημείωσις αὕτη, ὥς περ καὶ αἱ ἑξῆς δύω οὐχ εὑρίσκονται ἐν τῷ βαβ. χειρ. † οὕτως ἐν τῷ πρωτοτύπῳ.

οὐχ ἣν ἔφην μόνην[1] ὅτι κατ' αὐτὴν τὴν ἕνωσιν ἀμιγῶς ἵδρυται, καὶ ἀσυγχύτως ἑκάστη τῶν ἐναρχικῶν ὑποστάσεων· ἀλλ' ὅτι καὶ τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα· μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος, ὁ Πατήρ· ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα, τῆς θεογόνου θεότητος εἰ οὕτως χρὴ φάναι βλαστοὶ θεόφυτοι· καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα πρὸς τῶν ἱερῶν λογίων παρειλήφαμεν· ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν. Καὶ ἐν τῷ περὶ τελείου δὲ καὶ ἑνὸς, ὁ αὐτὸς Ἱερολόγος φησί· Ταύτῃ γοῦν ἡ θεολογία τὴν ὅλην θεαρχίαν ὡς πάντων αἰτίαν ὑμνεῖ τῇ τοῦ ἑνὸς ἐπωνυμίᾳ· καὶ εἷς Θεὸς ὁ Πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, καὶ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα· διὰ τὴν ὑπερβάλλουσαν τῆς ὅλης θεϊκῆς ἑνότητος ἀμέρειαν[2], ἐν ᾗ πάντα ἑνικῶς συνῆπται καὶ ὑπερήνωται· καὶ πρόσεστιν ὑπερουσίως· δι' ὧν καὶ δείκνυσιν ὁ θεοφάντωρ οὗτος Πατὴρ, τὴν εἰρημένην θεολογίαν[3], παρὰ τοῦ θεσπεσίου Παύλου διαδεξάμενος· ἐκείνου γάρ ἐστιν[4] "εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα[5]· καὶ ἓν Πνεῦμα ἅγιον ἐν ᾧ τὰ πάντα." Ὁρᾷς ὅπως ἐν πάσῃ τῇ θεολογίᾳ προλάμπει τὸ ἕν; Εἰ γὰρ καὶ γόνιμον τὸ πηγαῖον ἀγαθὸν, ἀλλ' εἶναι καὶ ἓν ἐξενίκησε. Διὰ τοῦτο εἷς Θεὸς ὁ Πατὴρ, καὶ μόνον Πατὴρ, ἵνα μὴ δυὰς παραζευχθῇ τῷ ἑνί· ἐπεὶ δὴ καὶ τὰ ἐξ αὐτοῦ τοιαῦτα οἷον αὐτὸ, καὶ ταῦτα τὸ ἓν ἀπλήθυντον[6] ἐκληρώσατο. Οὗτος οὖν καὶ εἷς Κύριος, εἷς Υἱὸς μονογενής· οὐ μόνον ὅτι μόνος γεγέννηται, ἀλλ' ὅτι καὶ μονοτρόπως προελήλυθεν· οὐ γὰρ δήπου καὶ[7] ἐκπεπόρευται· καὶ ὅτι ἐξ ἑνὸς καὶ μόνου τοῦ θεογόνου Πατρός· οὕτω[8] δὲ καὶ ἓν Πνεῦμα ἅγιον μόνον καὶ μόνως[9] ἐκπορευόμενον, ἐξ ἑνὸς καὶ αὐτὸ τοῦ μόνου Πατρός· ἵνα τὸ ἓν πανταχοῦ τὴν δυάδα προφθῇ[10]· καὶ μήτε ἡ θεογόνος πατρότης εἰς δύο τμηθῇ, μήτε ἡ υἱότης εἰς δυάδα[11] καὶ πλῆθος διαιρεθῇ· ἢ τοῦ Πατρὸς καὶ ἑτέρους ἀποτεκόντος Υἱοὺς, ἢ τοῦ Υἱοῦ κινηθέντος φυσικῶς εἰς

ὅτι τὸ ἓν, αὐτὸ μᾶλλον αἴτιον, τοῦ εἶναι διακεκριμμένας τὰς ὑποστάσεις.

[1] ἡ γραφὴ αὕτη διττῶς ἀναγινώσκεται ἐν τῷ ἡμ. χ. μόνην δηλ. καὶ μόνον· ἐν δὲ τῷ βαβ. χ. μόνον. [2] βαβ. χ. ἀμερείαν. [3] Ὀξ. χ. θεολογίας. [4] βαβ. χ. ἔστιν τὸ εἷς Θ. [5] βαβ. χειρ. Δι' οὗ τὰ πάντα. Ὁρᾷς ὅπως. [6] Ὀξ. χ. ἀπλήνθυτον. [7] Ὀξ. χ. οὐ γὰρ δήπου ἐκπορεύεται. [8] Ὀξ. χ. οὕτως. [9] βαβ. χ. μόνον. [10] βαβ. χ. προφέρῃ. [11] βαβ. χ. διάδα.

ἀπότεξιν· μήτε ἡ ἐκπόρευσις· ἢ εἰς ἀπειρίαν χυθῇ, ἢ ὑπὸ δυάδος προληφθῇ· ἐκ δύο χεομένη[1] πηγῶν, καὶ τοῦ Υἱοῦ τῷ Πατρὶ συμμεριζομένου τὴν προβολὴν, ὥς τε τὸ Πνεῦμα μόνον οἷα τῆς μοναδικῆς θεότητος ἀποῤῥαγὲν, πρὸς διττὰς ἀρχὰς ἀναφέρεσθαι· καὶ μὴ καθάπερ τοῖς ἄλλοις ἅπασι φυσικοῖς τῆς θεότητος προτερήμασιν, οὕτω δὴ καὶ τῇ παντελεῖ ἑνότητι ἴσον εἶναι Πατρὶ καὶ Υἱῷ· ἀλλ' εἷς τε εἴη Πατὴρ καὶ μόνος, μὴ ἐξιστάμενος τοῦ εἶναι μόνος[2]· καὶ εἷς Υἱὸς καὶ μονογενὴς, μὴ μεταπίπτων εἰς Πατέρα, μηδὲ πρὸς δυάδα σχέσεων μεριζόμενος· καὶ ἓν Πνεῦμα ἅγιον· μήτε εἰς Πατέρα τρεπόμενον, μήτε εἰς Υἱὸν μεθιστάμενον, μήτε ταῖς σχέσεσι πρὸς διττὰς ἀρχὰς μεριζόμενον· ἵνα μὴ πάλιν δυὰς παραζευχθῇ[3] τῷ ἑνὶ πρόσυλος οὖσα· καὶ κάτω κειμένη καὶ περὶ[4] τὴν αἴσθησιν εἱλουμένη· καὶ τῷ, τε πληθυσμῷ τῷ, τε μερισμῷ, τὴν ἀοριστίαν τε καὶ τὴν ἀπειρίαν συμπαρεισάγουσα· καὶ τό γε καθ' ἑαυτὴν, εἰς ἀχανές τι καὶ ἀφανὲς ἀνυπαρξίας πέλαγος τὰ ὑπ' αὐτῆς καταλαμβανόμενα παραπέμπουσα, εἰ μὴ προφθάνον τὸ ἓν συνεῖχε τὰ πάντα τῇ ἑαυτοῦ μετοχῇ καὶ πρὸς τὴν οἰκείαν φύσιν ἀνέσωζεν· οὐδὲν γὰρ τῶν ὄντων ἀμέτοχον τοῦ ἑνός· ἀλλὰ τὰ μὲν πολλὰ τοῖς μέρεσιν, ἓν τῷ ὅλῳ[5]· τὰ δὲ πολλὰ τοῖς συμβεβηκόσιν, ἓν[6] τῷ ὑποκειμένῳ· καὶ τὰ πολλὰ τῷ ἀριθμῷ, ἓν ταῖς δυνάμεσιν ἢ τῷ εἴδει[7]· καὶ τὰ πολλὰ τοῖς εἴδεσιν, ἓν τῷ γένει· καὶ τὰ πολλὰ ταῖς προσόδοις, ἓν τῇ ἀρχῇ· καὶ οὐκ ἂν εὕρῃς τὶ τῶν ὄντων, ὃ μὴ τῷ ἑνὶ καθὸ πᾶσα ἡ θεότης ὑπερουσίως ὀνομάζεται, καὶ ἔστι τοῦθ', ὅπερ ἐστί, καὶ τελειοῦται καὶ διασώζεται· πολλοῦ τινος ἄρα δέον ἢ[8] τὴν δυάδα εἰς τὴν ὑπερέκεινα πάντων καὶ ὑπερηνωμένην τριάδα προχωρεῖν[9]. Δι' ὃ καὶ ἡ ἀπὸ τοῦ Πατρὸς ἀνεκφοιτήτως[10] ὡς εἰπεῖν τῶν ἐξ αὐτοῦ πρόοδος μονότροπος, ἑκατέρα ἑκατέρᾳ[11], καὶ ἰδιάζουσα· τοῦ μὲν, κατὰ γέν-

καὶ ταῦτα τοῦ ἁγίου Διονυσίου. Ὅτι τὸ ἓν τῆς ὅλης ἔστι θεότητος γνώρισμα· ἐπίσης καθόλης τε τῆς οὐσίας καὶ καθεκάστης ὑποστάσεως θεωρούμενόν τε καὶ λεγόμενον*.

[1] βαβ. χ. προχεομένη. [2] βαβ. χ. μονός. [3] 'Οξ. χ. παρασωθῇ. [4] 'Οξ. χ. παρά. [5] ἀλλὰ τὰ μὲν πολλὰ τοῖς μέρεσιν, ἓν τῷ ὅλῳ· ἡ φράσις αὕτη δὶς ἀπαντᾶται ἐν τῷ βαβ. χειρ. [6] 'Οξ. χ. ἐν. [7] βαβ. χ. εἴδη. [8] 'Οξ. χ. ἤ. [9] βαβ. χ. καὶ 'Οξ. προσχωρεῖν. [10] βαβ. χ. ἀνεκφοίτητοι. [11] βαβ. χ. ἑκατέρου.

* Ἡ σημείωσις αὕτη λείπει τοῦ ἡμε. χ. ἐν δὲ τῷ τῶν Παρ. ἔχει ὧδε· "ὅτι τὸ ἓν αὐτὸ μᾶλλον αἴτιον τοῦ εἶναι διακεκριμμένας τὰς ὑποστάσεις."

νησιν· τοῦ δὲ, κατὰ πρόοδον· ὥς περ οὖν καὶ τὰς ἄλλας θεωνυμίας ὅσαι τὴν ὅλην θεαρχίαν χαρακτηρίζουσιν, ἐπίσης ἑκάστη τῶν θεαρχικῶν ὑποστάσεων, ἡ θεολογία προσάπτει, ἐξορίζουσα πᾶσαν ἐκεῖθεν θεωνυμίας[1] ἑτερότητά τε καὶ ἀνισότητα καὶ ἀνομοιότητα καὶ τὸ μᾶλλον καὶ ἧττον, ἃ τῆς ὕλης καὶ τῶν συνθέτων εἰσὶν, οὕτω καὶ τὸ ἓν ἐπίσης ἑκάστῳ[2] τῶν θεαρχικῶν προσώπων ἔστι καὶ ὀνομάζεται· εἷς Πατὴρ, εἷς Υἱὸς, ἓν ἅγιον Πνεῦμα. Ἐπεὶ καὶ τὸ ἕν· εἷς γὰρ τὰ τρία Θεός· καὶ τὸ ἓν ἑκάστῳ ἓν, κατ' οὐδὲν ἕτερον τοῦ ἐν τῷ παντί· ἀπεληλαμένης ἐκεῖθεν, καὶ τῆς καθόλου τε καὶ ἐπὶ μέρος[3] διαφορᾶς· οὐ γὰρ τρεῖς μερικὰς οὐσίας τὴν θεότητα εἶναι πιστεύομεν· ἀλλὰ μίαν ἀμέριστον τοῖς φυσικοῖς πᾶσι πλεονεκτήμασιν εἰ καὶ τοῖς προσωπικοῖς μερίζεται ἰδιώμασιν· εἴ γε[4] τὸ περὶ τοῦ τῆς τριάδος ἑνὸς καὶ μετὰ τὴν σάρκωσιν εἰρημένον, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος, καὶ ἐπὶ τῶν ἄλλων ῥητέον ἐναρχικῶν ὑποστάσεων· ὡς γὰρ ὁ τῷ ἐξ ἡμῶν προσληφθέντι ναῷ ἐνοικῶν λόγος, ὡς ἄλλοι ἐν ἄλλῳ· οὐ γὰρ ἄλλος ἐν ἄλλῳ, πᾶν ἔστι τε[5] καὶ εἴρηται τὸ πλήρωμα τῆς θεότητος, οὕτω καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα· πᾶν τὸ πλήρωμα τῆς θεότητος ἑκάτερον ὂν, καὶ ῥηθήσεται· ἐπίσης γὰρ ἕκαστον τῶν τριῶν, Θεὸς τέλειος· ταὐτὸν δὲ εἰπεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος. Πλήρωμα δὲ τῆς θεότητος καὶ τὸ ἕν[6]· τὸ παντελέστατον γάρ ἐστιν αὕτη καὶ πληρέστατον ἓν [ὥς περ δὴ καὶ τὸ ἀγαθὸν καὶ τὸ ὂν, καὶ τῶν ἄλλων ἕκαστον· καὶ ἕκαστον ἄρα τῶν ἐναρχικῶν προσώπων, τὸ παντελέστατόν ἐστι καὶ πληρέστατον ἓν[7]] εἰς ὅπερ οὐδεὶς παρεμπίπτει συνδυασμός· εἰ δὲ τὸ

[ἐκ τοῦ ἐναντίου τὸ αὐτὸ ἐπιχείρημα*.]

[1] βαβ. καὶ Ὀξ. χ. θεωνυμίας. [2] βαβ. χ. ἕκαστον πρόσωπον ἔστι τε καὶ ὄν. [3] βαβ. χ. ἐπὶ μέρει. [4] Ὀξ. χ. εἴτε. [5] Ὀξ. χ. πᾶν πᾶν ἔστι τε. [6] βαβ. χ. ταυτὸν δὲ εἰπεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος ἓν τὸ παντελέστατον κτλ. Τὸ δὲ τῆς Ὀξ. οὕτω· ταυτὸν δὲ εἰπεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος· πλήρωμα δὲ τῆς θεότητος καὶ τὸ ἕν· καὶ τὸ ἕκαστον ἄρα τῶν ἐναρχικῶν προσώπων τὸ παντελέστατόν ἐστι καὶ πληρέστατον ἕν. [7] Τὸ παρένθετον χωρίον ἐκλείπει τοῦ ἡμ. χ. καὶ ὡς ἔοικεν, ὁ γραφεὺς αὐτοῦ ἕνεκα τοῦ ὁμοιοτελεύτου τῶν λέξεων πληρέστατον ἕν, καὶ πληρέστατον ἓν παρεῖδε τὰ μεταξύ.

* Οὕτως ἐν τῷ βαβαρικῷ χειρογράφῳ.

Πνεῦμα, ἓν καὶ οὐχ ἓν, τὸ μὲν ὅτι ἐκπορευτὸν, τὸ δ' ὅτι οὐκ ἐκ μιᾶς ἀρχῆς ἀλλ' ἐκ δύο. Δύο γὰρ εἰ μὴ καὶ τῇ φύσει ἀλλὰ ταῖς ἰδιότησι, πῶς ἔσται πλήρωμα τῆς ὅλης θεότητος καὶ οὐ μᾶλλον κενώσει καὶ τῷ τῆς ὅλης θεότητος ἕν; ὡς μήτε τοῦ Πατρὸς ὄντος ἔτι μόνου θεογόνου ἀρχῆς· ἀλλὰ τῷ Υἱῷ συμμεριζομένου τὴν τοῦ Πνεύματος προβολήν[1]· μήτε τοῦ Υἱοῦ ἓν τοῦτο μόνον τὸ Υἱϊκὸν ἰδίωμα στέργοντος· ἀλλά τι καὶ τοῦ Πατρὸς προσλαμβάνοντος· ἀλλ' οὐκ ἔστι ταῦτα οὐκ ἔστιν· ἀλλὰ καὶ ὁ Πατὴρ παντελέστατον ἔχει τὸ ἓν καὶ πληρέστατον, εἷς ὢν καὶ μόνος Πατήρ· καὶ μόνον Πατὴρ, καὶ ὁ Υἱὸς ὡσαύτως. Εἷς μόνος[2] καὶ μόνον Υἱὸς ἐκ τοῦ μόνου Πατρός· οὕτω δὲ[3] καὶ τὸ Πνεῦμα· ἓν μόνον ἐκ μόνου τοῦ Πατρὸς καὶ μόνως ἐκπορευόμενον· ἵνα πανταχοῦ[4] τὸ ἓν μεμονωμένον, καὶ ἄχραντον, καὶ ἀμιγές· καὶ ὄντως ἓν διασώζηται καθόλης τῆς μιᾶς καὶ ὑπερηνωμένης θεότητος ὄν[5].

Ἀντίθεσις. Ἀλλὰ τοῦ[6] Υἱοῦ τρανῶς καὶ παρ' αὐτοῦ τὸ Πνεῦμα ἐξαποστέλλεσθαι λέγοντος· αὐτοῦ γάρ ἐστι ταῦτα τὰ ῥήματα· "ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν[7]·" καὶ πάλιν· "οὐ γὰρ ἀφ' ἑαυτοῦ λαλήσει[8], ἀλλ', ὅσα ἂν ἀκούσῃ, λαλήσει[9]·" καὶ, "ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν[10]·" πῶς οὐκ ἀντιλέγειν ἐστὶ τῷ Υἱῷ, τῷ μὴ λέγειν τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι; εἰ γὰρ πᾶν τὸ ἀποστελλόμενον ἐκ τοῦ πέμποντος ἐκπορεύεται, καὶ τὸ ἔκ τινος λαμβάνον ὃ μεταδίδωσι, ἐξ ἐκείνου τὸ μεταδιδόμενον ἔχει ἐξ οὗ καὶ λαμβάνει, δῆλον ὡς καὶ τὰ πνευματικὰ χαρίσματα ἐκ τοῦ Υἱοῦ λαμβάνον τὸ Πνεῦμα δίδωσιν. Εἰδὲ ταῦτα ἐκ τοῦ Υἱοῦ, καὶ αὐτὸ τὸ Πνεῦμα, οὗ εἰσὶν ἐνέργειαι τὰ χαρίσματα, ἐκ τοῦ Υἱοῦ· ἢ πῶς ἐξ οὗ μὴ αὐτὸ, ἐξ ἐκείνου ἂν σχοίη τὰς ἐνεργείας; εἴπερ ἀντιστρέφειν ἀνάγκη τὴν οὐσίαν, τὴν δύναμιν, τὴν ἐνέργειαν· καὶ ὅθεν τὸ ἓν, ἐκεῖθεν καὶ τὰ ἄλλα.

Λύσις. Παίδων λέγεις ἐν ἀγορᾷ παιζόντων ἀθύρματα, ἢ Λύσις τούς τε ἀντιθέτους

[1] βαβ. χ. ἀλλὰ τῷ Υἱῷ συμμεριζομένου μήτε τοῦ Υἱοῦ ἕν. [2] βαβ. χ. εἷς καὶ μόνον Υἱὸς ἐκ τοῦ μόνου Πατρὸς καὶ μόνως ἐκπορευόμενον. [3] Ὀξ. χ. οὕτω καὶ τὸ Πν. [4] Ὀξ. χ. παντοῦ. [5] βαβ χ. θεότ. εἶ ἕν. Ὀξ. θεοτ. εἶ. [6] Ὀξ. χ. τῆς. [7] Ἰω. κεφ. ιε΄. § 26. [8] βαβ. χ. οὐ γὰρ ἀφ' ἑαυτοῦ τι λαλήσει. [9] Ἰω. κεφ. ις΄. § 13. [10] Ἰω. κεφ. ις΄. § 14.

παραλογισμοὺς ἐλέγχουσα καὶ τὴν ἀληθῆ τῶν παραχθεισῶν μαρτυριῶν ἑρμηνείαν παραδιδοῦσα.

ἀνδρῶν κακοδαιμόνων ὡς ἀληθῶς καὶ ἀνοήτων συμπλάσματα; ἐν ὑποκρίσει μὲν, εὐαγγελικὰ δοκούντων προτείνεσθαι[1] προβλήματα· τῷ ὄντι δὲ, ψευδολόγων καὶ κεκαυτηριασμένων[2] τὴν οἰκείαν συνείδησιν, καὶ παιζόντων ἐν οὐ παικτοῖς· ἢ διαβεβαιουμένων, ἃ μὴ γινώσκουσιν. Ἀλλὰ μὴ ταράττου· μηδὲ θρασὺν εἶναί τινα καὶ ἀγέρωχον ἀποφαίνου τὸν τούτοις[3] τὰ σὰ προβλήματα τοῖς λόγοις διαχλευάζοντα, πρὶν τὸ τῶν λόγων ἴδῃς συμπέρασμα.

Οὐ τῷ[4] μὴ λέγειν τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, ἀντιλέγειν ἐστὶ τῷ Υἱῷ· ἀλλὰ μᾶλλον τῷ λέγοντι, τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι, ἀντιλέγοι ἂν, ὁ πλέον τι τῷ λόγῳ προστιθέναι τολμῶν· ὡς ἂν ἀκριβέστερος ὢν παρὰ τὸν Υἱὸν θεολόγος· καὶ, ὃ τάχα λαθὸν ἐκεῖνον[5] παρέδραμεν, αὐτὸς διὰ τῆς προσθήκης ἐπανορθούμενος· ποῦ γὰρ εὕρηται λέγων ὁ Υἱὸς ὅτι παρ' ἐμοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται; τοῦτο μὲν οὐδαμοῦ φαίης ἄν. Ἀλλ'[6] ὃ τούτῳ ἐστὶν ἰσοδύναμον τὸ, "ἐγὼ πέμψω" φὴς, ἐξ οὗ καὶ τὸν θαυμαστὸν συμπλέκεις συλλογισμόν· ὅτι πᾶν τὸ ἀποστελλόμενον, ἐκ τοῦ πέμποντος ἐκπορεύεται· ἀλλ' ὦ τᾶν[7], ἐκ ψευδῶν ἀμφοῖν τῶν προτάσεων, οὐκ ἀληθὲς συνάγεις συμπέρασμα· οὔτε γὰρ πᾶν τὸ ἀποστελλόμενον ἐκ τοῦ πέμποντος ἐκπορεύεται, οὐθ' ὁ Υἱὸς παρ' ἑαυτοῦ τὸ Πνεῦμα πέμψειν ὑπέσχετο· ὡς εἰ καὶ ταὐτόν τι δοίημεν εἶναι τὴν ἀποστολήν τε καὶ τὴν ἐκπόρευσιν, μὴ πάντως ἀνάγκην εἶναι· τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, ὅτι μὴ δὲ παρ' αὐτοῦ ἀποστέλλεσθαι εἴρηται, ἀλλὰ παρὰ τοῦ Πατρός· ὅθεν οὖν ἡ ἀποστολὴ ἐκεῖθεν τάχα ἂν εἴη καὶ ἡ ἐκπόρευσις.

ϹΗ. Ἀλλὰ καὶ ἐγὼ πέμψω, φησίν.

Καὶ τί τοῦτο; τὴν εὐδοκίαν τοῦ Υἱοῦ, ἀποστολὴν εἶναι νόμισον· καὶ κινοῦνται μὲν τὴν ἀποστολὴν τῷ Πατρὶ διὰ τὸ σύνδρομον τοῦ θελήματος, δείκνυσι δὲ, πόθεν ἡ οὐσιώδης ἐκφοίτησις, εἰπών[8]· "παρὰ τοῦ Πατρός" καὶ οὐδὲ τοῦτο μόνον εἰπὼν ἠρκέσθη· ἀλλὰ καὶ σαφέστερον ἐξηγήσατο τὸ λεγόμενον δι' ὧν

[1] Ὀξ. χ. καὶ βαβ. προτιθέναι. [2] βαβ. χ. καυτηριασμένων. [3] Ὀξ. χ. καὶ βαβ. ἀποφαίνου τούτοις. [4] Ὀξ. χ. οὐ τὸ μή. [5] Ὀξ. χ. ἐκεῖθεν. [6] Ὀξ. χ. Ἀλλὰ τὸ τούτῳ. [7] Ὀξ. χ. ἀλλ' ων τᾶν. [8] βαβ. χ. εἰπὼν γάρ.

ἐπήγαγε[1]· "τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται[2]·" ἵνα γὰρ μὴ ἀκούσας ἀποστολὴν, εἰς ταπεινήν τινα καταπέσῃς καὶ τοῦ Πνεύματος ἀναξίαν ὑπόνοιαν, ὡς ἄρα οὐκ αὐτοδεσπότου τοῦ ἀποστελλομένου τυγχάνοντος, ἀλλ' ὑποτασσομένου καὶ ἀλλότρια[3] λειτουργοῦντος προστάγματα, διὰ τοῦτο τῶν[4] λειτουργικῶν ἀποδιαστέλλων αὐτὸ πνευμάτων καὶ δεικνὺς τῆς ὑπὲρ ταύτης φύσεως ὂν, φησὶ, "τὸ Πνεῦμα τῆς ἀληθείας·" ἔφθη γὰρ πρότερον, αὐτός τε εἶναι, εἰπὼν, ἡ ἀλήθεια καὶ τὸν Πατέρα τοῦτο καλέσας· ἀφορίζων δὲ αὐτοῦ καὶ τὸν τρόπον τῆς ὑποστάσεως, ὅ, φησι, "παρὰ τοῦ Πατρὸς ἐκπορεύεται." Τί ταύτης σαφέστερον τῆς ἀληθείας καὶ φανερώτερον; Εἶτα σὺ τολμᾷς τῷ λόγῳ τῆς ἀληθείας προστιθέναι[5] τὰ παρὰ τῶν σῶν λογισμῶν εἰσηγούμενα· μὴ λογιζόμενος, ὡς οὐδὲν μὲν τῆς ἀληθείας αὐτῆς ἀληθέστερον, οὐδὲ τῆς σοφίας σοφώτερον[6], λογισμοὶ δὲ ἀνθρώπων δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἔννοιαι[7], καὶ οὐδὲ τὴν ἀποστολικὴν φρίττουσιν[8] ἀπόφασιν, ἥ φησιν· "εἴ τις εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, κἂν αὐτὸς ἐγὼ, κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἀνάθεμα ἔστω[9]." Πῶς δὲ οὐ παίζοντος ἢ ἀφρένοντος, τὸ, πᾶν ἀποστελλόμενον [λέγειν ἐκ τοῦ πέμποντος ἐκπορεύεσθαι; διὰ τοῦτο δὲ καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ· εἰ μὲν γὰρ ἀποστολὴν λέγεις αὐτὴν τὴν ἐκπόρευσιν, ἣ μόνη ἐστὶ τοῦ Πνεύματος ἴδιον, μὴ λέγε πᾶν τὸ ἀποστελλόμενον[10]] εἴτουν ἐκπορευόμενον. Τί δὲ καὶ τοῖς πᾶσι δεῖ τὸ, ὑπὲρ τὰ πάντα συντάττειν; ἀλλ' αὐτόθεν λάμβανε τὸ ζητούμενον· καὶ μὴ[11] ὡς συλλογισμὸν ἀλλ' ὡς λῆμμα[12] δέχου τὸ ἐν ἀρχῇ σοι ζητούμενον[13]. Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἀποστέλλεσθαι εἴτουν ἐκπορεύεσθαι· εἰ δ' ἄλλο τι φῇς τὴν ἀποστολὴν παρὰ τὴν ἐκπόρευσιν, πῶς συνάπτεις τὰ ἀσύναπτα; πῶς ἑνοῖς τὰ διάφορα[14]; πῶς

τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἀποστέλλεται,

[1] Ὀξ. χ. ἐξήγαγε. [2] Ἰωάν. κεφ. ιε'. § 26. [3] Ὀξ. χ. καὶ βαβ. ἀλλοτρίῳ λειτουργοῦντος προστάγματι. [4] βαβ. χειρ. τῶν μὲν λειτουργῶν. [5] βαβ. χ. καὶ Ὀξ. εἶτα σὺ τολμᾷς προστιθέναι τῷ λόγῳ τῆς ἀληθείας τὰ παρά. [6] βαβ. χ. τῆς ἀληθείας αὐτῆς ἀληθέστερον, λογισμοὶ δὲ ἀνθρ. [7] βαβ. χ. καὶ Ὀξ. ἐπίνοιαι. [8] βαβ. χ. καὶ Ὀξ. φρίττεις. [9] Παῦλος ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ. κεφ. α'. § 8 καὶ 9. [10] τὸ παρένθετον χωρίον ἅπαν ἐκ τοῦ βαβαρικοῦ ἐλήφθη χειρ. παρεῖδε γὰρ αὐτὸ ὁ ἀπογραφεὺς τοῦ ἡμετέρου τοῦ ὁμοιοτελεύτου ἕνεκα. [11] Ὀξ. χ. καὶ ὡς συλλογισμόν. [12] βαβ. χ. λείμμα. [13] βαβ. χ. ἐκζητούμενον. [14] βαβ. χ. ἀδιάφορα.

εἴτουν ἐκπορεύεται*. συμπεραίνεις τὰ ἀσυλλόγιστα, καὶ ἢ σεαυτὸν λανθάνεις, ἢ ἄλλους οἴει[1], μεταλαμβάνων τὴν ἀποστολὴν εἰς ἐκπόρευσιν; δεῖ γὰρ πάντως ἐν τῷ συλλογισμῷ[2], τὸν αὐτὸν εἶναι τὸν μέσον δυοῖν προτάσεων[3] ὅρον, καὶ μηδετέρου τῶν ἄκρων παντάπασιν ἕτερον· εἴ γε μέλλοι συνδετικὸς εἶναι τούτων καὶ ὄντως μέσος· ἢ βούλει σοι καὶ αὐτὸς μικρόν τι συμπαίξω, τὴν σὴν προσλαμβάνων πρότασιν καὶ τοὺς ὁμοίους σοι συμπλέκων συλλογισμοὺς, εἰπεῖν· τὸ ἀποστελλόμενον ἐκ τοῦ πέμποντος ἐκπορεύεται· ἀλλὰ μὴ ἡλίκου[4], ὦ θεία Τριὰς, καὶ μόνου τοῦ κατὰ τὸ[5] σχῆμα τοῦ λόγου τολμήματος· οὐ γὰρ τὸ ἐμὸν λέγω, ἀλλὰ τὸ τοῦ ἀντιλέγοντος, θριαμβεύω, πάλιν εἰπεῖν, τὸ ἀποστελλόμενον, ἐκ τοῦ πέμποντος ἐκπορεύεται· καὶ ἵνα παρῶ τἄλλα "λειτουργικὰ, κατὰ τὸν Ἀπόστολον, πνεύματα εἰς διακονίαν ἀποστελλόμενα[6]," ἀπεστάλη σαφῶς παρὰ τοῦ Θεοῦ καὶ Μωσῆς· οὕτω γὰρ καὶ πρὸς Φαραὼ λέγειν ὥριστο· "ὁ ὢν ἀπέσταλκέ με[7]." Ἀπεστάλη καὶ παρὰ τοῦ Θεοῦ καὶ ὁ Βαπτιστὴς κατά τε τὴν προφητείαν· "Ἰδοὺ, ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου[8]." Καὶ κατ' αὐτὸν ἐκεῖνον· "ὁ πέμψας με γάρ, φησι, βαπτίζειν ἐκεῖνος μοὶ εἶπεν[9]·" ἀπεστάλησαν οἱ Ἀπόστολοι παρὰ τοῦ Κυρίου, καθά φησιν αὐτός· "καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ κἀγὼ πέμπω ὑμᾶς[10]·" εἰ δὴ τούτων ἑκάστῳ τὴν σὴν ἐπισυνάπτομεν πρότασιν, τὴν, ὅτι πᾶν τὸ ἀποστελλόμενον ἐκ τοῦ πέμποντος ἐκπορεύεται, ποίαν ἀτοπίαν οὐχ ὑπερβαίνει τὰ ἐντεῦθεν συναγόμενα συμπεράσματα; ἢ τοίνυν οὐ ταὐτὸν ἀποστολὴ καὶ ἐκπόρευσις[11], ἢ εἰ ταὐτὸν, ἴδιος ἂν εἴη καὶ τῶν ἄλλων πάμπαν ἐξῃρημένος, ὁ τρόπος τῆς τοῦ Πατρὸς ἀποστολῆς τε καὶ ἐκπορεύσεως· ἡμῖν μὲν ἄγνωστος, αὐτῷ δὲ μόνῳ καὶ τῷ συγγενεῖ λόγῳ καὶ τῷ θεογόνῳ Πατρὶ γνωστός· ἢ καὶ ἡμῖν τοσοῦτον γνωστὸς, ὅσον ὁμογενὴς Υἱὸς

(margin: ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται. | ἐκ τοῦ Υἱοῦ ἀποστέλλεται. | τὸ ἀποστελλόμενον ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα†.)

[1] βαβ. χ. οἴεις. [2] Ὀξ. χ. καὶ βαβ. ἐν τοῖς συλλογισμοῖς. [3] βαβ. χ. προτάσεσιν. Ὀξ. προτᾶσθαι. [4] βαβ. χ. καὶ Ὀξ. ἡλίκοις. [5] βαβ. χ. κατὰ σχῆμα τοῦ λόγου. [6] Παῦλος ἐν τῇ πρὸς ἑβρ. ἐπισ. κεφ. α΄. § 14. [7] Ἔξοδος. [8] Ματθ. κεφ. ια΄. § 10. [9] Ἰωάν. κεφ. α΄. § 33. [10] Ἰωάν. κεφ. κ΄. § 21. [11] Ὀξ. χ. ἐκπόρευσιν.

* ἡ σημ. αὕτη λείπει ἐκ τοῦ ἡμ.

† λείπει ἔκ τε τοῦ βαβ. χειρ. καὶ τοῦ τῆς Ὀξονίας.

ἐξηγήσατο· οὐχ ὅσον καὶ ἡ σὴ προσεξεῦρε γνῶσις, ὡς ἄρα τὴν θείαν γνῶσιν ὑπερελάσασα. Τὸ γοῦν ἡμῖν γνωρισθὲν διὰ τοῦ Υἱοῦ, τοσοῦτόν ἐστι μόνον· ὅτι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ μὲν ἀποστέλλεται· ἐκ τοῦ Πατρὸς δὲ, ὡς ἐκ πηγαίας ἀρχῆς, ἐκπορεύεται· ἢ εἰ βούλει καὶ ἀποστέλλεται[1] καὶ τοῦτο μὲν οὕτω. Περὶ δὲ τῆς τῶν χαρισμάτων λήψεώς τε καὶ μεταδόσεως, ἣν ἐκ τοῦ Εὐαγγελίου συνάγειν δοκεῖς καὶ τῶν τοῦ Κυρίου λόγων· "ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν·" καὶ ὅτι "οὐκ ἀφ' ἑαυτοῦ τι λαλήσει[2]," θαυμάσαι μ' ἂν εἴ τις καὶ μετρίως ταῖς λέξεσιν ἐφιστάνειν πεπειραμένος, εἰς ἀμφιβολίαν ἄξει, τὸ τὸν Υἱὸν μὴ ἐξ αὐτοῦ δηλοῦν βούλεσθαι τὸ Πνεῦμα λαμβάνειν, ἀλλ' ἐκ τοῦ Πατρός· οὐ γὰρ εἶπεν, ὅτι ἐξ ἐμοῦ λήψεται· ἀλλ' ἐκ τοῦ ἐμοῦ· ἐμὸν δὲ, τίνα ἂν ὁ Υἱὸς εἰ μὴ τὸν Πατέρα λέγοι[3]· ἐξ οὗ μόνος γεννώμενος, εἰκότως καὶ ἰδιοῦται αὐτόν; ἀλλ' εἰ καὶ ὡς γεννήτορα ἰδιοῦται, ἀλλ' ἔστιν ὁρᾶν αὐτὸν καὶ τὸ Πνεῦμα λαμβάνοντα κοινωνόν· ἐν οἷς τὰ ἑαυτοῦ τε καὶ τὰ τοῦ Πνεύματος, ἐπίσης ἀναφέρει πρὸς τὸν Πατέρα· καὶ αὖ ἰδίᾳ παραδιδόντα, τὴν πρὸς τὸν Πατέρα τοῦ Πνεύματος γνησιότητα· ὃ γὰρ εἴρηκε περὶ ἑαυτοῦ, ὅτι ἀπ' ἐμαυτοῦ ἐλάλησα οὐδὲν[4], τοῦτο καὶ νῦν λέγει περὶ τοῦ Πνεύματος, οὐ γὰρ ἀφ' ἑαυτοῦ τι λαλήσει· καὶ ὃν νῦν ἰδίως δοκεῖ λέγειν περὶ τοῦ Πνεύματος· ὅτι ὅσα ἂν ἀκούσῃ, λαλήσει, τοῦτο καὶ κοινῶς εἰπὼν ἔφθη πρὸς τὸν Νικόδημον. Ἀμὴν λέγω ὑμῖν· ὃ οἴδαμεν λαλοῦμεν· καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν[5]. Πόθεν δὲ οἴδασι καὶ παρὰ τίνος ὁρῶσι τε καὶ ἀκούουσιν; ἢ δῆλον, ὡς παρὰ τοῦ Πατρὸς, ἐξ οὗ καὶ τὸ ὑπερουσίως εἶναι αὐτοῖς· καὶ ὃν γοῦν αὐτὸς ὡς γεννήτορα ἰδιώσατο εἰπών· ἐκ τοῦ ἐμοῦ λήψεται, τοῦτον αὖθις ἰδιοῖ καὶ τῷ Πνεύματι· περὶ τούτου λέγων, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· οὕτως ἄρα προσῆκε τὸν Υἱὸν, καὶ τὴν συμφυΐαν δηλοῦν ἑαυτοῦ

Σημ. τὸ, "ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν" ῥηθὲν παρὰ τοῦ Κυρίου πρὸς τὸν Νικόδημον, περὶ ἑαυτοῦ καὶ περὶ τοῦ ἁγίου Πνεύματος εἴρηται, ὡς εἰδότων καὶ ἑωρακότων παρὰ τοῦ Πατρὸς τῶν φώτων *.

[1] ἐντεῦθεν ἄρχεται τὸ ἐλλεῖπον μέρος τοῦ τῆς Ὀξόνιας χειρογράφου.
[2] Ἰωάν. κεφ. ις'. § 13—14.
[3] βαβ. χειρ. ὁ Υἱὸς λέγει εἰ μὴ τὸν Πατέρα, ἐξ οὗ μόνος γεννώμενος.
[4] Ἰωάν. κεφ. ιβ'. § 49.
[5] Ἰωάν. κεφ. γ'. § 11.

* Ἡ σημ. αὕτη λείπει πᾶσα ἐκ τοῦ βαβ. χ.

καὶ τοῦ Πνεύματος, καὶ διακρίνειν τὰς ἰδιότητας. Καὶ ταῦτα μὲν οὕτω λελύσθω[1].

Ἀντίθεσις. Ἀλλ' εἰ μὴ ἐκ τοῦ Υἱοῦ, φησιν, ἐκπορεύεται τὸ Πνεῦμα, πῶς τὸ ἐμφύσημα τοῦ Υἱοῦ, Πνεῦμα ἅγιον εἴρηται; ἐνεφύσησε γάρ, φησι, καὶ λέγει τοῖς μαθηταῖς λάβετε Πνεῦμα ἅγιον[2].

Λύσις[3]. Τοῦτο μόνον ζητεῖς, ἢ κᾀκεῖνα; πῶς εἴρηται Πνεῦμα Χριστοῦ; εἴ τις γάρ, φησιν, οὐκ ἔχει Πνεῦμα Χριστοῦ, οὐκ ἔστι Χριστοῦ[4]· καὶ ὁ προφήτης· "τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν· καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν·" ἤδη γὰρ ἤκουσά σου καὶ στόμα Κυρίου τὸν λόγον λέγοντος· Ἐγὼ δέ σε καὶ τῆς Παλαιᾶς ἀναμνήσω πλάσεως ἵνα πλείονα τὴν ὕλην τῆς ἀπορίας συναγαγών, μείζονα τὸν πυρσὸν ἀνάψω τῆς λύσεως· καὶ πάντα σοῦ κατακαύσω[5], τὰ φρικώδη προβλήματα, τῷ ἀστέκτῳ πυρὶ τοῦ τῆς ἀληθείας Πνεύματος. "Καὶ ἔπλασε γάρ," φησιν, "ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ἄνθρωπος εἰς ψυχὴν ζῶσαν." Τάχα γὰρ ἀκολούθως ἐρεῖς κᾀκεῖ τὸ ἐμφύσημα, τὸ Πνεῦμα εἶναι τὸ ἅγιον;

Πῶς γὰρ οὔ, τὸ τοῦ αὐτοῦ ὂν ἐκεῖ τε κᾀνταῦθα· λέγω δὴ τοῦ Υἱοῦ, πρὸς ὃν εἴρηται· "ποιήσωμεν ἄνθρωπον·" καὶ περὶ οὗ πάλιν· "καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον," εἶτα "καὶ ἐνεφύσησεν." [Γεν.]

Ὅτι ἡ τοῦ Πνεύματος φωνὴ πολυσήματόν[1] ἐστιν.

Λύσις. Ἀλλ', ὦ βέλτιστε, ἐρωτήσω δέ σε κᾀγώ· σὺ δέ μοι ἀπόκριναι. Πότερον τὸ Πνεῦμα, τοῦτο δὴ λέγω τὸ ὄνομα[6], καθ' ἑνὸς ἀεὶ λαμβάνεται παρὰ τῇ Γραφῇ τοῦ σημαινομένου πράγματος, οἷον τοῦ ἑνὸς τῆς τριάδος[7] Πνεύματος, ἢ καὶ καθ' ἑτέρων πλειόνων; εἰ μὲν γὰρ ἓν τοῦτο καὶ μόνον σημαίνειν φῇς, πῶς καὶ ὅλη θεότης λέγεται Πνεῦμα; καὶ αὖ ὁ Πατήρ, καὶ πάλιν ὁ Υἱὸς καθὰ εἴρηται· τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφη-

[1] *βαβ. χ. πολυσημάντευσιν. Παρ. χ. Πῶς γὰρ οὔ; εἴ τι ἡ τοῦ Πνεύματος φωνὴ πολυσήμαντός ἐστι.*

[1] βαβ. χ. λελύσθων. [2] Ἰωάν. κεφ. κ'. § 22. [3] Ἡ λέξις Λύσις ἐκλείπει τοῦ βαβαρικοῦ χειρογράφου. [4] Παῦλ. ἐν τῇ πρὸς Ῥ. ἐπιστολῇ. κεφ. η'. § 9. [5] βαβ. χ. καταπαύσω τὰ φρυγανώδη προβλ. [6] βαβ. χ. τοῦτο δὴ λέγω καθ' ἑνός. [7] βαβ. χ. τῆς τριάδος ἁγίου Πνεύματος.

μοῦντι· "καὶ Πνεῦμα ὁ Θεὸς, καὶ Πνεῦμα πρὸ προσώπου[1] ἡμῶν Χριστὸς Κύριος." Πῶς δὲ καὶ τὰ ἑπτὰ ἠρίθμηται παρὰ Ἡσαΐᾳ πνεύματα; καὶ πάλιν ἄλλο πνεῦμα υἱοθεσίας, φησὶν ὁ Ἀπόστολος. Ποῦ δὲ θέσεις τὰς ἀγγελικὰς μυριάδας καὶ χιλιάδας, περὶ ὧν φησιν ὁ Δαυΐδ; "ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ Πνεύματα." Τὰ δὲ Πνεύματα τῶν δικαίων, κατὰ τὸ, "Πνεύματα καὶ ψυχαὶ δικαίων[2]." Καὶ τὸ, "Κύριε εἰς χεῖρας σου παρατίθημι τὸ πνεῦμα μου" παρὰ τῶν ἁγίων εἰωθὸς λέγεσθαι. Τὸ δὲ διαστελλόμενον τῷ ἀποκτείνοντι γράμματι καὶ ζωοποιοῦν Πνεῦμα· τὰ δὲ, κατὰ τὸν θεολογικωτατον Εὐαγγελιστὴν, "ὁμολογοῦντα Χριστὸν Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα[3]" καὶ ἐν σαρκὶ, ὄντα πνεύματα[4]. Ὀκνῶ γὰρ τούτοις καὶ τὰ μὴ ὁμολογοῦντα συναριθμεῖν· ὅτι καὶ τῆς ἁγιωσύνης ἐστέρηνται καὶ μὴ εἶναι ἐκ τοῦ Θεοῦ μεμαρτύρηνται· ἐκβάλλω δὲ τοῦ καταλόγου καὶ τὸ παρὰ τῷ Παύλῳ "πνεῦμα δουλείας[5]." πρὸς δὲ καὶ τὸ τοῦ Ἐκκλησιαστοῦ· "Ἰδοὺ, φησι, τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος" ἐῶ καὶ τὸ ἐν ψαλμοῖς τε καὶ τῷ Εὐαγγελίῳ λεγόμενον· "πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα." Καὶ, "τὸ πνεῦμα ὅπου θέλει πνεῖ[6]." εἰ καὶ μὴ ὡς τοῖς δευτέροις ὁμοίως ἀπόβλητον· ὅτι καὶ τοῦ Θεοῦ καὶ τῶν Θεοῦ θησαυρῶν προφητικῶς εἰπεῖν ἐξαγόμενον, ἀλλ' ὡς τῶν πρώτων ἀποπίπτον καθόσον ὑλικώτερόν[7] ἐστι καὶ πίπτον ὑπὸ τὴν αἴσθησιν. Τῶν γοῦν εἰρημένων ῥημάτων[8] ὅσα δὴ καὶ τῆς ἁγιωνυμίας ἠξίωται ἢ κατὰ φύσιν ἢ κατὰ χάριν, τοσούτων ὄντων ὡς καὶ ἀριθμὸν ὑπερβαίνειν· πῶς ἂν αὐτὸς συστείλῃς τὸ ὄνομα εἰς ἓν σημαινόμενον; Εἰ δ' ἀνάγκη πολυσήμαντον ὁμολογεῖν τοῦτο καθὰ καὶ[9] δέδεικται, προσήκοι ἂν τῷ νουνεχεῖ τῆς ἀληθείας ἐξεταστῇ, μὴ ἁπλῶς οὕτω καὶ ἀδιακρίτως ἐκδέχεσθαι[10] τὴν φωνὴν, ὡς ἓν τούτῳ σημαίνουσαν[11] πανταχοῦ τὸ συμπληρωτικὸν τῆς τριάδος Πνεῦμα· ἀλλὰ διαστέλλειν, οὗ μὲν τοῦτο, οὗ δὲ ἐκεῖνο σημαίνεται· ἵνα

[1] ἐντεῦθεν αὖθις ἄρχεται ἡ ἀκολουθία τοῦ τῆς Ὀξονίας χειρογράφου. [2] βαβ. χ. Πνεύματα καὶ ψυχαὶ τῶν δικαίων. [3] Ἰωάν. ἐπιστολῇ πρώτῃ. κεφ. δ'. § 2—3. [4] βαβ. χ. καὶ ἐκ τοῦ Θεοῦ ὄντα ὄντα πνεύματα. [5] Παῦλ. ἐν τῇ πρὸς Ῥωμ. ἐπιστ. κεφ. η'. § 15. [6] Ἰωάν. κεφ. γ'. § 8. [7] Ὀξ. χ. ὑλικώτερόν τε ἐστί. [8] βαβ. καὶ Ὀξ. χ. πνευμάτων. [9] Ὀξ. χ. καθὰ δέδεκται. [10] Ὀξ. χ. ἐκδέχεσθαι. [11] βαβ. χ. σημαίνουσα.

μὴ τῷ ἄλλην ἄλλῳ τῆς ἐκδοχῆς· εἰς ἀτοπίας ἀποκριμνίζηται βάραθρα [ἡ ἀνεπισφαλὴς ἑρμηνεία τοῦ πῶς εἴρηται τὸ Κυριακὸν ἐμφύσημα Πνεῦμα ἅγιον, καὶ ὅσα ἕπεται ἄτοπα τῇ τοῦτο εἶναι τὸ θεαρχικὸν Πνεῦμα ἐκλαμβάνουσι δόξῃ [1]]. Καὶ μὴν [2] εἰ μὴ χάρισμα πνευματικὸν ἤτοι θεῖον ἐκλάβοιτό τις· ὑπὸ τῆς τοῦ Κυρίου φωνῆς ἐκλάβοιτό τις σημαίνεσθαι [3] λέγοντος· λάβετε Πνεῦμα ἅγιον· ὃ καὶ αὐτὸς αὐτίκα δηλοῖ διὰ τῆς ἐπαγωγῆς ἀφορίζων τὸ δῶρον, καὶ ὅπερ τί ἐστὶν ἀριδηλότατα παριστῶν· ὅτι τοῦ δεσμεῖν τε καὶ λύειν ἡ ἐξουσία· ἧς δὴ καὶ πάλαι προκατεβάλετο τὴν ὑπόσχεσιν ἀμοιβὴν τῆς ὁμολογίας δώσειν τῷ κορυφαίῳ τῶν μαθητῶν τὰς τῆς βασιλείας κλεῖς ὑποσχόμενος. Ὡς "ὅπερ ἂν δήσῃ ἐπὶ τῆς γῆς, εἶναι δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὅπερ ἂν λύσῃ, εἶναι λελυμένον [4]·" εἰ μὴ τοῦτο ἀλλ' αὐτὸ τὸ ἀνυπόστατον πνεῦμα φαίη τὸ τηνικαῦτα [5] κατὰ τὴν ἡμετέραν ἐκδοχὴν διὰ τοῦ Κυριακοῦ ἐμφυσήματος τοῖς μαθηταῖς δίδοσθαι, ἵν' οὕτω καὶ τὴν ἐκ τοῦ Υἱοῦ συστήσῃ ἐκπόρευσιν. Πρῶτον μὲν οὐκ ἔχω πῶς ταύτην ἀξίαν τοῦ προσκυνητοῦ Πνεύματος τὴν δόξαν ἐρῶ; ἢ καὶ πρόσφατον αὐτῷ τὴν πρόοδον τερατεύεται καὶ εἰς ἓν συγκλείει τὴν ὅλην αὐτοῦ δύναμιν χάρισμα. Ἔπειτα οὐδεμίαν ὁμολογεῖν ἀνάγκη οὐδὲ τοῦ ἑνὸς καὶ θείου Πνεύματος πρόοδον, τὸ τότε [6] τοῖς Ἀποστόλοις δοθὲν ἐμφύσημα· καὶ τὸ πάλαι γεγονὸς εἰς ψυχὴν ζῶσαν τῷ πρωτοπλάστῳ· καὶ ἔτι τὸ, πᾶσαν στερεώσαν τῶν οὐρανῶν τὴν δύναμιν. Πῶς γὰρ μία, ἡ διαφόροις χρόνοις συντελεσθεῖσα; καὶ πῶς ἕν, ὃ μηδεμίαν [7] ἔσχε τὴν πρόοδον; ὥς περ δὴ καὶ τὴν γέννησιν ὁ Υἱός. Λέγω δὴ τὴν θείαν καὶ προαιώνιον· ἐξηρείσθω γὰρ νῦν ἡ κάτω καὶ πρόσφατος [8]· εἰ μὴ καθάπερ διπλοῦς ὁ Υἱὸς διὰ τὴν διπλῆν γέννησιν, οὕτω σοι καὶ πνεῦμα διπλοῦν διὰ τὴν διπλῆν πρόοδον σχεδιάζεται [9]· μᾶλλον

[1] τὸ παρένθετον χωρίον ἐν τῷ βαβαρικῷ ἀναγινώσκεται χειρογράφῳ. [2] Ὀξ. καὶ βαβ. χ. καὶ τοίνυν εἰ μή. [3] βαβ. καὶ Ὀξ. ὑπὸ τῆς τοῦ κυρίου φωνῆς σημαίνεσθαι. [4] Ματθ. κεφ. ιϛʹ. § 19, καὶ κεφ. ιηʹ. § 18. [5] Ὀξ. χ. τῷ τηνικαῦτα. [6] Ὀξ. χ. τὸ, τοῦ τε τοῖς Ἀπ. [7] Ὀξ. χ. ὃ μὴ μίαν ἔσχεν. [8] βαβ. χ. καὶ Ὀξ. ἐξηρείσθω γὰρ νῦν ἡ κάτω καὶ πρόσφατος· Πῶς δὲ θεῖον τὸ χρονικῶς προϊὸν· εἰ μὴ καθάπερ. τὸ ἀραιωμένον χωρίον ὑπάρχει μὲν καὶ ἐν τῷ ἡμετέρῳ χρ. ἀλλὰ διαγεγραμμένον. [9] Ὀξ. χ. σχεδιάζεσθαι.

δὲ τοῦ τὸ καὶ πολλαπλοῦν. Ὁ μὲν γὰρ Υἱὸς ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων τὴν σαρκικὴν ἐδέξατο γέννησιν· τὸ δὲ κατὰ σὲ πνεῦμα τρεῖς ἤδη, τάχα δὲ καὶ πλείους, τὰς χρονικὰς προόδους δέχεται. Μίαν μὲν, τὴν οὐρανοῦ σύγχρονον· ἑτέραν δὲ, τὴν τῆς πλάσεως· καὶ τρίτην τὴν τῆς[1] καθ' ἡμᾶς φύσεως. Οὐδὲν δὲ διαφέρειν[2] καὶ τετάρτην, κατὰ τὸ, "πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα·" καὶ πέμπτην αὖθις, κατὰ τὸ, "ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται·" καὶ ἄλλην ἕκτην, καὶ ὅσας ἀναγομένας ἐκ τῆς Γραφῆς ἔξεστιν εὑρίσκειν κατὰ διαφόρους καιρούς. Ὡς μὲν τῷ καθ' ἡμᾶς καὶ ὀρθῷ λόγῳ δοκεῖ, ἄλλοτε ἄλλας ἐκφαινομένας τοῦ θείου Πνεύματος μᾶλλον δὲ τῆς ὅλης θεαρχίας, προνοίας καὶ χάριτας· ὡς δὲ[3] τοῖς σοῖς, ἐξανάγκης ἕπεται προόδους τοῦ Πνεύματος. Καὶ ταύτας, ἄλλας δή τινας· καὶ τῇ φύσει πάντως διαφερούσας τῆς προαιωνίου καὶ ὑπερχρονίου· ὅσῳ ταῦτα τῆς θεοπρεποῦς τοῦ Πνεύματος δόξης ἀνάξια. Πρὸς δὲ τούτοις, εἰ νῦν δίδωσιν ὁ Χριστὸς τὸ Πνεῦμα πρὸ τῆς Ἀναλήψεως, πρὸ τῆς εἰς τὸν πατρικὸν θρόνον καθιδρύσεως, πῶς ἠλήθευε λέγων· "ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται[4];" Τί δὲ τὸ μετὰ ταῦτα; "μετὰ ἤχου καθάπερ φερομένης βιαίας πνοῆς ἐπελθὸν καὶ καθίσαν ἐφ' ἕνα ἕκαστον αὐτῶν ἐν εἴδει πυρίνων γλωσσῶν;" καθὼς ὁ θεῖος Λουκᾶς ἀναγράφεται· "Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἐλάλουν ἑτέραις ξέναις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς[5]." Καὶ ἵνα μὴ πάντα κατὰ μέρος ἐπεξιὼν, τά, τε τῆς ἀπορίας, τά, τε τῆς ἀτοπίας εἰς ἀπέραντον ὁ λόγος προβαίνῃ· τοσαύτας ἀπαιτήσας εὐθύνας τὴν ἀδιάφορον τοῦ Πνεύματος ἐκδοχὴν, ἀρκείσθω. Λοιπὸν δὲ[6] ἀναλαβὼν ἑαυτὸν, τῆς ἐφεξῆς ἀκολουθίας ἐχέσθω. Ὅτι μὲν οὖν τὸ διὰ τοῦ Κυριακοῦ ἐμφυσήματος δοθὲν τοῖς Ἀποστόλοις ἅγιον Πνεῦμα χάρισμα μὲν ὑπῆρχε πνευματικὸν, οὐκ αὐτὸ δὲ τὸ ὅλον καὶ τέλειον, μᾶλλον δὲ ὑπὲρ πᾶσαν ὁλότητά τε καὶ συνδοξαζόμενον Πατρί τε

[1] βαβ. χ. καὶ τρίτην τὴν τῆς ἀναπλάσεως τῆς καθ' ἡμᾶς φύσεως.
[2] βαβ. χ. διαφέρον.
[3] βαβ. χ. ὡς δή.
[4] Ἰωάν. κεφ. ιϛ'. § 7.
[5] Πράξ. τῶν Ἀποστόλ. κεφ. α'. § 1—4.
[6] Ὀξ χ. λοιπὸν ἀναλαβών.

καὶ Υἱῷ Πνεῦμα ἅγιον, ἱκανῶς, οἶμαι, διὰ τῶν εἰρημένων δέδεικται· οὐδὲν δὲ ἧττον συναποδέδεικται[1]· ὅτι κἂν οὕτω τὸ χάρισμα προσηγόρευται, οὐκ ἀνάγκη τοῦτο τοῦ πνεύματος ἰδιοτρόπως νομίζειν ἐνέργειαν· ἵνα πάλιν εἴπῃς, ὅθεν ἐνέργεια, ἐκεῖθεν καὶ τὸ ἐνεργοῦν ἐκπορεύεσθαι· ἀλλὰ μᾶλλον ἐπείπερ ὧν ἡ οὐσία μία, τούτων[2] καὶ ἡ δύναμις μία καὶ ἡ ἐνέργεια, καὶ ταύτην ἀνάγκη κοινὴν εἶναι τῆς θεότητος ὅλης σημαινόμενον[3]. Πνεῦμα ὁ Θεός· πνευματικὸν οὖν ἤτοι θεῖον δίδωσιν ὁ Σωτὴρ τοῖς μαθηταῖς χάρισμα· τὴν τοῦ δεσμεῖν τε καὶ λύειν ἐξουσίαν. Οὐδὲν δὲ[4] διοίσει κἂν ἀῤῥαβῶνα τὶς τοῦτο φαίη, τῆς ὅσον οὔπω πεμφθησομένης αὐτοῖς πληρεστάτης τοῦ Πνεύματος δωρεᾶς· κἂν δύναμιν παρασκευαστικὴν εἰς ὑποδοχὴν τοῦ ἡγεμονικοῦ Πνεύματος, κἂν ἄλλο τι τῶν εἰς εὐσεβῆ σκοπὸν ἀναφερομένων· πάντως γὰρ, ἀχώριστος ἡμῖν ἡ τριὰς τηρηθήσεται καὶ τριὰς μένουσα κατὰ τὴν πρώτην ὑπόθεσιν· μάλιστα δὲ κατὰ τὴν τοῦ Κυρίου παράδοσιν. Καὶ δώσει μὲν οὐδὲν ὁ Υἱὸς ὃ μὴ παρὰ τοῦ Πατρὸς ἔχει· παρ' οὗ καὶ τὸ εἶναι ὑπερουσίως καὶ συνανάρχως· οὐδὲ μὴν ὃ μὴ ἐν πνεύματι οὗ μηδέποτε χωρίζεσθαι δύναται· ἐνεργήσει δὲ τὸ Πνεῦμα οὐδὲν ὃ μὴ παρὰ τοῦ Πατρὸς βλέπει[5] δι' οὗ ἐνεργούμενον τῶν ὁμοουσίων καὶ ἀχωρίστων. Ὁ δ' αὐτὸς ἂν ἁρμόζοι λόγος καὶ περὶ τοῦ πρώτου ἐμφυσήματος λέγεσθαι, ὡς οὐδ' ἐκεῖνο ἦν αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλὰ θείας χάριτος ἔλλαμψις τὸ τοῦ πρωτοπλάστου πρόσωπον καταλάμπουσα, καὶ ζωτικὴν αὐτῷ ἐνιεῖσα δύναμιν· ἣν ἐπεὶ διὰ τῆς παραβάσεως ἀπωλέσαμεν, αὐτόμολοι[6] τῷ θανάτῳ διὰ τὴν ἁμαρτίαν παραδοθέντες, ἐπανασώζει πάλιν ἡμῖν ὁ πλάστης ἐμφυσήσας τὸ δεύτερον· καὶ τοῖς μύσταις πιστεύσας τὴν ἐξουσίαν τῆς τῶν ἁμαρτημάτων ἀφέσεως· ταύτης[7] γὰρ τέως ἐχρή-

[Τῆς δοκούσης ἐπαυξήσεως τοῦ ἀντιθέτου ἡ ἀληθὴς ἔκκληψις *.]

Τοῦτο καὶ ὁ μέγας Κύριλλος λέγει ἐν τῷ εἰς τὰς βασιλίσσας **.

[1] βαβ. χ. δέδεικται ὅτι κἂν οὕτω τὸ χάρισμα. [2] Ὀξ. χ. τούτῳ. [3] Ὀξ. χ. καὶ ταύτην ἀνάγκη κοινὴν εἶναι τῆς ὅλης θεότητος σημαινόμενον· βαβ. χ. καὶ ταύτην ἀνάγκη καινὴν εἶναι τῆς ὅλης θεότητος τὴν ἐνέργειαν, οὕτως οὖν καὶ Πνεῦμα ὠνομάζεσθαι κατὰ τὸ κοινὸν, τῆς ὅλης θεότητος σημαινόμενον. [4] βαβ. χ. οὐδὲν διοίσιν. [5] Ὀξ. χ. βλέπειν. [6] Ὀξ. χ. αὐτό μοι. [7] Ὀξ. χ. ταύτην.

* οὕτως ἐν τῷ τοῦ βαβ. χ. περισελιδίῳ.
** ἐκλείπει τῶν ἄλλων ἡ σημείωσις αὕτη.

ζομεν, ἵνα ληθῇ τὸ τοῦ θανάτου κατάκριμα. Καὶ ταῦτα μὲν ταύτῃ· λοιπὸν δ' ἂν εἴη θεωρητέον τί τὸ, "πνεῦμα Χριστοῦ," ὅπερ "ὁ μὴ ἔχων οὐκ ἔστι Χριστοῦ," καὶ τί τὸ, "στερεῶσαν τὰς δυνάμεις τῶν οὐρανῶν πνεῦμα τοῦ στόματος Κυρίου." Καὶ εἰ μηδὲν ἕτερον ἀλλ' ἢ τὸ Πνεῦμα τὸ ἅγιον, πῶς τὸ τοῦ Υἱοῦ ὂν καὶ οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται; τοῦτο γὰρ ἤδη τὸ κρησφύγετον τοῖς ἀντιθέτοις καταλελεῖφθαι δοκεῖ φρούριον· ὅπερ ἐπειδὰν ἁλῷ καὶ κατασκαφῇ, τοῦτο γὰρ προλέγω θαῤῥῶν τῷ Πνεύματι, οὐκ οἶδ'[1] εἰς ὅτι ἕτερον καταφεύξονται. Ἐξῆν μὲν οὖν εἰπεῖν, Πνεῦμα μὲν εἰρῆσθαι Χριστοῦ, τὴν κατὰ Χριστὸν ἀπλανῆ γνῶσιν, ἣ τῷ τῆς πλάνης ἀντιδιαστέλλεται πνεύματι· περὶ οὗ, φησιν ὁ[2] Ἡσαΐας· "Γνώσονται οἱ πλανώμενοι τῷ πνεύματι" καὶ ὡς εἴ τις οὐ ταύτην ἔχει τὴν γνῶσιν, λέγω δὴ τὴν κατὰ Χριστὸν, οὐκ ἔστι Χριστοῦ. Λόγον δὲ Κυρίου καὶ πνεῦμα, τὸν προφήτην παραλαβεῖν, εἰς παράστασιν τῆς μιᾶς καὶ τριαδικῆς ὑπερουσιότητος, ἵνα Κύριον μὲν νοήσωμεν τὸν Πατέρα, Λόγον δὲ, τὸν τῆς μεγάλης βουλῆς τοῦ Πατρὸς ὀνομαζόμενον ἄγγελον, ὡς ἐκφάντορα τῶν ὑπερνόων αὐτοῦ νοημάτων Υἱόν. Ἀκολούθως δὲ καὶ πνεῦμα, τὸ οἷον ἐκ νοῦ τοῦ Πατρὸς τῷ γεννωμένῳ λόγῳ συμπροϊὸν καὶ τὴν δημιουργίαν συνεργαζόμενον· παραλαβεῖν δὲ καὶ τὸ[3] στόμα, οὐχ ἵνα στόμα καὶ λόγον ἐκ παραλλήλου ταὐτόν τι λαβὼν ἐκ τοῦ λόγου τὸ πνεῦμα ἐρεῖς, ὡς ἐκ στόματος ἐκπορεύεσθαι· οὐδὲ γὰρ ὁ παρ' ἡμῖν λόγος καὶ τὸ στόμα ταὐτόν· οὐδ' ἵνα τὸ θεῖον ἀνθρωπόμορφον ὑπολάβωμεν· οὐδὲ γὰρ ὁ λόγος ἐκεῖ καὶ τὸ Πνεῦμα, τοιαῦτα οἷα[4] παρ' ἡμῖν· ἀλλ' ἄῤῥητά τινα καὶ ἀκατάγνωστα· καὶ τὴν[5] ἡμετέραν γνῶσιν ὡσαύτως καὶ τὴν ἀγγελικὴν διαφεύγοντα. Ἀλλ' εἴωθεν ἡ θεολογία τῇ τῶν ἀκουόντων ἀσθενείᾳ συγκαταβαίνειν, καὶ διὰ τῶν παρ' ἡμῖν[6] ὀνομάτων παραδηλοῦν ὡς οἷόν τε τὰ ἀπόῤῥητα. Οὕτω γοῦν[7] καὶ τὸν προφήτην Δαυῒδ τοῖς συνεγνωσμένοις ἡμῖν ὀνόμασιν εἰς παράστασιν[8] τῆς ἀκαταλήπτου φύσεως χρήσασθαι, τὴν κοσμογένειαν ἐξηγούμενον λόγῳ Κυρίου συντελουμένην καὶ πνεύματι. Καὶ

[1] *βαβ. χ. οὐκ εἶδ' εἰς ὅτι.* [2] *βαβ. χ. φησὶν Ἡσαΐας.* [3] *παραλαβεῖν δὲ καὶ στόμα.* [4] *τοιαῦτα οἷα τὰ παρ' ἡμῖν.* [5] *καὶ τήν τε ἡμετέραν.* [6] *διὰ τὸν ἐν ἡμῖν.* [7] *οὕτω δή.* [8] *παράστησιν.*

ἐπεὶ τὸν παρ' ἡμῖν λόγον οὐκ ἔστιν ἄλλως αὐτοτελῆ προελθεῖν καὶ τὸ τοῦ νοῦ ἐξαγγεῖλαι βούλημα· μὴ τοῦ νοῦ[1] χρησαμένου τῷ στόματι καὶ δι' αὐτοῦ τὸν λόγον οἷον μορφώσαντος ἐν τῷ κατὰ τὴν φωνὴν πνεύματι. Διὰ τοῦτο κἀκεῖ τὸ στόμα παραλαβεῖν, ἵνα δείξῃ τῷ λόγῳ γεννωμένῳ, τὸ πνεῦμα συμπροϊὸν ἐκ τοῦ Πατρὸς ὡς ἐκ στόματος. Μᾶλλον οὖν δύναμίν τινα πατρικὴν νοητέον τὸ στόμα, ἐν ἑαυτῇ τὸν λόγον γεννῶσαν, καὶ ἑαυτῆς προάγουσαν σὺν τῷ πνεύματι. 'Αλλ' εἰ καὶ ταῦτα ἐξῆν εἰπεῖν καὶ ἀπαλλαγῆναι· καὶ μηκέτι πράγματα ἔχειν πρὸς τοὺς λέγοντας, ὡς ἐπεὶ τὸ Πνεῦμα, Πνεῦμα Χριστοῦ καὶ Πνεῦμα τοῦ Λόγου λέγεται, δῆλον ὡς καὶ ἐξ αὐτοῦ[2] ἐκπορεύεται. Ὅμως δέχομαι τὸ Πνεῦμα μὴ λέγεσθαι μόνον, ἀλλὰ καὶ εἶναι Χριστοῦ· καὶ τοὺς οὕτως ἐξειληφότας τὴν 'Αποστολικὴν ῥῆσιν ἁγίους πατέρας ἀσπάζομαί τε καὶ ἀποδέχομαι· εἰ δὲ βούλει, καὶ στόμα Κυρίου δεδόσθω τὸν Υἱόν τε καὶ Λόγον λέγεσθαι· ἵνα τῷ 'Αποστολικῷ λόγῳ τὸν Προφητικὸν παράγειν ἔχεις συνᾴδοντα. Τί τοίνυν ἐκ τούτων βούλει συνάγειν; ἢ δηλονότι τὸ εἰρημένον, ὡς ἐπεὶ τὸ Πνεῦμα Χριστοῦ καὶ Υἱοῦ λέγεται καί ἐστιν, ἀνάγκη τοῦτο καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι· τίς οὖν ἡ ἀπόδειξις; 'Ανάγκη δὲ ποία εἴ τι λέγεται καὶ ἔστι τινὸς, ἐξ ἐκείνου τοῦτο καὶ ἐκπορεύεσθαι· εἰ μὲν[3] γέγραπται που τὸ Πνεῦμα, ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, δέχομαι τὴν γραφὴν, καὶ οὐκ ἀντιλέγω, μόνον εἰ θεόπνευστός ἐστιν· εἰ δ' οὐ γέγραπται, ἀλλὰ σὺ τοῦτο καινοτομεῖς, οὐ προσίεμαι, πρὶν ἂν τὸ εὔλογον ἐπιγνῶ· μᾶλλον δὲ οὐδέποτε, εἴ τι τοῖς ὀρθῶς κειμένοις καὶ πεπιστευμένοις ἀντιδοξεῖ· εἰκὸς γὰρ τὸ δόξαν εὔλογον, μὴ καὶ τοιοῦτον εἶναι. Πολλὰ γὰρ ἢ μᾶλλον εἶναι τὰ πλείω, ἃ[4] τὴν ἐμὴν διαπέφευγε γνῶσιν· ὁπότε δὲ προφανῶς πολλῆς καὶ δεινῆς ἀτοπίας τὸ εἰσαγόμενον ἀναπέπλησται, πῶς προσήσομαι;

'Αντίθεσις[5]. Καὶ τί, φησιν, ἄτοπον, τὸ Πνεῦμα, λέγειν ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι;

[1] βαβ. χ. τὸ τοῦ νοῦ χρησαμένου, τὰ μεταξὺ λείπει. [2] δῆλον ὡς καὶ αὐτοῦ ἐκπορεύεται. [3] βαβ καὶ 'Οξ. χειρ. εἰ μὲν γὰρ γέγραπται. Ἄχρις ἐνταῦθα τὸ 'Οξονικὸν πρὸς τὸ ἡμέτερον παρέβαλον χειρόγραφον, τὸ δὲ λοιπὸν κωλυθεὶς οὐ παρέβαλον. [4] βαβ. χ. πολλὰ γὰρ εἰ μᾶλλον τὰ πλείῳ τὴν ἐμὴν διαπέφευγε γνῶσιν. [5] Λείπει ἡ λέξις αὕτη ἐκ τοῦ βαβ. χ.

Λύσις. Τί δὲ[1]; πολλὰ καὶ δεινά· πρῶτον μὲν, ὅτι καινοτομεῖται τὸ κήρυγμα, καὶ πατέρων ὅρια μετατίθενται. Δεύτερον, ὅτι τὸ τὸν πατρόθεν εἰς ἡμᾶς καθήκοντα θεῖον κλῆρον ἀθετεῖν[2], καὶ τὴν πίστιν παραχαράττειν, τῆς τῶν πατέρων κοινωνίας ἐστὶν ἀλλοτρίωσις· πρὸς τῷ καὶ τὰς παρ' ἐκείνων τε θείας ἀρὰς κατὰ τῶν καινοτομεῖν τὴν πίστιν τολμώντων ἐφέλκεσθαι. Τρίτον, ὅτι τὴν τῶν ἁγίων ὁμολογίαν, ἀτελῆ τό γε καθ' ἑαυτὸ διὰ τῆς νέας προσθήκης ἀποφαίνων[3], εἰς κενὸν πεπονῆσθαι παρασκευάζει[4]· τὰ μὲν ἆθλα τοῖς μάρτυσι· τοῖς ἀσκηταῖς δὲ τὰ τῆς ἀσκήσεως σκάμματα, τοῖς ἱερεῦσι δὲ τὰ τῆς ἱερουργίας, αὐτοῖς δὲ τοῖς αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις, τὸν τοῦ κηρύγματος δρόμον. Τέταρτον, ὅτι καὶ τὴν Κυριακὴν ἀπόφασιν ἀπογράφεται· τὴν, ἀρκετὸν τῷ μαθητῇ λέγουσαν ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ· τὸ πλέον ἔτι[5], παρὰ τοὺς θεοφόρους διδασκάλους οἴεσθαι ἐξευρεῖν. Πέμπτον, ὅτι τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ Πνεῦμα θεολογήσαντος ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, τὸ τολμᾷν τινὰ προστιθέναι τὶ τῇ θεολογίᾳ παρ' ἑαυτοῦ, ὡς ἄρα δευτέρου νῦν ἐκ δυσμῶν φανέντος καθηγητοῦ σαφεστέρου τε καὶ ἀκριβεστέρου τῆς θεότητος ἐξηγητοῦ, παρὰ τὸν ἕνα καὶ πρῶτον καὶ μόνον ἡμῶν καθηγητὴν καὶ διδάσκαλον Χριστὸν, τὸν "ἐκ Θαιμὰν, κατὰ τὸν προφήτην, ἐξανατείλαντα," οὐκ οἶδα ποίαν θράσους καὶ ἀπονοίας ὑπερβολὴν, οὐ κάτω τίθησιν. Ἕκτον, ὅτι καὶ τὸ ἓν σῶμα τῆς ἐκκλησίας Χριστοῦ τὸ καλῶς ἡρμοσμένον καὶ ἡνωμένον τῷ Πνεύματι, κακῶς διασπαράζειν[6] καὶ διασχίζειν τὸ καινὸν τοῦτο δόγμα νεανιεύεται· ξένην ἐπεισάγων καὶ ἀσυνήθη φωνὴν, καὶ ἀναξίαν τοῦ Πνεύματος· καὶ ἧς οὐκ ἤκουσεν οὐδ' ἂν ἀκούσοι[7] ποτὲ τὰ γνήσια τοῦ Χριστοῦ θρέμματα, καὶ τῆς αὐτοῦ μόνου Χριστοῦ φωνῆς ἀκούειν δεδιδαγμένα· κᾂν μεῖζον οἴηται τῶν Ἅδου πυλῶν ἀνοίγειν τὸ χάσμα, τὸ τοὺς Ἀποστολικοὺς ἁρπάζειν θρόνους καὶ καταπίνειν, κατισχῦσαι τῆς ἐκκλησίας τερατευόμενον. Ἕβδομον, ἔδει γὰρ αὐτὸ πᾶν[8] μέτρον κακίας

[1] βαβ. χ. Τί πολλὰ καὶ δεινά; [2] κ. θεῖον κλῆρον καὶ τὴν πίστιν. [3] ἀποφαῖνον. [4] κατασκευάζει. [5] τὸ πλέον τι. [6] βαβ. χ. κατασπαράσσειν. [7] οὕτως ἐν τῷ πρωτοτύπῳ. [8] βαβ. χ. αὐτὸ μέτρον κακίας.

διεξελθεῖν, καὶ τὰ ἑπτὰ τῆς πονηρίας εἰσοικίσασθαι πνεύματα, ὅθεν τὸ ἓν ἐξωθεῖται πνεῦμα· ἵνα καὶ τὴν ἑπταπλασίονα δίκην κατὰ τῶν ἐξάρχων αὐτοῦ ἐπισπάσηται, ὅτι τὰς πάλαι καλῶς καταργηθείσας, συγχυθείσας τε καὶ διασπασθείσας αἱρέσεις, Ἀρείου καὶ Σαβελλίου, Εὐνομίου τε καὶ Μακεδονίου τῶν καταράτων ἀνακαινίζον, συγχεῖν αὖθις τὴν τριάδα πειρᾶται, καὶ διασπᾷν τὴν ἄτμητον καὶ ἀσύγχυτον· Πατρὸς μὲν καὶ Υἱοῦ συμφύρον τὰς ἰδιότητας, ἀποτέμνον δὲ τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ τοῦ παντὸς πληρώματος τῆς θεότητος. Δι' ἃ μὲν οὖν ἐγὼ τὴν καινοτομίαν ἐκκλίνω, ταῦτα καὶ τοσαῦτά ἐστιν· ἴσως δὲ καὶ πλείῳ, εἴ τις περιεργότερον ἐξετάσειε· πλὴν εἰ μὴ ταῦτα [1] δεινὰ καὶ μεγάλα, τίνα τὰ μείζω τε καὶ δεινότερα;

Ἀλλ' ἐχρῆν μὲν μὴ δ' ἀπολογεῖσθαι τοῖς οὕτω καινοφώνοις καὶ καινοπίστοις· ἀφίστασθαι γὰρ ἀπὸ τῶν ἑτεροδιδασκαλούντων καὶ τὰς μωρὰς παραιτεῖσθαι συζητήσεις ἐκτρέπεσθαί τε τὰς βεβήλους καινοφωνίας [2] ἐπιτετράμμεθα. Ἐπεὶ δὲ τὰ σπλάγχνα τῆς θείας ἀγάπης, τρίτης μὲν τοὺς τοιούτους ἀπαξιοῖ διαλέξεως [3], πρώτης δὲ καὶ δευτέρας νουθεσίας κατὰ τὸν μακάριον Παῦλον [4] ἀγαθοπρεπῶς μεταδίδωσι τὴν αὐτῶν μαστευομένῃ [5] διόρθωσιν, καλὸν ἂν εἴη καὶ πάλιν αὐτοῖς μικρὰ προδιαλεχθῆναι· ὅσον καὶ τὸ [6] τοῦ λειπομένου πρὸς ἐξέτασιν προβλήματος αὐτῶν ἀδιανόητον ἐλεγχθῆναι.

Ἀντίθεσις. Εἰ τὸ Πνεῦμά, φησι, Πνεῦμά ἐστι τοῦ Υἱοῦ, καθὰ εἴρηται, Πνεῦμα Χριστοῦ καὶ Πνεῦμα στόματος Κυρίου· κείσθω γὰρ καὶ στόμα λέγεσθαι τὸν Υἱόν. Ἐγὼ δὲ προσθήσω καὶ Πνεῦμα τῆς ἀληθείας, ᾗ [7] καὶ μάλιστα ὡμολόγηται [8], πῶς οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα;

Λύσις [9]. Ὅτι φημὶ, οὐκ ἀνάγκη τὸ τινὸς ὂν, ἐξ αὐτοῦ πάντως καὶ ἐκπορεύεσθαι· ᾗ γὰρ καὶ ὁ Υἱὸς τοῦ Πατρὸς ὢν Υἱός· καὶ ὁ Πατὴρ τοῦ Υἱοῦ Πατὴρ καὶ τοῦ Πνεύματος προβολεύς [10]· ἀλλὰ σύναγε τὸ συμπέρασμα. Ὃς οὐδ' ἐξ Ἀβραὰμ ἴσως καὶ Ἰσαὰκ καὶ Ἰακὼβ [11] καὶ τῶν ἄλλων ὅσοι καὶ τεθνηκότες

[1] βαβ. χ. ταῦτα καὶ δεινά. [2] κενοφωνίας. [3] Ματθ. κεφ. ιη'. § 15—17. [4] Παῦλ. ἐν τῇ πρὸς Τίτ. ἐπιστ. κεφ. γ'. § 10. [5] ἴσως μαστευομένῳ. [6] ὅσον καὶ τοῦ λεγομένου. [7] βαβ. χ. ὅ. [8] ὁμολόγηται. [9] ἐκλείπει ἡ λύσις τοῦ β. χ. [10] ἀλλὰ σύ. [11] καὶ Ἰακὼβ καὶ Ἰσαάκ.

ζῶσι τῷ Θεῷ, ὀκνήσεις εἰπεῖν τὸν Θεὸν ἐκπορεύεσθαι· ὅτι δὴ καὶ Θεὸς αὐτῶν ἐστί τε καὶ λέγεται· καὶ τὴν γῆν οὕτως, καὶ τὸ τῆς γῆς πλήρωμα καὶ πᾶσαν τὴν κτίσιν, καὶ δημιουργικῶς ἔχειν ἐκ Θεοῦ τὸ εἶναι, ἀλλ' ἐκπορευτῶς, ὅτι "τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς καὶ πάντα τὰ ὄντα." Ἐγὼ δὲ διαφορὰν οἶδα τοῦ εἶναί τι τοῦδε, καὶ τοῦ ἐκ τοῦδε· τὸ μὲν γὰρ, οἰκείωσίν τινα βούλεσθαι δηλοῖ[1]· τὸ δὲ, ἀναφορὰν πρὸς τὸ αἴτιον· ὅθεν ἐκ τῶν καθ' ἡμᾶς ὑποδειγμάτων σαφηνίσω σοι τὸ λεγόμενον. Ἀδελφὸς ἀδελφοῦ μὲν λέγεται· ἐκ τοῦ ἀδελφοῦ δὲ, οὐ λέγεται[2]· ἀλλ' ἐκ τοῦ πατρός· ὃς ἦν ἀμφοῖν αἴτιος. Καὶ ἐπὶ τῶν φυτῶν, ὁ καρπὸς τοῦ κλάδου μὲν λέγεται· ἐκ τοῦ κλάδου δὲ, οὐ κυρίως ἂν λέγοιτο εἶναι[3]· ἀλλ' εἴ περ ἄρα διὰ τοῦ κλάδου· ἄμφω δὲ, ἐκ τῆς ῥίζης· ἣ καὶ ἄμφω σπερματικῶς ἐν ἑαυτῇ πρότερον ἔχουσα, κατὰ καιρὸν ὕστερον ἐξ ἑαυτῆς ἀνέδωκεν ἕκαστον. Οὕτως οὖν καὶ ἐπὶ τῆς ὑπὲρ ταύτης τριάδος. Ἐκ μὲν τοῦ Πατρὸς καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· ὅτι δὴ καὶ αἴτιος ἀμφοῖν ὁ Πατὴρ τούτοιν· τοῖν δυοῖν δὲ[4] οὐδέτερον ἐκ θατέρου· ἵνα μὴ δύο τὰ αἴτια γένηται, εἰ καὶ τὸ Πνεῦμα τοῦ Υἱοῦ λέγεται διὰ συγγένειαν, εἰ χρὴ οὕτως εἰπεῖν· οὐδὲν δὲ ἧττον καὶ διὰ τοῦ Υἱοῦ, πρὸς τοῦτο γὰρ φέρει καὶ ἡ τοῦ καρποῦ καὶ ἡ τοῦ κλάδου ἀναλογία· κάτω τὸ πρότερον καὶ τὸ ὕστερον καταλείπουσα· καὶ εἴ τι ἄλλο τῆς κατὰ τὴν ὕλην ἀνομοιότητος. Σοὶ δὲ μηδὲν διορίζοντι, μεταξὺ τοῦ, τοῦδε καὶ τοῦ, ἐκ τοῦδε, οὐ ταῦτα μόνον ἀπαντήσεται ἄτοπα, ἀλλὰ καὶ τῶν πρός τι ὅσα αὐτὰ, ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἐξ ἀλλήλων ἕξει τὸ εἶναι· οἷον, διπλάσιον· ἥμισυ, μεῖζον, ἔλασσον· δεσπότης, δοῦλος· Πατὴρ, Υἱός· τὰ τοιαῦτα πάντα· ἵνα κἀνταῦθα τὴν σύγχυσιν ὡς εἰκὸς καταγάγῃς ἄνωθεν. Προϊὼν δὲ, καὶ πᾶν κτῆμα ἐκ τοῦ κτησαμένου ἐρεῖς· ὅτι τοῦ κτησαμένου τὸν ἵππον ἢ τὸν βοῦν ἐκ τοῦ ἀγοράσαντος. Διατί δ' οὐχὶ καὶ τὰς στερήσεις συνθήσεις ἐκ τῶν ἕξεων εἶναι, καὶ ἐκ τῶν ἐναντίων τὰ ἐναντία; ὅτι αἱ μὲν στερήσεις τῶν ἕξεων· τὰ δὲ ἐναντία τῶν ἐναντίων εἰσίν. Εἰ δὲ ταῦτα ἀδύνατα, οὐκ ἄρα ἦν ἀληθὲς τὸ λέγειν, ὅτι τὸ,

[1] βαβ. χ. δηλοῦν. [2] ἀδελφὸς ἀδελφοῦ μὲν λέγεται· ἀλλ' ἐκ τοῦ Πατρός· τὰ μεταξὺ λείπει ἐκ τοῦ βαβ. χ. [3] ἂν εἶναι λέγοιτο. [4] βαβ. χ. τοῖν δυοῖν οὐδέτερον.

τινὸς ὄν, καὶ ἐξ αὐτοῦ τὸ εἶναι ἔχει· οὐκοῦν οὐδ' ὅτι τὸ Πνεῦμα λέγεται τοῦ Υἱοῦ, διὰ τοῦτο καὶ ἐκ τοῦ Υἱοῦ ἔστι τε καὶ ἐκπορεύεται. Ὅθεν γάρ ἐστι, δῆλον, ὡς ἐκεῖθεν καὶ ἐκπορεύεται· εἴ γε φυσικὴν ὁμολογητέον ἡμῖν εἶναι τοῦ Πνεύματος τὴν ἐκπόρευσιν· τουτέστιν ἐξ αὐτῆς τῆς ὑπερφυοῦς φύσεως τοῦ ἐξ οὗ, ὁποίαν καὶ τὴν γέννησιν τοῦ Υἱοῦ, ἵνα καὶ τῷ τρόπῳ μόνῳ διαφέρωσιν ἀλλήλων αἱ πρόοδοι, ἀλλὰ μὴ καθαρὰ λέγεται. Ποταμὸς ἐκπορεύεσθαι ἐξ Ἐδὲμ, καὶ Ἰσραὴλ ἐκπορευόμενος ἐκ τῆς Αἰγύπτου, καὶ νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ· καὶ ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό· ἐπὶ γὰρ τῶν τοιούτων, οὐ πάντως ἂν ἀληθεύσῃ τις λέγων, ἐξ οὗ πέρ ἐστι φυσικῶς ἕκαστον, καὶ τούτου ἐκπορεύεται. Τὴν ἐκπόρευσιν δὲ[1] *τοῦ Πνεύματος μὴ φυσικὴν εἶναι πάντως ὁμολογεῖν, οὐχ ἡμῶν· ἀλλὰ Μακεδονίου καὶ Εὐνομίου, τῶν πάλαι καὶ ἐξοζεσάντων βορβόρων. Ὅθεν οὖν ἔχει τὸ εἶναι, ἐκεῖθεν καὶ ἐκπορεύεται· ἐκ τοῦ Πατρὸς ἄρα τῆς μόνης*[2] *θεογόνου καὶ πηγαίας θεότητος. Εἰ δ' ἐξῆν εἰπεῖν καὶ ἐκ τοῦ Υἱοῦ, οὐκ ὤκνησεν ἂν ἡμᾶς καὶ τοῦτο διδάξαι ὁ Λόγος, ὁ μόνος ἱκανὸς ἐξηγητὴς τῆς θεότητος.*

Ἀντίθεσις[3]*· Ναί, φησιν, ἐδίδαξε καὶ τοῦτο, εἰπών· Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμέν· καὶ δέδοικα μὴ μερίσω τὸ ἕν, ἐὰν μὴν ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι δώσω τὸ Πνεῦμα, ἐκ τοῦ Υἱοῦ δὲ μὴ ἐκπορεύεσθαι.*

Λύσις. Ἐκεῖ ἐφοβήθεις, ὦ οὗτος, φόβον, οὗ οὐκ ἦν φόβος· οὐκ εἶπεν Ἐγὼ καὶ ὁ Πατὴρ ἕν εἰμὶ, ἵνα κατὰ πάντα τηρήσῃς τὸ ἕν· ἀλλ' ἓν μὲν εἰπὼν, ἔδειξε τὴν μίαν οὐσίαν· ἐσμὲν δὲ πάλιν εἰπὼν, ἔδωκε καὶ τὴν τῶν προσώπων διαίρεσιν. Τὰ πρόσωπα γοῦν ἐστι διαιρεῖν οὐ τὴν οὐσίαν μερίζειν, τὸ λέγειν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ μὴ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Ἐγὼ[4] *δέδοικα καὶ καλῶς δέδοικα, μὴ φεύγων σὺ τὴν δεδογμένην*[5] *διαίρεσιν, εἴς τε τὴν σύγχυσιν αὐτόθεν ἐμπίπτῃς, καὶ εἰς τὴν ἀπηγορευμένην ἑτέρωθεν ἐξολισθαίνῃς διαίρεσιν. Πῶς γὰρ οὐ συγχεῖν ἐστι τὰ πρόσωπα Πατρὸς καὶ Υἱοῦ, ὅταν μήτε μόνος*

[1] *βαβ. χ. τὴν ἐκπόρευσιν τοῦ* Πνεύματος. [2] *μόνου.* [3] *ἐκλείπει τοῦ β. χ. ἡ λέξις* Ἀντίθεσις *ὥς περ καὶ ἡ μετὰ ταῦτα* λύσις. [4] *βαβ. χ.* Ἐγὼ *δὲ δέδοικα.* [5] *δεδομένην.*

εἶναι Πατὴρ ὁ Πατὴρ λέγηται, ἀλλὰ συμμερίζηται τῷ Υἱῷ τὴν πατρικὴν ἰδιότητα, μήτε μόνον Υἱὸς ὁ Υἱὸς, ἀλλὰ καὶ Πατὴρ παρὰ μέρος κοινωνῶν τῷ Πατρὶ τῆς τοῦ ἁγίου[1] Πνεύματος προβολῆς; Πῶς δὲ οὐ διαιρεῖν ἐστιν ὅσον πρὸς τὴν σὴν ὑπόθεσιν ἐκ τῆς μιᾶς οὐσίας τὸ Πνεῦμα, τῷ μόνον αὐτὸ καταλείπειν τῆς θεογόνου δυνάμεως ἔρημον; Εἰπὲ γάρ μοι· δέχῃ τὴν μίαν θεότητα, καὶ οὐ μερίζεις ἀρειανικῶς τὴν οὐσίαν; ἀλλὰ τὰ τρία τὰ ἐν οἷς ἡ θεότης, ἢ μᾶλλον εἰπεῖν, ἃ ἡ θεότης, ἓν εἶναι ὁμολογεῖς;

Πῶς γὰρ οὔ;

Οὐκ οὖν ὥς περ ὁ Λόγος καὶ ὁ Πατὴρ ἕν εἰσιν, οὕτω καὶ τὸ Πνεῦμα καὶ ὁ Πατὴρ ἕν εἰσιν. Εἰ τοίνυν διότι ὁ Λόγος καὶ ὁ Πατὴρ ἕν εἰσι[2], διὰ τοῦτο νομίζεις δεῖν ὥς περ ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα, οὕτω δὴ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι; ὥρα σοι καὶ τὸν Υἱὸν ἐκ τοῦ Πνεύματος[3] γεννᾶσθαι· ὅτι τὸ Πνεῦμα καὶ ὁ Πατὴρ ἕν εἰσι· καὶ μεταθήσεις τὴν βλασφημίαν ἐπὶ τὸν Υἱὸν ἐκ τοῦ Πνεύματος. Εἰ δὲ τὸν Υἱὸν περιέπειν δοκῶν, μὴ ἓν εἶναι φῂς τὸ Πνεῦμα, καὶ τὸν Πατέρα, δῆλος εἶ τὴν μάχην κατὰ τοῦ Πνεύματος ἐνστησάμενος· μᾶλλον δὲ κατὰ τῆς ὅλης τριάδος· ὅπερ γὰρ ἂν τῶν τριῶν κάτω βάλῃς[4], τὸ πᾶν κατέβαλες.

Τί λέγεις, πειθομένῳ σε τοῖς εἰρημένοις; Δεῦρο δὴ τὸ ὑπερνεφὲς[5] ἀφεὶς καὶ φαντασιοῦσθαι τὰ ὑπὲρ ἄνθρωπον, στῆθι μεθ' ἡμῶν τῶν ἀνθρώπων· κατάδεξαι τὸ διδασκαλεῖον τοῦ Πνεύματος· ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσι σοι. Τί ἐροῦσι; μᾶλλον δὲ τί πρῶτον ἀναγγελεῖ ὁ Πατὴρ οὗτος[6]; ὁ πάλαι Πατὴρ τοῦ μέλλοντος αἰῶνος καλούμενος, ὁ πρῶτος ἡμῖν καὶ μόνος καθηγητὴς καὶ διδάσκαλος, ὁ αὐτὸς καὶ Θεὸς καὶ τῆς θεολογίας ἐξηγητὴς, ἀναγγελεῖ ταῦτα.

"Ὅταν ἔλθῃ ὁ παράκλητος[7], ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπο-

[1] *βαβ. χ. τῆς τοῦ Πνεύματος προβολῆς.* [2] *βαβ. χ. καὶ ὁ Πατὴρ ἕν· διὰ τοῦτο νομίζεις.* [3] *καὶ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς γεννᾶσθαι.* [4] *καταβάλῃς.* [5] *ὑπερνεφεῖν.* [6] *οὗτος μὲν ὁ πάλαι Πατήρ.* [7] *οὕτως ἐν τῷ χειρ. ἐν δὲ τῷ Εὐαγγελίῳ· "Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ . . ."*

ρεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ[1]." **Καὶ** *ἀλλαχοῦ πάλιν·* "*ἐκεῖνος ὑμᾶς διδάξει καὶ ὑπομνήσει τὴν ἀλήθειαν*[2]." *Πρόσχες νουνεχῶς τῇ θεολογίᾳ.* "*Ὅταν ἔλθῃ εἶπεν· ἵνα δείξῃ τὸ αὐτεξούσιόν τε καὶ αὐτενέργητον. Παράκλητον ὠνόμασεν, ἵνα παραστήσῃ τὸ συγγενές· καὶ αὐτὸς γὰρ παράκλητος καὶ ἄμφω, τὸν Πατέρα παρακαλοῦσιν ὑπὲρ ἡμῶν· οἷά τινα δίδυμα σπλάγχνα πρὸς οἶκτον κινοῦντα τὴν πατρικὴν ἀγαθότητα· καὶ τὴν σωτηρίαν οἰκονομοῦντα*[3] *τὴν ἡμετέραν. Τῷ πέμψω, μὴ προσκόψῃς· ἀλλ' ὅλον τὸ λεγόμενον ἄκουσον·* "*ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός.*" *Ἐγὼ πέμψω εἶπεν, ἵν' ὥς περ τῇ αὐτοῦ σαρκώσει κεκοινωνήκασιν ὁ Πατὴρ τῇ εὐδοκίᾳ, τὸ Πνεῦμα τῇ συνεργίᾳ*[4], *οὕτω δείξῃ καὶ ἑαυτὸν συνευδοκοῦντα τῇ καθόδῳ τοῦ Πνεύματος.* **Εἰ** *βούλει δὲ, καὶ λαμβάνοντα ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα καὶ δι' ἑαυτοῦ καταπέμποντα· ἀλλὰ καὶ τοῦτο οὕτως εἰπὼν, οὐκ ἔστη ἐνταῦθα· ἵνα μὴ σὺ τὴν ἀποστολικὴν νομίσῃς ἐκπόρευσιν· ἀλλ' εὐθὺς ἐπαγαγὼν παρὰ τοῦ Πατρὸς, ἔδειξεν ὅθεν πεμφθήσεται τὸ Πνεῦμα τῆς ἀληθείας· τουτέστι τὸ τοῦ Πατρὸς τὸ ἐμόν· ἄμφω γὰρ, αὐτός τε καὶ ὁ Πατὴρ, ἀλήθεια. Τοῦτο γοῦν εἶπεν, ἵνα σαφέστερον παραστήσῃ τὴν πρὸς ἑαυτόν τε καὶ τὸν Πατέρα φυσικὴν τοῦ Πνεύματος οἰκειότητα. Ἀλλ' ἐπεὶ πάλιν ᾖ δεῖ σε λεξίθηρον*[5] *καὶ εὑρεσιλόγον ἐσόμενον καὶ ἁρπάσοντα τὸ λεγόμενον, καὶ πλέξοντα τὸν ἀσυλλόγιστον ἐκεῖνον συλλογισμὸν, ὡς ἐπεὶ τὸ Πνεῦμα τῆς ἀληθείας ἐστὶν, ἀλήθεια δὲ Υἱὸς, ἐκ τοῦ Υἱοῦ ἄρα τὸ Πνεῦμα· πάλιν διὰ τῆς ἐπαγωγῆς ἔδειξεν ἐκ τίνος τὸ Πνεῦμα· εἰπὼν, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· καὶ τὴν σὴν προανεῖλεν ὑπόνοιαν·* "*ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ἐκεῖνος ὑμᾶς διδάξει καὶ ὑπομνήσει πᾶσαν τὴν ἀλήθειαν.*" **Διὰ** *τούτων σαφῶς τὴν ἰσοτιμίαν τοῦ Πνεύματος δείκνυσι πρὸς ἑαυτόν τε καὶ τὸν Πατέρα· ὡς γὰρ ὁ Πατὴρ μαρτυρεῖ τῷ Υἱῷ, οὕτω καὶ τῷ Πνεῦμα· καὶ ὡς ὁ Υἱὸς ἐδόξασε τὸν Πατέρα, διδάξει δὲ καὶ νῦν τὴν ἀλήθειαν*

[1] Ἰωάν. κεφ. ιε'. § 26. [2] Ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, "ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν." Ἰωάν. κεφ. ιδ'. 26. [3] βαβ. χ. οἰκονομοῦνται. [4] συνεργείᾳ. [5] λεξίθηρόν τινα καὶ εὑρεσίλογον.

τὴν περὶ τοῦ Πνεύματος, οὕτω καὶ τὴν περὶ τῆς ὅλης θεότητος ἀλήθειαν διδάξει τὸ Πνεῦμα.

Αὕτη ἡ[1] θεολογία τοῦ Πνεύματος ἣν ὁ Κύριος παρέδωκε· ταύτην στέργε, ταύτης ἀντέχου, ταύτην μοι φύλασσε τὴν καλὴν παρακαταθήκην· Παῦλός σοι μετὰ τοῦ Λόγου διακελεύεται. Μὴ φυλάσσοντι δέ· ἀλλ' ἢ προστιθέντι ἢ ἀφαιροῦντι, ὁ αὐτὸς Ἀπόστολος μετὰ τοῦ αὐτοῦ Πνεύματος ἐπάγει τὴν ψῆφον· "εἴ τις, λέγων, εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω[2]." Τί δὲ παρελάβομεν; ἢ πάντως, ὃ καὶ παρέδωκεν ὁ Ἀπόστολος· παρέδωκε δὲ, ὃ καὶ αὐτὸς παρὰ τοῦ Κυρίου παρέλαβε· τοῦτο δὲ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου παρέλαβεν[3], ὅτι καὶ Παράκλητος ἄλλος ἐστὶ παρὰ τὸν Υἱὸν, καὶ Πνεῦμα τῆς ἀληθείας, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ καταπέμπεται τοῖς ἀξίοις τῆς αὐτοῦ μετοχῆς, παρὰ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ· καὶ μαρτυρεῖ περὶ τοῦ Υἱοῦ καθὰ καὶ ὁ Πατὴρ, ὡς ἰσότιμον· καὶ πᾶσαν διδάσκει τῆς θεότητος τὴν ἀλήθειαν, ἣν καὶ ὁ Υἱὸς ἐξηγήσατο.

Τί δὲ ὁ μείζων ἐν γεννητοῖς γυναικῶν, ἡ τοῦ λόγου φωνὴ, ὁ τοῦ φωτὸς λύχνος, ὁ τῆς χάριτος πρόδρομος, οὐ πιστευτέος, οὐ τιμητέος, ἴσα καὶ πρεσβυτέροις; Χριστὸς δὲ καὶ προφήτου περισσοτέραν αὐτῷ ἀπονέμει τιμήν. Τί οὖν ἐκεῖνος ἐρεῖ; "Τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἔμεινεν ἐπὶ τὸν Ἰησοῦν." Πόθεν καταβαῖνον; καὶ ποῦ; ὡς μὲν ἐγὼ φημὶ, παρὰ τοῦ Πατρὸς ἐπὶ τὸν Υἱόν· τὸν καὶ Ἰησοῦν τὸν αὐτὸν κληθέντα καθ' ἣν προσελάβετο φύσιν. Σὺ δὲ, εἰ μὴ παρὰ τοῦ Πατρὸς μόνου τὸ Πνεῦμα καταβαῖνον ἐρεῖς, ἀλλὰ προσθήσεις καὶ παρὰ τοῦ Υἱοῦ, ἁλώσῃ τὸν ἕνα Χριστὸν διαιρῶν εἰς δύο κατὰ τὸν Νεστόριον τὸν Ἰουδαιόφρονα· ἵν' ἐκ τοῦ Υἱοῦ τοῦ Θεοῦ καταβαῖνον εἴπῃς τὸ Πνεῦμα ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. Εἰ δ' ἀποτάσσῃ μὲν τῇ μερίδι τοῦ Νεστορίου καὶ τῶν ἀρνητῶν τῆς θεότητος τοῦ Χριστοῦ, ἕνα δὲ φρονεῖς κατὰ Παῦλον

[1] βαβ. χ. αὕτη θεολογία. [2] Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ὡς προειρήκαμεν καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Π. ἐν τῇ πρὸς Γαλ. κεφ. α΄. § 7—8. [3] παρὰ τοῦ Κυρίου παρέλαβε ὅτι καὶ Παράκλητος ἄλλος.

Κύριον Ἰησοῦν Χριστὸν δι' οὗ τὰ πάντα, μαθήσῃ κἀντεῦθεν, ὅτι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς προϊὸν ἐπὶ τὸν Υἱὸν, ἐν αὐτῷ μένει καὶ ἀναπαύεται. Τὸ γὰρ ἅπαξ τῷ βαπτιστῇ θεαθὲν, τοῦ ἀεὶ ὄντος φανέρωσις γέγονεν· οὐδὲ γὰρ ἦν ποτὲ χωρὶς Πνεύματος ὁ Υἱός· τοῦ τόσοι καὶ πάντως ἐροῦσι συμφώνως οἱ πνευματοφόροι καὶ σοῦ πρεσβύτεροι· οἵ τε πρωτοδότως ἄνωθεν ἐπιφοιτῆσαν αὐτοῖς τὸ Πνεῦμα δεξάμενοι κατὰ τὴν τοῦ Σωτῆρος ὑπόσχεσιν καὶ παρ' αὐτοῦ διδαχθέντες τὴν πᾶσαν ἀλήθειαν, οἵ τε παρ' ἐκείνων διαδεξάμενοι, καὶ μᾶλλον ἢ σὺ τοῖς θείοις καιροῖς ἐγγίζοντες· καὶ τῷ κατὰ χρόνον πρεσβείῳ τὸ τῆς τιμῆς ἀνάλογον ἔχοντες.

Ἐρεῖ σοι Ματθαῖος· "Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν[1]." Τοῦτο καὶ Μάρκος[2] ἐρεῖ· καὶ σὺν Μάρκῳ, Πέτρος· ὁ τοῦ κατ' αὐτὸν εὐαγγελίου ὑφηγητής. Καὶ Λουκᾶς[3] ὁ τῆς ἀναστάσεως ἐπόπτης, καὶ τοῦ Παύλου ἀκόλουθος, καὶ κοινωνὸς τοῦ Εὐαγγελίου· καὶ τὴν ὅλην ἔχων πεπληροφορημένην ἀλήθειαν, παραδεδομένην παρὰ τῶν ἀπαρχῆς αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ Λόγου. Ὁ δ' αὐτός σοι Λουκᾶς, καὶ τὴν περὶ τοῦ ἐμφυσήματος ἀπορίαν σαφέστερον ἐπιλύσεται· δι' ὧν μέλλοντα μὲν ἀναλαμβάνεσθαι παραγγέλλοντα παράγει τοῖς ἀποστόλοις "ἀπὸ Ἱερουσαλὴμ μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν, φησὶ, τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας[4]." Καὶ αὖθις·

[1] κεφ. δ'. § 16.

[2] Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος εἶδε σχιζομένους τοὺς οὐρανοὺς καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν. Μάρκος κεφ. α'. § 9—10.

[3] Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν, καὶ καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει, ὡσεὶ περιστερὰν, ἐπ' αὐτὸν καὶ φωνὴν ἐξ οὐρανοῦ λέγουσαν· σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν σοὶ ηὐδόκησα. Λουκᾶς κεφ. γ'. § 21—22. Ὅρα καὶ Ἰω. κεφ. α'. § 32—33.

[4] Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι,

"Ἀλλὰ λήψεσθε[1] δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς[2]." Ἐπεὶ δὲ καὶ ἀνελήφθη, "ἐν τῷ συμπληροῦσθαί, φησι, τὴν ἡμέραν τῆς Πεντηκοστῆς, συνηγμένων αὐτῶν ἐπὶ τὸ αὐτὸ, ἐπελθεῖν τὸ Πνεῦμα," ἵνα μὴ μηκύνω τὸν λόγον τὴν ὅλην ἱστορίαν ἀναγραφόμενος, "καὶ πληρῶσαι αὐτούς[3]." Ταῦτα γὰρ, οὔθ' ὁ διδάσκαλος, οὔτ' ἂν ὁ μαθητὴς ἔλεγον νῦν, εἴπερ ἦν ἤδη δεδομένον τὸ Πνεῦμα διὰ τοῦ Κυριακοῦ ἐμφυσήματος. Πῶς γὰρ ὑπισχνεῖτο τὸ δεδομένον; Πῶς ὕστερον κατεπέμπετο; Αὐτά σοι ταῦτα καὶ Πέτρος ἐρεῖ τῶν μαθητῶν ὁ κορυφαιότατος· οὐ σὺν Μάρκῳ μόνον, ἀλλ' ὅπου "σταθεὶς σὺν τοῖς ἕνδεκα τὴν φωνὴν ἐπῆρε, καὶ ἀπεφθέγξατο[4]" μετὰ τῶν ἄλλων καὶ ταῦτα. "Τῇ οὖν δεξιᾷ τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ Πνεύματος τοῦ ἁγίου λαβὼν παρὰ τοῦ Πατρὸς, ἐξέχεε τοῦτο, ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε[5]." Κατάμαθε δὴ κἀκ τούτων τὴν συμφωνίαν τοῦ περὶ τοῦ Πνεύματος δόγματος· ὅτι παρὰ τοῦ Πατρὸς λαβὼν ὁ Υἱὸς τὸ ἐπηγγελμένον Πνεῦμα, ἐξέχεεν. Εἰ δὲ ἦν ἐκπορευόμενον ἐξ αὐτοῦ, οὐκ ἄλλοθεν ἂν[6] λαμβάνων ἐδίδου· εἰ μὴ πάλιν βούλει τιτανικῶς αὐτὸν διασπᾷν καὶ εἰς δύο τέμνειν, ἵνα τὸν μὲν εἴπῃς Υἱὸν, ἐξ ἑαυτοῦ διδόναι τὸ

ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Πράξεις τῶν Ἀποστ. κεφ. α'. § 4—5.

[1] τὸ ἡμ. χειρ. καὶ αὖθις ἀναλήψεσθε.

[2] Πράξ. τῶν Ἀποστ. κεφ. α'. § 8.

[3] Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥς περ φερομένης πνοῆς βιαίας καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου· καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Πράξ. τῶν Ἀπ. κεφ. β'. § 1—4.

[4] Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς· ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. κτλ. Πράξ. τῶν Ἀποστ. κεφ. β'. § 14.

[5] Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου Πνεύματος λαβὼν παρὰ τοῦ Πατρὸς, ἐξέχεε τοῦτο, ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. Πράξ. τῶν Ἀπ. κεφ. β'. § 33.

[6] βαβ. χ. οὐκ ἄλλοθεν ἂν αὐτὸ λαμβάνον.

F

Πνεῦμα, τὸν δὲ λαμβάνοντα, ὃ τῆς Νεστοριου φρενοβλαβίας ἐστι.

Διδάξει σε Πέτρος, ὅτι καὶ Θεὸς τὸ Πνεῦμά ἐστιν· ἐν οἷς πρὸς μὲν Ἀνανίαν φησίν· "οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ Θεῷ[1]." πρὸς δὲ τὴν Ἀνανίου γυναῖκα Σαπφείραν, "Τί ὅτι συνεφωνήθη [ὑμῖν] πειράσαι τὸ Πνεῦμα Κυρίου[2];" ἵν' οὕτω Θεὸν τὸ Πνεῦμα εἰδὼς, θεοπρεπεῖς ἔχῃς καὶ τὰς προλήψεις περὶ αὐτοῦ, καὶ μὴ τῆς μιᾶς ἀποτέμνῃς αὐτὸ θεότητος.

Τί δὲ Ἰάκωβος ὁ δίκαιος καὶ παρὰ τῶν ἀντικειμένων κληθεὶς καὶ μαρτυρηθεὶς, καὶ ἀδελφὸς τοῦ Κυρίου ὀνομασθεὶς, καὶ πρῶτος τῷ τῆς ἀρχιερωσύνης ὀνόματι[3] τιμηθείς; "Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί. Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων[4]." Τίνων Πατὴρ φώτων ὁ Πατήρ; Ἆρ' οὐ προδήλως Υἱοῦ καὶ Πνεύματος; Τί τὸ πᾶν καὶ τέλειον δώρημα; ἆρ' ἕτερόν τι παρὰ τὸ Πνεῦμα τὸ ἅγιον; Ἡγοῦμαι γὰρ, ὅτι καθάπερ ἄρσεν[5] τὸ τῷ νομοθέτῃ πάλαι ῥηθὲν διανοῖγον μήτραν δηλονότι παρθενικὴν[6], οὐ γὰρ ὁμιλήσασα γάμων ἠνέῳκται, μόνος ἐστὶν ὁ Δεσπότης Χριστός· οὐδὲν γὰρ ἕτερον ἀπ' αἰῶνος εὕρηται, οὕτω καὶ πᾶν δώρημα τέλειον[7]· μηδὲν ἕτερον τὸν μυστολέκτην τοῦτον εἰπεῖν, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ καὶ καθόλου τὸν λόγον προάγειν ἑκάτερος ἔοικεν· οὐχ ἵνα πλῆθος σημαίνωσιν· ἀλλ' ἵνα τὸ παντελὲς δηλώσωσι καὶ ὁλόκληρον. Εἰ δὴ τὸ Πνεῦμα μόνον· τί γὰρ ἕτερον πᾶν καὶ τέλειον δώρημα; τοῦτο δὲ καταβαίνειν ἄνωθεν ἀπὸ τοῦ Πατρὸς τῶν φώτων τεθεολόγηται. Τί τὴν πλάνην αὐτὸς αἱρῇ, παρὰ τὴν Ἰακώβου τοῦ θεοκήρυκος, παρεγγύησιν καὶ παράκλησιν· τὴν οὕτω λαμπρὰν καὶ περιφανῆ μαρτυρίαν, διὰ τῆς σῆς προσθήκης παραγραφόμενος;

Τί δὲ Ἰωάννης ὁ μέγας, ὁ κατεξαίρετον ἀγαπητὸς μαθητὴς, ὁ ἐπιστήθιος, ὁ βροντῆς Υἱὸς καὶ ὀνομασθεὶς καὶ γενόμενος· τῆς

[1] Πράξ. τῶν Ἀποστόλων κεφ. ε'. § 4. [2] Πράξ. τῶν Ἀποστ. κεφ. ε'. § 9. [3] βαβ. χ. ἀξιώματι. [4] Ἐπιστολὴ Ἰακώβου· κεφ. α'. § 16—17. [5] βαβ. χ. ὅτι καθάπερ πᾶν ἄρσεν. [6] βαβ. χ. παρθενικὴν δηλονότι. [7] βαβ. χ. οὕτω καὶ πᾶν τέλειον δώρημα. Ἐν δὲ τῷ περισελιδίῳ τοῦ Παρισιανοῦ χειρογράφου ἀναγινώσκεται τὸ χωρίον τοῦτο ὧδε· οὐδὲν γὰρ ἕτερον ἀπ' αἰῶνος· εἴρηται δὲ οὕτω καὶ παντέλειον δώρημα μηδὲν ἕτερον κ.τ.λ.

ἄνωθεν ἐνηχησάσης αὐτῷ θεολογίας καὶ περιηχησάσης τὰ πέρατα, διὰ πάσης αὐτοῦ τῆς εὐαγγελικῆς ὑψηγορίας τὸ Πνεῦμα θεολογήσας, καὶ μηδαμοῦ παρὰ τοῦ Υἱοῦ εἰπὼν ἐκπορεύεσθαι; παρεγγυᾷ καὶ αὐτὸς διὰ τῆς ἐπιστολῆς οὕτω λέγων· "Ὑμεῖς οὖν[1] *ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω· ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ*[2] *μενεῖτε*[3]*." Ὁρᾷς ἀδελφὲ τὸν κίνδυνον ὅσος, εἰ μὴ φυλάσσομεν, ὃ ἀπ' ἀρχῆς ἠκούσαμεν, ἀλλά τι καινοτομοῦμεν, ὃ μὴ ἠκούσαμεν; Εἰ γὰρ μένοντος ἐν ἡμῖν οὗ ἠκούσαμεν ἡμεῖς ἐν τῷ Υἱῷ καὶ τῷ Πατρὶ μένομεν, δῆλον ὡς εἰ μὴ μένει ἐν ἡμῖν, ὃ ἠκούσαμεν, ἀλλ' ἕτερόν τι παρ' ἐκεῖνο παρεισδυῇ*[4]*, ἔξω τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς ἀποπίπτομεν. Ὦ τῆς ζημίας, ὅσην ὑμῖν ἡ μικρὰ προσθήκη προὐξένησεν· οὐ γάρ ἐστιν, οὐκ ἔστι Πνεῦμα Χριστοῦ, ὃ οὐκ ἠκούσαμεν· καί, ὃ κατὰ τὴν θεολογίαν Χριστοῦ οὐ παρελάβομεν, τὸ καθ' ὑμᾶς ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορευόμενον. Εἴ τις δὲ Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὐκ ἔστιν αὐτοῦ· καὶ ἤδη ἤκουσας.*

Ταῦτα σε παρακαλεῖ καὶ Ἰούδας ὁ ἀδελφὸς Ἰακώβου, λέγων· "ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἀγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ πίστει[5]*."*

Ταῦτα καὶ πᾶς ἐρεῖ τῶν Ἀποστόλων ὁ θίασος· οὐ γὰρ μεμέρισται ὁ Χριστὸς οὐδὲ τὸ θεῖον διαπεφώνηται κήρυγμα.

Τί δὲ οἱ τῶν Ἀποστόλων διάδοχοι; τὸ μὲν καθένα παράγειν εἰς μαρτυρίαν τοὺς κατὰ καιροὺς ἐν ἐκκλησίᾳ Χριστοῦ διαπρέψαντας ἁγίους καὶ θεοφόρους πατέρας, περιττὸν ἂν εἴη καὶ ὑπὲρ τὸν τῆς παρούσης καιρὸν διαλέξεως· ἐν κεφαλαίῳ δὲ τὴν σύμφωνον πάντων ὁμολογίαν παραστησάμενος, συμμετρίας τε πεφροντικέναι δόξαιμ' ἂν οἶμαι, καὶ μηδὲν ἅμα τῶν δεόντων παραλιπεῖν. Ἡ γοῦν μεγάλη καὶ πρώτη συγκεκροτημένη ἐπὶ Νίκαιαν σύνοδος ἐπὶ καθαιρέσει τῶν δυσσεβῶν δογμάτων,

[1] *Ὑμεῖς ὃ ἠκούσατε ἀπ' ἀρχῆς· οὕτως ἔν τισιν ἐκδόσεσι τῆς* Νέας Διαθήκης. [2] *βαβ. χειρ. ἐν τῷ* Υἱῷ Πατρὶ *μενεῖ.* [3] Ἰωάννου *ἐπιστολὴ πρώτη· κεφ. β'. § 24.* [4] Ἴσως, *παρεισδύῃ.* [5] "Ἀγαπητοί, πᾶσαν *σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν* ἐπαγωνίζεσθαι *τῇ ἅπαξ παραδοθείσῃ* τοῖς ἁγίοις *πίστει."* Ἰούδα *ἐπιστολή. § 3.*

Αρείου καὶ Σαβελλίου, Φωτεινοῦ, Μάνεντος, Μοντανοῦ[1]. *Παύλου Σαμοσατέως, Οὐαλεντίου τε καὶ Μαρκίωνος, καὶ πάσης ἄλλης τὸ τηνικαῦτα φυείσης αἱρέσεως, ταῦτα πρὸς τὸν ἀποροῦντα φιλόσοφον περὶ τῆς θεότητος τοῦ ἁγίου Πνεύματος ἀπεκρίνατο διὰ τοῦ Μακαρίου Λεοντίου τοῦ Καισαρείας.*

Ἐκ τοῦ πρακτικοῦ τῆς πρώτης Συνόδου.

"Δέχου μίαν Θεότητα τοῦ Πατρὸς, τοῦ γεννήσαντος τὸν Υἱὸν ἀνεκφράστως· καὶ τοῦ Υἱοῦ, τοῦ γεγεννημένου ἐξ αὐτοῦ· καὶ τοῦ ἁγίου Πνεύματος, τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ Πατρός· ἰδίου δὲ ὄντος τοῦ Υἱοῦ καθά φησιν ὁ ἀπόστολος Παῦλος· εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὐκ ἔστιν αὐτοῦ." Ἀλλὰ καὶ δι' ὑποδειγμάτων διασαφοῦσιν, εἰ καὶ πολὺ τῆς ὑποθέσεως ὑστερούντων, ἀλλ' εὖ μάλα διευκρινούντων ἐκείνῳ τε τῷ φιλοσόφῳ τὸ ἀγνοούμενον, καὶ σοὶ τὸ ἀμφιβαλλόμενον, ὅτι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἀλλ' οὐκ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται· ἀνάλογον γὰρ λαμβάνουσι τῷ Πατρὶ μὲν, τὸν ἐν ἡμῖν νοῦν, τὸ πῦρ, τὴν πηγήν· τῷ Υἱῷ δὲ, τὸν λόγον, τὸ ἀπαύγασμα, τὸν ποταμόν· τῷ Πνεύματι δὲ τῷ ἁγίῳ, τὸ[2] *ἐξ ἡμῶν πνεῦμα, τὸ φῶς, καὶ τὸ ὕδωρ. Ἐκ τούτων δὲ τῶν ὑποδειγμάτων, τό, τε μοναδικὸν τῆς οὐσίας τῷ φιλοσόφῳ δεικνύουσι, καὶ τὸ τῶν προσώπων τριαδικόν· οὐχ ἧττον δὲ καὶ σοὶ τὸ χρήσιμον εἰς τὴν προκειμένην ζήτησιν χορηγήσουσι· τὴν ἀναλογίαν πλατύτερον ἐξαπλώσαντι. Λόγος μὲν γὰρ καὶ Πνεῦμα, ἐκ νοῦ· ἀπαύγασμα δὲ καὶ φῶς, ἐκ πυρός· ποταμὸς δὲ καὶ ὕδωρ, ἐκ πηγῆς καὶ λέγονται καὶ εἰσίν*[3]. *Ἐκ δὲ τῶν δευτέρων τὰ τρίτα, ἢ ἐκ τῶν τρίτων τὰ δεύτερα, οὐδαμῶς· καὶ μὴν ἐν τῷ λόγῳ, τὸ πνεῦμα καὶ τὸ φῶς ἐν τῷ ἀπαυγάσματι, καὶ τὸ ὕδωρ ἐν τῷ ποταμῷ. Ἀλλὰ καὶ ἕκαστον ἑκάστου· τὰ τρίτα δηλαδὴ τῶν δευτέρων,*

Πατήρ.	Υἱός.	Πνεῦμα.
Νοῦς.	Λόγος.	Πνεῦμα.
Πῦρ.	Ἀπαύγασμα.	Φῶς.
Πηγή.	Ποταμός.	Ὕδωρ.

*

[1] *βαβ. χ.* Μάνεντος, Φωτεινοῦ, Μουντανοῦ. [2] *ἐν τῷ πρωτ. τῷ ἐξ ἡμῶν.*
[3] Τὸ *χωρίον τοῦτο οὕτως ἐν τῷ βαβ. χειρ. ἔχει·* "Λόγος μὲν γὰρ καὶ πνεῦμα, ἐκ νοῦ· ἀπαύγασμα δὲ Πατὴρ Υἱὸς Πνεῦμα καὶ φῶς, ἐκ πυρός· νοῦς λόγος Πνεῦμα. ποταμὸς δὲ καὶ πῦρ ἀπαύγασμα φῶς· ὕδωρ ἐκ πηγῆς πηγὴ ποταμὸς ὕδωρ καὶ λέγονται καὶ εἰσίν."

* Τὸ *σχῆμα τοῦτο ἐν τῷ βαβ. οὐχ εὕρηται χειρογράφῳ.*

ὥς περ καὶ τῶν πρώτων λέγεται· ἔμπαλιν δὲ τὰ πρῶτα καί γε[1] τὰ δεύτερα, καλεῖται τοῖς τῶν τρίτων ὀνόματα. Μετάθες τὴν ἀναλογίαν εἰς τὴν τριάδα καὶ σωθήσεταί σοι διὰ πάσης τὸ ἀπαράλλακτον. Υἱὸς γὰρ καὶ Πνεῦμα, ἐκ τοῦ Πατρός· ἐξ ἀλλήλων δὲ οὐδαμῶς· καὶ τὸ Πνεῦμα ἐν τῷ Υἱῷ· ἀχώριστον γάρ, ἀλλὰ καὶ Υἱοῦ καὶ Πατρὸς Πνεῦμα. Τὸ ἔμπαλιν δὲ, Πνεῦμα καὶ ὁ Υἱός γε καὶ ὁ Πατήρ. Ἔχεις ταῦτα παρὰ τῆς πρώτης συνόδου· Λεόντιος μὲν γὰρ ἔλεγεν, ἀλλ' ἡ σύνοδος ἐπεκύρου.

Ἥ γε μὴν μετ' αὐτὴν ἐν Κωνσταντινουπόλει συστᾶσα θεοσύλλεκτος σύνοδος, ἐπὶ καταστροφῇ τῶν πνευματομάχων καὶ τῆς ἀνοίας Ἀπολλιναρίου[2] καὶ τῶν ἄλλων τῶν αὖθις κατὰ τῆς ὀρθοδοξίας κινουμένων αἱρέσεων, πόνου δίχα παντὸς, τὸ πανίερον καὶ θεόκριτον προτίθεταί σοι τῆς πίστεως σύμβολον· δι' οὗ καὶ τὸν τῆς ἐν Νικαίᾳ κεκύρωκεν ὅρον, καὶ τοὺς Πνευματομάχους τῆς ἐκκλησίας ἐξήλασε· Κύριον τὸ Πνεῦμα τὸ ἅγιον καὶ ζωοποιὸν[3] ἐκ τοῦ Πατρὸς[4] ἐκπορευόμενον, Πατρί τε καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον θεοπρεπῶς ἀναγορεύσασα.

Ταῦτα πρῶτοι οἱ τριακοσιοι ὀκτωκαίδεκα. Ταῦτα μετὰ τούτους οἱ πεντήκοντα πρὸς τοῖς ἑκατὸν ἐδογμάτισαν. Ταύτῃ τῇ ὁμολογίᾳ οἱ τῆς ὀρθοδοξίας μεγάλοι πρόβολοι, Ἀθανάσιος, Βασίλειος[5], οἱ τρεῖς Γρηγόριοι, καὶ ὁ τὴν γλῶτταν χρυσοῦς. Τί γὰρ δεῖ πάντας ἀριθμεῖν; συναπέθανον, μᾶλλον δὲ ταύτῃ ζῶσι καὶ μετὰ θάνατον, ὧν τὴν κοινωνίαν πάντες οἱ τῆς καθ' ὑμᾶς Ῥώμης ἠσπάσαντο πρόεδροι.

Ταύτην ἡ ἐν Ἐφέσῳ τῶν Σ^ων[6] πατέρων κατὰ τοῦ φρενοβλαβοῦς Νεστορίου συναθροισθεῖσα σύνοδος, ἔστερξεν· ἧς ἔξαρχοι, Κελευστῖνος[7] ὁ τῆς Ῥωμαίων, καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων, καὶ Ἰωάννης ὁ τῆς Ἀντιοχέων ἐτύγχανον.

Ταύτην οἱ[8] τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα ἐπεσφράγισεν· ἀκολούθως τῇ κατ' Ἔφεσον προλάμπειν ὁρίσασα τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως, τὴν τῶν τριακοσίων ὀκτωκαίδεκα

[1] βαβ. χ. ἔμπαλιν δὲ τὰ πρῶτα καὶ τὰ δεύτερα. [2] ἐν τῷ χειρ. Ἀπολιναρίου. [3] καὶ ζωοποιοῦν. [4] ἐκ τοῦ Πατρός τε ἐκπορευόμενον. [5] Βασίλειος Ἀθανάσιος. [6] τῶν διακοσίων. [7] Κελεστῖνος. [8] Ἴσως ἡ τῶν ἐν Χαλ.

ἁγίων καὶ μακαρίων πατέρων ἔκθεσιν· κρατεῖν τε καὶ τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα μακαρίων ὁρισθέντα πατέρων ἐν Κωνσταντινουπόλει, πρὸς ἀναίρεσιν μὲν τῶν τότε φυεισῶν αἱρέσεων, βεβαίωσιν δὲ τῆς καθολικῆς καὶ ἀποστολικῆς[1] πίστεως· κυρώσασα δὲ, διὰ τοὺς τὸ τῆς οἰκονομίας παραφθείρειν ἐπιχειροῦντας μυστήριον, καὶ τὰς τοῦ μακαρίου Κυρίλλου συνοδικὰς ἐπιστολάς· πρὸς δὲ ταύταις, καὶ τὴν τοῦ Μακαρίου Λέοντος τοῦ τῆς πρεσβυτέρας Ῥώμης προέδρου, τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις Φλαβιανὸν, ἣν καὶ στήλην ὀρθοδοξίας κατὰ τῶν κακοδοξούντων ἑστῶσαν ὠνόμασε· δι' ἧς καὶ τοὺς ἀφυεῖς προστάτας τῆς τερατευομένης μιᾶς καὶ συγκεχυμένης ἐπὶ Χριστοῦ φύσεως, Εὐτυχέα καὶ Διόσκουρον, καταβέβληκε· καὶ τέλος ὥρισεν ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προσφέρειν, ἤγουν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρους. Τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν, ἢ φροντίζειν[2], ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον, τούτους εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι· τοὺς ἐπισκόπους μὲν, τῆς ἐπισκοπῆς· τοὺς δὲ κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ, ἀναθεματίζεσθαι.

Ταύτην τὴν πίστιν ὡς ἄγκυραν ἐκράτησαν ἀσφαλῆ, καὶ ὅσαι μετὰ ταῦτα θεοκινήτως συνεκροτήθησαν σύνοδοι.

Διὰ ταύτης πᾶς ὁ τῶν ἁγίων ὁρμαθὸς τετελείωται. Πάντων οὖν τῶν ἁγίων τῆς κοινωνίας, ὁ μὴ ταύτην τὴν πίστιν φυλάττων ἀπαρεγχείρητον ἠλλοτρίωται. Εἰ μὲν οὖν πείθῃ καὶ σὺ τοσούτοις οὖσι καὶ οὕτως ἀξιοπίστοις τοῖς ἡγουμένοις ἡμῶν, καὶ ὑπείκεις κατὰ τὴν ἀποστολικὴν παρεγγύησιν, καὶ ψάλλειν οὐκ ἐπαισχύνῃ μετὰ τοῦ θεοπάτορος μελῳδοῦ καὶ προφήτου καὶ βασιλέως· "ἐπιστραφήτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου," δεῦρο κατοικήσωμεν ἀδελφικῶς ἐπὶ τὸ αὐτὸ, καὶ στῶμεν ἐν οἴκῳ Κυρίου τὸν Κύριον μεγαλύνοντες· καὶ τῆς ἀῤῥήτου καλλονῆς καὶ τερπνότητος ἐκ τῆς ἑνώσεως ἀπολαύοντες. Εἰ δὲ μὴ πείθῃ, τί πάθω; μετ' ὀδύνης μὲν ὅσης οὐκ ἔστιν εἰπεῖν[3], καὶ ἄκων· χωρίζομαι δ' ὅμως, ἵνα μὴ Θεοῦ

[1] βαβ. χ. καὶ ἀποστολικῆς ἡμῶν πίστεως. [2] προκομίζειν ἢ διδάσκειν.
[3] ὅσην εἰπεῖν οὐκ ἔστιν.

καὶ τῶν τοῦ Θεοῦ χωρισθῶ. Ἀλλ' ἴδοι τὴν ταπείνωσίν μου καὶ τὸν μικρὸν τοῦτον κόπον ὁ Κύριος καὶ παρίδοι πάσας τὰς ἁμαρτίας μου, καὶ προσθείη σοι οὖς τοῦ ἀκοῦσαι καὶ συνιέναι, καὶ ἀπὸ τῆς πλάνης ἐπιστρέψαι πρὸς τὴν παρ' αὐτοῦ σοι δεικνυμένην ἀλήθειαν, εἰς δόξαν Θεοῦ πατρὸς [καὶ Υἱοῦ] [1] *καὶ ἁγίου Πνεύματος τῆς μιᾶς θεότητός τε* [2], *καὶ βασιλείας, ᾗ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*

[1] *βαβ. χ. εἰς δόξαν* Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. [2] τῆς μιᾶς θεότητος καὶ βασιλείας.

ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΑΙ

ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΤΟ ΠΕΡΙ ΕΚΠΟΡΕΥΣΕΩΣ

ΤΟΥ

ΠΑΝΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΕΠΙΣΤΟΛΙΜΑΙΟΝ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ.

ΕΚΔΙΔΟΜΕΝΟΝ ΗΔΗ ΤΟ ΠΡΩΤΟΝ

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΙΜΩΝΙΔΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

ΕΝ ΛΟΝΔΙΝΩΙ.

ΑΩΝΗ΄.

G

ΓΕΝΝΑΔΙΟΣ Ο ΣΧΟΛΑΡΙΟΣ,

Ὁ τῶν πατριαρχῶν τὸ κλέος, ὁ τῆς ὀρθοδοξίας ἀδιάσειστος πύργος, ὁ φαεινότατος ἀστὴρ, τὸ τῆς χάριτος πυρίπνουν στόμα, ὁ τοσάκις τὸν ἄρχοντα τοῦ σκότους, τὸν δυνάστην φημὶ τῶν Ῥωμαίων, τὸν ἀποστάτην ἐκεῖνον τῆς ἀληθείας "Στέφανον Σύρφρονα τὸν Πάπαν, τὸν πρῶτον τοῖς Ῥωμαίοις μετὰ ἀζύμων παραδώσαντα ἐπιτελεῖν τὴν ἁγίαν ἱερουργίαν, καὶ τὴν προσθήκην τὴν εἰς τὸ σύμβολον τὸ ἅγιον φανερῶς κηρύξαντα, καὶ τὰς τρίχας τοῦ πώγωνος πρῶτον ἀποθρίξαντα" ῥαπίσας λόγῳ Κυρίου, ὥς περ καὶ τοὺς τυφλοὺς ἀκολούθους αὐτοῦ καὶ μάλιστα Εὐγένιον Πάπαν τὸν θεοκάπηλον, οὗ καὶ τὴν σατανικὴν ὀφρὺν τὸ παράπαν ταπεινώσας, ἐγεννήθη ἐν Βυζαντίῳ τῷ ϛ,ϡη (1400) *Ἰνδικτιῶνος η'. καὶ ἐτελεύτα τῷ ϛ,ϡοβ'* (1464) *Ἰνδικτιῶνος δωδεκάτῃ. Οἱ δὲ τούτου τοκεῖς Ἀθανάσιος καὶ Σοφία ἐκαλοῦντο, ὥς περ ἐν τοῖς διπτύχοις τῶν Ἀθωνιτῶν ἀναγινώσκεται.*

Οὗτος οὖν ἀκουστὴς γενόμενος τὸ καταρχὰς Θεοκλήτου τοῦ Δαμασκηνοῦ, εἶτα δὲ Μεθοδίου Βυζαντίου τοῦ νομοδιδασκάλου, ταχὺ ἐθαυμάσθη καὶ δικαστὴς καθίσταται ἐν ᾗ ἐγεννήθη πόλει· παραιτησάμενος δὲ ὕστερον τοῦ δικαστικοῦ ἐπαγγέλματος γραμματεὺς τοῦ αὐτοκράτορος Ἰωάννου Παλαιολόγου τοῦ ζ'· ἀναδεικνύεται, καὶ σὺν αὐτῷ εἰς τὴν ἐν Φλωρεντίᾳ ψευδοσύνοδον τὴν συγκροτηθεῖσαν, ὡς μήποτ' ὤφειλε, τῷ ᾳυλθ' ἀπέρχεται· ἧς τὰ σατανικὰ θέμεθλα ἅμα τῷ ἀκαταμαχήτῳ προμάχῳ τῆς ὀρθοδοξίας Μάρκῳ Εὐγενικῷ τῷ θειοτάτῳ ἐκείνῳ ἀνδρὶ ἀνατρέψας εἰς Βυζάντιον ἐπανέρχεται· καὶ τὸ μοναχικὸν δεξάμενος

σχῆμα Γεννάδιος μετωνομάζεται· ἐκαλεῖτο γὰρ τὸ πρὶν Γεώργιος. Μονάζων δὲ πολλὰ ὑπὲρ τῆς ὀρθοδοξίας συνετάξατο σοφὰ συγγράμματα, καὶ πολλοὺς τῶν ἡμετέρων δώροις ἀποπλανηθέντας ἐπανέφερεν εἰς τὰ πατρῷα καὶ ἀληθῆ δόγματα τῷ λόγῳ τῆς ἀληθείας· τοὺς δὲ προδότας τῆς θρησκείας τῶν πατέρων ἡμῶν καὶ τοῦ ἔθνους, τὸν τῆς Νικαίας φημὶ Βησσαρίωνα, καὶ τὸν τῆς Ῥωσσίας Ἰσίδωρον, καὶ Θωμᾶν τὸν Ἄκινον, καὶ Δημήτριον τὸν Κυδώνην, καὶ τοὺς ὀπαδοὺς τούτων, καὶ ἀποστόλους τῆς παπικῆς φρενοβλαβίας, σοφῶς ἐξήλεγξε πολλάκις καὶ ἰδίᾳ καὶ παῤῥησίᾳ, καὶ κατ' αὐτῶν τὰ δέοντα ἔγραψε. Διόπερ τὴν μὲν ἐκκλησίαν κλυδωνιζομένην καὶ τὴν ὀρθὴν πίστιν σαλεύουσαν τῇ βίᾳ ἔσωσε, καὶ τὴν ὀρθοδοξίαν ἐκράτυνε συνάρσει τοῦ Κυρίου, ἅμα δὲ καὶ τὸ ἔθνος ἡμῶν ἀπὸ τῶν χειρῶν τῶν Ποντιφίκων τῆς Ῥώμης.

Τοῦ Βυζαντινοῦ δὲ θρόνου καταλυθέντος τῇ κθ' Μαΐου, τῇ τρίτῃ τῆς ἑβδομάδος ἡμέρᾳ τοῦ ἔτους ͵ϛϡξα' (1453), καθ' ἣν μάλιστα ἡμέραν καὶ ἡ τῆς μάρτυρος Θεοδοσίας ἐτελεῖτο μνήμη, ὁ Γεννάδιος ἐξελέγχεται (μεθ' ἡμέρας τινὰς μετὰ τὴν ἅλωσιν τοῦ Βυζαντίου) κοινῇ τοῦ ἔθνους ψήφῳ Πνευματικὸς Κυριάρχης τοῦ ἤδη ὑποκύψαντος Ἑλληνικοῦ ἔθνους, ὅν περ ἀναγνωρίσας καὶ ὁ Νικητὴς Μωάμεθ ἐτίμησε βασιλικῶς, καὶ μάλιστα κατὰ τὸ παρὰ Βυζαντινοῖς ἐπικρατῆσαν ἔθος.

Πέντε δὲ ὅλα ἔτη πατρικῶς καὶ ὁσίως τὸν λαὸν αὐτοῦ, ὃν ὁ Θεὸς ἐνεπιστεύσατο, ποιμάνας παραιτεῖται τῆς ἀρχῆς, καὶ μετὰ ἐνιαυτοὺς σχεδὸν ἓξ τελευτᾷ τέταρτον καὶ ἑξηκοστὸν τῆς ἡλικίας ἄγων ἔτος.

Τὸν θεῖον μέντοι τοῦτον ἄνδρα, τὸν τοῦ θείου Χρυσοστόμου ἄξιον διάδοχον ἐξύμνησαν δεόντως πολλὰ τῆς ὀρθοδοξίας μελίῤῥυτα στόματα, καὶ τὰ καθέκαστα αὐτοῦ ἐν ἐκτάσει ἔγραψαν, ὥστε περιττὴν ὅλως κρίνω τὴν ἐνταῦθα αὖθις ἐπανάληψιν αὐτῶν· δίδωμι δὲ μόνον ἤδη τοῖς ἀναγνώσταις ἡμῶν τὴν πρὸς αὐτὸν ἐπιστολὴν τοῦ ὑπερμάχου τῆς ὀρθοδοξίας, καὶ τῆς ἐθνικῆς ἡμῶν δόξης προμάχου, καὶ συναγωνιστοῦ αὐτοῦ, θειοτάτου ἱεράρχου τῆς Ἐφέσου Μάρκου τοῦ Εὐγενικοῦ, ἵνα μάθωσι καὶ ἐξ αὐτῆς ὁποῖος ἦν ὁ ποιμενάρχης τῶν Ἑλλήνων Γεννάδιος

ἐκεῖνος, οὗ περ καθάπτεται ἡ παφλάζουσα γλωσσαλγία περιλεσχηνεύτων τινῶν ἀνδρῶν· καὶ γὰρ ἐξυμνεῖ αὐτὸν οὐχὶ τῶν τυχαίων τίς, ἀλλ' εἷς τῶν φωστήρων τῆς ἱερᾶς τῶν ἱεραρχῶν σπείρας, τῆς μιᾶς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῶν ὀρθοδόξων ἡμῶν Ἑλλήνων, ὃν καὶ θεωρεῖ τὸν μόνον ἱκανὸν, ἵνα "δώσῃ χεῖρα βοηθείας τῇ ὀρθῇ πίστει, χειμαζομένῃ ταῖς βίαις τῶν παραφθειράντων τὴν τῶν δογμάτων ἀκρίβειαν" ἅμα δὲ καὶ τὸ ἔθνος ἡμῶν· καὶ γάρ φησιν, "ὡς ἡ τῆς καθολικῆς πίστεως ἀνατροπὴ κοινή ἐστιν ἀπώλεια." Ἔχει δὲ ἡ ἐπιστολὴ ὧδε·

"✠ *Τοῦ αὐτοῦ [ἤτοι τοῦ μακαριωτάτου (ὡς ἀνωτέρω) καὶ ἁγίου Μητροπολίτου Ἐφέσου κυρίου Μάρκου τοῦ Εὐγενικοῦ] ῥηθέντα ἐν τῷ μέλλειν αὐτὸν πρὸς Κύριον ἐκδημεῖν, πρὸς τὸν σοφώτατον τότε μὲν κύρ[ιον] Γεώργιον τὸν Σχολάριον, ὕστερον δὲ καὶ Πατριάρχην Κωνσταντινουπόλεως γεγονότα κύρ[ιον] Γεννάδιον.*"

"*ΕΙΣΙ τινες ὗλαι παρὰ τοῖς φιλοσόφοις, εἰ καὶ τῶν τοιούτων ἐγὼ ἤδη λήθην ἔσχον, ὅμως λέγω μέτριόν τι, ὅτι εἰσὶν ὗλαι ταῖς ἀναλογούσαις τῶν ὑποθέσεων ἐφαρμοζόμεναι· ἐν αἷς ἐστι καὶ ἡ τοῦ ἐνδεχομένου, καὶ ἔτι ἡ τοῦ ἐπὶ πλέον ἐνδεχομένου. Ὅπερ ἐπὶ πλέον ἐνδεχόμενόν ἐστιν ἐγγὺς τοῦ ἀναγκαίου· τοῦτο προσήκει καὶ τῇ ὑποθέσει τῶν παρόντων λόγων. Λέγω δὲ περὶ τοῦ ἄρχοντος τοῦ Σχολαρίου· ὃν οἶδα ἐξέτι πάνυ νέας τῆς αὐτοῦ ἡλικίας· καὶ διάθεσιν καὶ ἀγάπην πολλὴν ἔχω εἰς αὐτόν· καὶ ὡς ἐμὸν υἱὸν καὶ φίλον καὶ εἴ τι ἄλλο ἐνθυμηθείη τις, σχέσεως καὶ ἀγάπης κινητικόν· ᾧ καὶ μέχρι τοῦ παρόντως ἀνακινούμενος καὶ ὁμιλῶν, ἔσχον ἀκριβῆ κατάληψιν περὶ αὐτοῦ, οἵας ἐστὶ φρονήσεως καὶ σοφίας καὶ δυνάμεως ἐν λόγοις· καὶ ἐκ τούτων πιστεύω ὅτι αὐτὸς μόνος ἐκ τῶν εὑρισκομένων κατὰ τὸν καιρὸν τοῦτον δύναται δοῦναι χεῖρα βοηθείας τῇ ὀρθῇ πίστει, χειμα-*

ζομένῃ ταῖς βίαις τῶν παραφθειράντων τὴν τῶν δογμάτων ἀκρίβειαν· ὥστε τὴν ἐκκλησίαν διορθώσασθαι Θεοῦ συναιρομένου καὶ τὴν ὀρθοδοξίαν κρατύναι· μόνον εἰ μὴ θελήσει καὶ αὐτὸς γενέσθαι τοῦ καιροῦ, καὶ τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύψαι. Ἀλλ' ἐγὼ θαῤῥῶ, μὴ ἂν οὕτως αὐτὸν διατεθῆναι· μὴ δ' οὕτω τῇ οἰκείᾳ ἀπειθῆσαι συνειδήσει, ὥστε τὴν ἐκκλησίαν κλυδωνιζομένην ὁρῶντα καὶ τὴν πίστιν σαλεύουσαν ἐπ' ἀσθενοῦς, (ἀνθρωπίνως λέγω,) καὶ εἰδότα ἐπ' αὐτῷ εἶναι βοηθῆσαι ταύτην, μὴ (ἴσως σὺν) πάσῃ σπουδῇ καὶ προθυμίᾳ τὴν συμμαχίαν ἐργάσασθαι· πάντως γὰρ οὐκ ἀγνοεῖ σοφὸς ὤν, ὡς ἡ τῆς καθολικῆς πίστεως ἀνατροπὴ κοινή ἐστιν ἀπώλεια. Ἴσως δ' ἐν τοῖς προλαβοῦσιν, ἀρκοῦσαν συμμαχίαν ἡγούμενος τὴν ὑφ' ἑτέρων τινῶν, καὶ μάλιστα τὴν ὑπ' ἐμοῦ, οὐκ ἐφαίνετο καθαρῶς τῇ ἀληθείᾳ συμμαχῶν· ὑπό τινων ἀνακοπτόμενος τυχὸν λογισμῶν ἢ καὶ ἀνθρωπίνων. Ἀλλ' ἐγὼ καὶ πρότερον μὲν, οὐδὲν ἢ καὶ πάνυ σμικρὸν συνεισήνεγκα τῇ συμμαχίᾳ· τῷ μήτ' ἀνάλογον ἔχειν δύναμιν, μήτε σπουδήν. Καὶ νῦν δὲ ἤδη εἰς τὸ μηδὲν ἥκω· τοῦ δὲ μηδὲν ὄντος τί ἄλλο μηδαμινότερον; Εἰ γοῦν ἐκ τοῦ ὅτι ἐδόξασεν ἴσως ὅτι ἡμεῖς δυνάμεθά τι κατορθοῦν, αὐτὸς παρέλκον ἐνόμισεν ὅ περ δύνανται ἕτεροι πράττειν καὶ αὐτὸς μεταχειρίσασθαι, ὡς ἐκ τούτου ζημίαν ἐν ἄλλοις παθεῖν, ἐπὶ σμικρᾷ πάνυ τῇ ὠφελείᾳ, ὡς πολλάκις μοι ἐξητήσατο καὶ συγγνώμην. Ἀλλὰ νῦν ὅτε, ἐγὼ μὲν ἤδη ἐντεῦθεν ἀπαλλάττω· ἄλλον δέ τινα οὐχ ὁρῶ κατ' αὐτὸν, τὸ εἰκὸς τῇ ἐκκλησίᾳ καὶ τῇ πίστει καὶ τοῖς δόγμασι τῆς ὀρθοδοξίας δυνάμενον ἐκπληρῶσαι ἀντ' ἐμοῦ, διὰ τοῦτο ἀξιῶ αὐτὸν, ἵνα καλοῦντος νῦν τοῦ καιροῦ, μᾶλλον δὲ κατεπείγοντος, τὸν ἐν αὐτῷ κεκρυμμένον τῆς εὐσεβείας σπινθῆρα ἀνακαλύψῃ, καὶ συμμαχήσῃ τῇ ἐκκλησίᾳ καὶ τοῖς ὑγιαίνουσι δόγμασιν· ἵνα ὅ περ οὐκ ἠδυνήθην αὐτὸς ἐκτελέσαι, κατορθώσῃ αὐτὸς τῇ τοῦ Θεοῦ συμμαχίᾳ· δύναται γὰρ τοῦτο τῇ χάριτι τοῦ Θεοῦ· ἔκ τε τῆς φυσικῆς αὐτοῦ φρονήσεως καὶ τοῖς ἐν λόγοις δυνάμεως, εἰ θελήσει μόνον τούτοις ἐν δέοντι χρήσασθαι. καὶ ἴσως μὲν ὀφείλει τοῦτο καὶ τῷ Θεῷ καὶ τῇ πίστει καὶ τῇ ἐκκλησίᾳ, ἀγωνίσασθαι πιστῶς καὶ καθαρῶς ὑπὲρ τῆς πίστεως. Ἀνατίθημι δὲ ὅμως καὶ αὐτὸς τὸν τοιοῦτον αὐτῷ

ἀγῶνα, ἵνα ᾖ ἀντ' ἐμοῦ πρόμαχος τῆς ἐκκλησίας, καὶ τῆς ὑγιοῦς διδασκαλίας ὑφηγητής· καὶ τῶν ὀρθῶν δογμάτων καὶ τῆς ἀληθείας ὑπέρμαχος· πεπειθὼς τῇ συμμαχίᾳ τοῦ Θεοῦ καὶ τῇ ἀληθείᾳ αὐτῇ περὶ ὧν οἱ ἀγῶνες· ὡς κοινωνῶν τούτων τοῖς ἁγίοις διδασκάλοις καὶ θεοφόροις πατράσι τοῖς μεγάλοις θεολόγοις· καὶ τοὺς μισθοὺς ἐκδεχόμενος παρὰ τοῦ δικαίου κριτοῦ τοῦ καὶ πάντας τοὺς ὑπὲρ εὐσεβείας ἀγωνισαμένους ἀνακηρύξαντος· ὥς περ δὴ καὶ αὐτὸς ὀφείλει ὅσον οἷόν τε σπουδάσαι ὑπὲρ συστάσεως τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων· ὡς λόγον ὀφείλων ὑπὲρ τούτου ἐν ὥρᾳ κρίσεως Θεῷ, καὶ ἐμοὶ τῷ ταῦτα ἀναθεμένῳ αὐτῷ· τεθαῤῥηκότι ἴσως τοῖς λόγοις μου τούτοις καρποφορήσειν ὑπὲρ τὰ ἑκατὸν, ὡς εἰς ἀγαθὴν γῆν καταβαλλομένους· περὶ οὗ καὶ ἀποκριθήτω μοι, ἵνα λάβω τελείαν πληροφορίαν τῆς παρούσης ζωῆς ἐξερχόμενος, καὶ μὴ ἀηδῶς ἀποβιώσω ὡς ἀπεγνωκὼς τὴν τῆς ἐκκλησίας διόρθωσιν."

Καὶ αὕτη μέν ἐστιν ἡ τοῦ θειοτάτου Μάρκου ἐπιστολὴ, ἥν περ λαβὼν ὁ τοῦ γράφοντος πιστὸς ὀπαδὸς καὶ καθ' ὅλα ἐφάμιλλος ἐκείνου ἀπήντησεν αὐτῷ μετριοφρονῶν τάδε·

" ✠ Ἀπόκρισις πρὸς ταῦτα τοῦ σοφωτάτου καὶ μακαριωτάτου πατριάρχου κυρ[ίου] Γενναδίου."

" ΕΓΩ, δέσποτά μου ἅγιε, πρῶτον μὲν εὐχαριστῶ τῇ μεγάλῃ ἁγιωσύνῃ σου ἐπὶ τοῖς ἐπαίνοις οἷς ἐχρήσω εἰς ἐμέ. Ὅ τι βουληθεὶς ἐμοὶ χαρίσασθαι, προσεμαρτύρησάς μοι ὅσα οὐκ ἔχω οὐδὲ ἐπίσταμαι προσεῖναί μοι· ἀλλὰ τοῦτό ἐστι τῆς ἄκρας καλοκαγαθίας καὶ ἀρετῆς καὶ σοφίας τῆς μεγάλης ἁγιωσύνης σου· ἣν καὶ αὐτὸς εἰδὼς ἐξ ἀρχῆς καὶ θαυμάζων, οὐ διέλειπον ἐς δεῦρο· ὅσα πατρὶ καὶ διδασκάλῳ καὶ παιδαγωγῷ ὀφείλεται, ἐκτελῶν εἰς τὴν μεγάλην ἁγιωσύνην σου· καὶ ὡς κανόνι χρώμενος τῇ σῇ γνώμῃ, τῆς τε ἐν δόγμασιν ἀκριβείας καὶ τῆς τῶν λόγων ὀρθότητος, οἷς ἂν ἐνασμενίσειας καὶ αὐτὸς συντιθέμενος· καὶ ὅσα μὴ κατὰ γνώμην εἴη σὴν, ἀνενδιάστως τούτων ἐκτρεπόμενος· καὶ τὴν τοῦ παιδὸς καὶ μαθητοῦ τάξιν τηρεῖν πρὸς τὴν μεγάλην ἁγιωσύνην σου οὐκ ἀπηξίωσα πώποτε· μάρτυρι χρῶμαι πρὸς

αὐτὰ τῇ μεγάλῃ ἁγιωσύνῃ σου. Οἶδας ὡς ἀεὶ τὸν τρόπον τοῦτόν σοι προσηρχόμην· καὶ τὰ βαθύτερα τῆς ἐμῆς διανοίας ἀνακαλύπτων, τοιαύτας αἰτίας σοι παρετιθέμην. Καὶ τοῦ, ὅτι δὲ ἔν τισι τῶν καιρῶν οὐ φανερῶς ἀπεδυόμην πρὸς τοὺς ἀγῶνας, οὓς ἡ σὴ μεγίστη ἁγιωσύνη ἠγωνίζετο, ἀλλὰ σιγῇ τούτους παρηρχόμην, τοὺς λόγους τούτου οὐδεὶς βέλτιον οἶδε τῆς μεγάλης ἁγιωσύνης σου. Ἐπεὶ πολλάκις τοὺς λογισμούς μου σοὶ θαῤῥήσας, καὶ τοὺς περὶ τούτου σοι ἀνεκάλυψα καθαρῶς, καὶ παραιτησάμενος τῆς συγγνώμης οὐκ ἀπέτυχον. Ἀλλὰ νῦν Θεοῦ συνάρσει τούτων πάντων καταπεφρόνηκα· καὶ ἐμαυτὸν καθαρώτατον καὶ φανερώτατον τῆς ἀληθείας συναγωνιστὴν ἔταξα· τὰ τῶν πατέρων μου δόγματα καὶ τὴν τῆς ὀρθοδοξίας ἀκρίβειαν ἀνυποστόλως διαγγέλλειν, κατὰ τὸν σκοπὸν τῆς σῆς μεγίστης ἁγιότητος."

Καὶ ταῦτα μὲν ἀντέγραφε τῷ θειοτάτῳ Μάρκῳ ὁ καλὸς τῶν Ἑλλήνων ποιμενάρχης Γεννάδιος, ἐξ ὧν καθορᾶται τό τε ἄδολον καὶ καθόλα εἰλικρινὲς τῆς ψυχῆς αὐτοῦ. Ἰδοὺ τοιοῦτοι ἦσαν οἱ τότε τοῦ ἔθνους ἡμῶν ἀρχιερεῖς· πιστοὶ δηλονότι ἀκόλουθοι τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοιούτους δεῖ εἶναι πάντας. Καὶ ταῦτα μὲν οὕτως ἐχέτω.

Ἔγραψε δὲ ὁ σοφὸς οὗτος ἀνὴρ Γεννάδιος καὶ πολλὰ σοφὰ συγγράμματα γραμματικά τε καὶ ἱστορικὰ[1] καὶ ἐκκλησιαστικὰ

[1] Μεταξὺ τῶν ὅσων ὁ κλεινότατος Γεννάδιος ἔγραψε σοφῶν συγγραμμάτων, ἀπαντᾶται καὶ ἓν περὶ τοῦ γένους τῶν Μελισσηνῶν, ὅ περ ἐπιγράφεται ὧδε· "Γεωργίου τοῦ Σχολαρίου εἰς τό, ἀγλαότιμον γένος τῶν Μελισσηνῶν δι' ἐντάλματος τοῦ κραταιοτάτου βασιλέως Ἰωάννου τοῦ Παλαιολόγου, ἐκλογὴ ἐκ διαφόρων ἱστοριῶν." Ἄρχεται δὲ ἐντεῦθεν.

"Κατὰ τὴν πρόσταξιν τὴν σήν, Θεοπροχείρητε ἄναξ, πατρὶς μὲν ἦν τοῦ τῶν Μελισσηνῶν γένους, ὡς ἐν διαφόροις βιβλίοις ἱστορικοῖς εἴδομεν, καὶ ἐκ παλαιᾶς παραδόσεως ἐλάβομεν· ἀλλὰ μὴν καὶ ὑπὸ σοφῶν ἀνδρῶν ἐδιδάχθημεν, τὸ τῆς Μιλήτου πεπαλαιομένον, καὶ ὑφ' ἑαυτῶν διηκούμενον εὐδαῖμον πτολίεθρον" . . . Λήγει δὲ ἐπὶ τούτοις.

"Καὶ τοιουτοτρόπως κατήχθη τὸ γένος τοῦτο τῶν Μελισσηνῶν ἕως τὴν σήμερον, ἡμέτερε αὐθέντα καὶ δέσποτα. Ἔῤῥωσο κραταιότατε Ἄναξ."

Ἕπεται δὲ τούτοις καὶ ἡ συνέχεια τῶν ἀπογόνων τοῦ οἴκου τῶν Μελισσηνῶν, ἥν περ ἀνεπλήρωσεν οὐκ οἶδα τίς, ἴσως δὲ ὁ μεταγραφεύς, ἔκ τε τῶν τοῦ Λογοθέτου Γεωργίου ἱστοριῶν, καὶ τῶν τοῦ Πρωτοβεστιαρίου Φραντζῆ, καθὰ τοῦτο ῥητῶς ἐν τῇ αὐτῇ ἀναγινώσκεται συνεχείᾳ. Μετεγράφη δὲ τοῦτο τῷ ᾳχιη'.

[Τούτου

οὐκ ὀλίγα, περὶ ὧν ὅρα Φαβρικίου Ἑλληνικὴν βιβλιοθήκην, καὶ Οἰκονόμου τὸν περὶ Ō τέταρτον τόμον, ἐν οἷς διαλάμπει πανταχοῦ τὸ εὐκρινὲς, καὶ τὸ τῇ ἀληθείᾳ συνᾷδον καὶ μάλιστα συμφώνως τοῖς τῆς ἐκκλησίας μεγάλοις πατράσι. Τὰ δὲ ἀποδιδόμενα αὐτῷ πονήματα ὑπὲρ τῆς διττῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεώς ἐστιν ὑποβολιμαῖα καὶ μάλιστα ἔργον Λατίνων· ἔξεστι τούτοις πάντα ποιεῖν. Καὶ γάρ, φησι Μάρκος Εὐγενικὸς ὁ θεῖος, "οἱ παραχαράκται καὶ καινοτόμοι τῆς πίστεως, οὗτοι καὶ τὰ ἐκκλησιαστικὰ ἔθη διέφθειραν καὶ ἐνήλλαξαν, καὶ θαυμαστὸν οὐδέν· ὅπου γε καὶ τὴν φύσιν αὐτὴν παρεχάραξαν, ἀντὶ ἀνδρῶν γυναῖκες φαινόμενοι, καὶ τὸν τίμιον κόσμον τῆς ἀνδρείας μορφῆς ἀφαιροῦντες· ὅθεν καὶ ἐν τῷ ἱερουργεῖν γυναῖκας συμπαρισταμένας ἔχουσιν, ἐπεὶ καὶ αὐτοὶ γυναιξὶν ἐοίκασι· καὶ τοὺς πλείονας τῶν λαϊκῶν ὅτε βούλονται καθημένους. Καὶ αὐτὸ τὸ μυστικὸν ποτήριον ἀποπλύνοντες μετὰ τὴν μετάληψιν, ἐπ' ἐδάφους ἐκχέουσι· καὶ ἐπὶ τῆς τραπέζης αὐτῶν ὅτε βούλονται πατεῖν οὐ πεφρίκασι· τοσοῦτον οἴδασι τιμᾷν τὰ ἑαυτῶν ἅγια· Εἶτα καὶ ἡμῖν ἐγκαλοῦσι; φεῦ τῆς ἀνοίας! φεῦ τῆς τυφλώσεως[1]!"

Τούτου ἀπόγραφον εἰδόντες ἐν τῷ κιβωτίῳ μου οἱ ἔντιμοι τοῦ Βερολίνου λησταὶ (καλῶ γὰρ αὐτοὺς οὕτω, ὅτι πολλὰ μοὶ ἀφαίρεσαν πράγματα λίαν ἐπίσημα, ὡς ἀπεδείχθη δικαστικῶς καὶ ἀποδειχθήσεται ἔτι μᾶλλον) ὑπέλαβον εἶναι τοῦτο ἔργον Σιμωνίδου!!! Δι' ὃ καὶ ἐν τῇ βιογραφίᾳ μου, ἣν συνέγραψε μὲν ὁ ἱλαροτραγῳδὸς Λέψιος, ἐξέδωκε δὲ πρῶτος (εἶτα δὲ καὶ ἄλλοι τῇ τοῦ Τισσενδορφίου τε καὶ ἄλλων προτροπῇ) ὁ ἀλλοπρόσαλλος Λουκοῦργος ἐν τῷ κατ' ἐμοῦ ψευδοτραφάξυος πλέον φυλλαδίῳ, εἶπον καὶ κατ' αὐτοῦ ἔν τινι σημειώσει "ὅττι κεν ἐπ' ἀκαιρίμην γλώττην ἦλθεν αὐτοῖς·" πρὸς δὲ καὶ ὅτι τοιοῦτον ὄνομα οὐδέποτε ὑπῆρξεν ἐν τῇ Ἑλλάδι!!! Ἀγνοοῦντες οἱ ἄνθρωποι, πρῶτον μὲν ὅ,τι τὸ πρωτότυπον κέκτηται ὁ Ἄγγλος Κύριος Θωμᾶς Φίλιππος (Sir Thomas Phillipps) προτοῦ μάλιστα τὸν Σιμωνίδην γεννηθῆναι· δεύτερον δὲ ὅτι τὸ ὄνομα τῶν Μελισσηνῶν ἀπαντᾶται μυριαχοῦ ἐν τοῖς Βυζαντινοῖς ἱστορικοῖς, καὶ ὅτι ἐκ τοῦ γένους τούτου ἐγεννήθησαν καὶ βασιλεῖς, καὶ πατριάρχαι καὶ στρατηγοὶ ἔνδοξοι. Τρίτον δὲ ὅτι ἐκ τοῦ γένους τῶν Μελισσηνῶν, τοῦ τρισενδόξου ἐκείνου, σώζονται καὶ μέχρις ἡμέρας ἐν Ἑπτανήσῳ καὶ Βενετίᾳ βλαστοὶ ἀειθαλεῖς. Ἀλλὰ τίνες γράφουσι ταῦτα; ἄνθρωποι ὅλως περὶ τὴν Ἑλληνικὴν ἱστορίαν ἀμαθέστατοι καί τοι καθηγηταί!!! οἵ τινες αἰσχυνόμενοι, ὡς ἔοικεν, ἵνα δημοσιεύσωσιν αὐτοὶ τὰ τοιαύτης φύσεως σκαλαθυρμάτια, ἐκδίδουσιν αὐτὰ ὑπὸ τὸ ὄνομα κούφων καὶ ὅλως κακοαναθρεμμένων παιδαρίων ἀστραγάλοις ἐξαγοραζομένων.

[1] Ὅρα Μάρκου Εὐγενικοῦ ἐπιστολὴν πρὸς Γεώργιον Πρεσβύτερον. Τὴν

Μεταξὺ τοίνυν τῶν ὅσων ὑπὲρ τῆς ὀρθοδοξίας σοφῶν συγγραμμάτων συνετάξατο ὁ μακάριος οὗτος καταλέγεται καὶ δύω περὶ τῆς τοῦ παναγίου Πνεύματος ἐπιγραφόμενα ἐκπορεύσεως, ἐν οἷς μάλιστα οὐδαμοῦ ἀπαντᾶται τὰ παρὰ τοῖς Λατίνοις τερατολογούμενα, τοὐναντίον μάλιστα ὡς ὀψόμεθα. Ἀνατίθησι δὲ ἀμφότερα ταῦτα τοῖς συγχρόνοις αὐτῷ ὀρθοδόξοις τῶν Ἑλλήνων ἡγεμόσι τε καὶ δουξὶν, ὡς ἐκ τῆς ἐπιγραφῆς βεβαιοῦται τοῦτο, καὶ μάλιστα ἐκ τῆς ἑξῆς ἐπιστολῆς, ἥ περ καὶ προτέτακτο τῆς β′ βίβλου.

Τῶν δύω οὖν τούτων βιβλίων περιτυχὼν τὸ πρῶτον ἐν τῇ κατὰ τὸν Ἄθω ἱερᾷ μονῇ τοῦ Διονυσίου, καὶ κτησάμενος αὐτὸ ἐκδίδω ἤδη ὡς ἔχει· τὸ δὲ δεύτερον εἶδον ἐν τῇ τῆς Ὀξονίας κοινῇ βιβλιοθήκῃ, ἐν ᾧ μάλιστα καὶ ἡ ἐπιστολὴ εὕρηται. Ἔχει δὲ αὕτη ὧδε·

“✠ ΤΩΙ ὑψηλοτάτῳ βασιλεῖ Τραπεζοῦντος Κυρίῳ Ἰωάννῃ τῷ μεγάλῳ Κομνηνῷ, Γεώργιος ὁ Σχολάριος μετ' εὐλαβεστάτης εὐνοίας, χαίρειν.

“Τὸ μὲν πρῶτον βιβλίον ἡμῖν ἐπὶ ταῖς μελέταις συντέθειται τῶν πρὸς τὸν ἐπίσκοπον ἐκεῖνον ἀγώνων, ᾧ πολλάκις ἐπ' αὐτοῦ βασιλέως, καὶ τῆς συγκλήτου πάσης τῆς παρ' ἡμῖν, καὶ τῶν ὁμοδοξούντων ἐκείνῳ, παρόντων πάντων σχεδὸν διειλέγμεθα, ὃς καί τοι σοφὸς ὢν, οὐχ ἡμῶν ἀλλὰ τῆς ἀληθείας ἧττον ἐφάνη. Ἤδη δὲ καὶ δεύτερον σοῦ χάριν συγγέγραπται, βασιλεῦ εὐσεβέστατε, ποθοῦντος δέξασθαι παρ' ἡμῶν τὶ τοιοῦτον· πρὸς γὰρ τοῖς ἄλλοις καλοῖς οἷς ἐκόσμησας τὴν βασιλικήν σου ψυχὴν, καὶ δι' αὐτῆς τὴν ἐγκεχειρισμένην σοι θεόθεν ἀρχὴν, λόγων τε ἐρᾷς καὶ τούτων ὅσοι θειότεροι, καὶ τοῖς πρὸς τούτοις ἔχουσιν εὐμενὴς ἀεὶ καὶ ἵλεως φαίνῃ, ἅτε δὴ τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων προελομένοις τὸ βέλτιστον, ὑπερεξῃρέσθω δέ σου τῶν ἁπάντων πλεονεκτημάτων ἡ ἐν τῇ πίστει βεβαιότης, ἧς

περὶ τῶν ἀζύμων ταύτην ἐπιστολὴν τοῦ θειοτάτου Μάρκου εἶδον ποτὲ, καθ' ὅσον ἤδη ἐνθυμοῦμαι, σὺν ταῖς δυσὶ πρώταις ἐν τῷ τῆς Ἀγάπης ἢ τῷ τῆς Χαρᾶς τόμῳ· οὐ γὰρ ἔχω τὸ βιβλίον τοῦτο ἐνώπιόν μου, ὅπως βεβαιωθῶ καὶ τοὺς ἀναγνώστας μου πληροφορήσω. Ἔχω δὲ μόνον αὐτὰς ἐν χειρογράφοις τοῦ ϥχκα′ ἔτους ἐν οἷς καὶ ἄλλαι πολλαὶ, ὡς καθορᾶται ἐν τοῖς προλεγομένοις.

ἕνεκα τὴν ἡμετέραν οὐθένειαν καὶ τῆς ἀξίας πλέον φιλεῖς καὶ τιμᾷς, ὅτι σοὶ δοκοῦμεν τῇ συστάσει τῶν ὀρθῶν καὶ πατρίων δογμάτων καὶ αὐτοί τι λυσιτελεῖν. Σὺ μὲν οὖν, κράτιστε βασιλεῦ, περὶ τοῦ προτέρου βιβλίου μαθὼν, ἐκεῖνο πεμφθῆναί σοι παρ' ἡμῶν ἀπῄτεις· ἡμεῖς δὲ ἐκεῖνο φιλοτιμότερόν πως ἐξειργασμένον εἰδότες, καὶ πολλὰ τῶν τὴν ἐναντίαν εἰπόντων ἡμῖν καθαπτόμενον, ὀλίγοις ἐκδεδώκαμεν καὶ τῶν ἐν τῇδε τῇ πόλει· ἄλλον γὰρ ἴσμεν ἔσεσθαι τὸν καιρὸν ἐν ᾧ δεήσει φαίνεσθαι πᾶσι· τῷ δὲ σῷ κράτει κελεύοντι πάνυ προθύμως ἐμέλλομεν πέμπειν· ἀλλ' ἐνθυμηθέντες, ὅτι τοῖς βασιλεῦσιν οἱ ἐπὶ τῶν ἄλλων τεχνῶν, οὐχ ἅπερ ἂν τοῖς τυχοῦσι παρασκευάσονται προσφέρουσι τεχνουργήματα, ἀλλ' ἐξεπίτηδες δημιουργοῦντες ἄλλα προσάγουσιν· ἡμῖν δὲ καὶ πόῤῥωθεν ἐμελετᾶτό τι καὶ δεύτερον σύνταγμα πολλὰ περιέξον τῶν ἐν τῷ προτέρῳ παραλελειμμένων, προφάσει τῇ βασιλικῇ προτροπῇ δικαίᾳ χρησάμενοι, τουτὶ τὸ δεύτερον αὐτοσχεδιάζομεν σύνταγμα· συντομώτερον ἐκείνου πολὺ καὶ σαφέστερον, καὶ τοῖς τῶν διδασκάλων μᾶλλον ὡπλισμένων λογίοις, καὶ οἷον εἶναι δῶρον προσῆκε τῷ βασιλεῖ, πολλὰ μὲν ἔχοντα πράττειν, σαφεῖς δὲ καὶ συντόμους ἔχειν ἐθέλοντι τὰς εἰδήσεις. Ὅθεν μὴ μέμφεσθαι βούλου, ὅτι σοι μὴ τὸ πολυστιχώτατον ἐκεῖνο πεπόμφαμεν, ἀλλὰ μᾶλλον εἰδὼς, σοῦ χάριν πόνον ὑποστάντας δεύτερον τουτονὶ, καὶ τῷ τοῦ σοῦ κράτους ὀνόματι τὸ βιβλίον κοσμῆσαι προῃρημένους, χρῶ καὶ τοῦτο μετὰ πολλῶν ἄλλων, τῆς πρὸς τὸ θεῖόν σου κράτος εὐνοίας ἡμῶν καὶ πίστεως ἀκριβὲς τεκμηρίῳ. Ἔστω δὲ μηδὲ τὸ βιβλίον τοῦτο πᾶσιν οἷς ἂν τύχοι κοινὸν, ἀλλὰ κειμήλιον ἔστω σοι καὶ ἀπόθετον σοῦ μόνου ἐνώπιον ἀνοιγνύμενον, καὶ φαινόμενον καὶ λαλοῦν καὶ πάλιν κρυπτόμενον· ἔνεστι γὰρ πολλὰ τῷ συντάγματι, ἃ δεῖ λανθάνειν τοὺς ἡμῖν διαφερομένους, εἴποτε πάλιν μεθ' ἡμῶν συναίρειν λόγον θελήσειαν· μὴ διδόναι δὲ τὴν δόξαν ἡμῶν ἑτέροις ἢ ἀλλοτρίοις τὰ ἡμῖν συμφέροντα, ἔχομεν παραγγελίαν, ὡς οἶσθα· καὶ τῷ πάντα μετὰ τοῦ καιροῦ πράττειν τὸ κατορθοῦν ἔνεστι· νῦν δὲ οὐδὲ τοὺς ἐκ τῆς ἑτέρας γλώττης φυλάττεσθαι δεῖ μόνον, ἀλλὰ καὶ τῶν ἡμετέρων, ὅσοι τῆς πατρίου δόξης καταπεφρονήκασιν· ἀμαθίαν μὲν καταγνόντες

πολλὴν τῶν ἡμετέρων προγόνων, σοφισματίοις δέ τισιν ἐξ ἀπειρίας ἑαλωκότες· καὶ ταῦθ' ὡς δή τι σεμνὸν ἔχοντα περιβομβοῦντες ἄνω καὶ κάτω, ἐπ' αἰσχύνῃ τῶν ἡμετέρων προγόνων· μᾶλλον δὲ ἑαυτῶν· οὐ γὰρ τὴν ἕνωσιν τῶν ἐκκλησιῶν ἀσπαζόμενοι ταῦτα τολμῶσι. Θαυμαστὸν ἂν ἦν, εἰ μόνοις αὐτοῖς ὁ τῆς ἑνώσεως ἐνέσπαρτο πόθος· ἡμεῖς δὲ τῆς εἰρήνης ἐχθροὶ πάντες ἦμεν, οἱ μὴ σφίσι πειθόμενοι· ἀλλὰ στήλην ἀνάγραπτον κατὰ τῆς ἡμετέρας ἐκκλησίας ἵστασθαι βούλονται τὰς ἐν τῇ Φλωρεντίᾳ συνθήκας, ἃς ἴσμεν πάντες ὅπως γεγόνασιν, αὐτῶν ἐλεγχούντων τῶν αὐτὰς καταπραξαμένων· καὶ βούλονται τουτωνὶ τῶν συνθηκῶν μενουσῶν καὶ πιστευομένων, ὅ περ ἡμῖν αὐτοὶ προστρίβονται αἶσχος ἀδίκως καὶ ἀμαθῶς, Νεστοριανοὺς ἀποκαλοῦντες, ὅτι μὴ πιστεύομεν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὴν ὕπαρξιν ἔχειν. Τοῦτο κατὰ πάσης τῆς ἐκκλησίας τῆς θρεψαμένης ἡμᾶς κρατεῖν τὸν ἔπειτα χρόνον· οὕτω δεινοί τινες εἰσὶ μητραλοῖαι καὶ πάντολμοι· διὰ τοῦτο καὶ ἡμεῖς αὐτοῖς οὐ προσέχομεν, ὡς τῆς ἑνώσεως ὑπερδικοῦσιν, ἀλλὰ μισοῦμεν μᾶλλον δὲ ἐπαλγοῦμεν αὐτοῖς, ὡς κίνδυνον τηλικοῦτον ἐπανῃρημένοις, καὶ τὴν ἀλήθειαν αὐτὴν, καὶ τὴν δόξαν τῆς καθ' ἡμᾶς ἐκκλησίας ῥιψοκινδύνως διασπαράττουσιν αὐτοί γε ἡμεῖς τῇ τοῦ Χριστοῦ χάριτι τῆς ἀληθοῦς καὶ θεοφιλοῦς ἑνώσεως τῶν Χριστιανῶν ἐπιθυμηταὶ ὄντες, καὶ σπουδασταὶ, εἴποτε τοιοῦτόν τι δυνηθείημεν. Τούτων τοίνυν τὴν ἀμάθειαν καὶ τὴν προπέτειαν φυλάττεσθαι δεῖ· οἱ γὰρ κατὰ τῶν διδασκάλων ἀφιέντες τὰ βέλη τῆς ἀγροικίας, τί οὐκ ἂν πέμψειαν καθ' ἡμῶν; τί δ' οὐκ ἂν ἀδικήσειαν τούς τε λόγους ἡμῶν καὶ ἡμᾶς τοὺς τούτων πατέρας; ἐκείνης γάρ εἰσι τῆς προαιρέσεως, ἧς καὶ οἱ κατὰ τῆς ἀληθείας συγγεγραφέναι τολμήσαντες· οἶσθα γὰρ πολλοὺς καὶ κατὰ τῶν ἱερῶν Εὐαγγελίων ληρήσαντας· ἀλλ' ἕως μὲν ζῶμεν, γλώττῃ πρὸς πάντας ἀρκοῦμεν ἀπολογειᾶσθαι· ἃ γὰρ ἐν ἀμφοτέροις τοῖς βιβλίοις κατέστρωται, ταῦτα καὶ τούτων πλείω καθ' ἡμέραν πρὸς τοὺς ἀντιδοξοῦντας διαλεγόμεθα· οἱ δὲ, οὐκ ἔχοντες ἀπαντᾶν εὐλόγως, ἄλλον τινὰ τρόπον τὸ συμφέρειν αὐτοῖς δοκοῦν πράττουσι· τεθνηκότων δὲ ἡμῶν ποτὲ, τὰ βιβλία ταῦτα λαλήσει. Εἰ δέ τις ἐρεῖ τι καὶ

κατ' αὐτῶν, ἀληθῆ μὲν κατ' ἀληθῶν, ἀδύνατόν ἐστιν ἐκεῖνο εἰπεῖν· τῶν δὲ σοφισμάτων τοῖς νοῦν ἔχουσι δώσει τὰς δίκας, πρὶν ἀποδοίη τῷ δικαίῳ κριτῇ πάντων· ἔσονται γὰρ πολλοὶ τῇ τοῦ Χριστοῦ χάριτι, καθάπερ καὶ νῦν εἰσιν, οἱ τὴν ἀλήθειαν μετὰ τοῦ κακοπαθεῖν ἀσπαζόμενοι, καὶ μὴ πρὸς τὰ σοφίσματα, καὶ τὴν τῶν προσκαίρων πραγμάτων κεχυνότες ἀπάτην. Παρὰ τούτοις οὖν ἡ κρίσις τῶν θ' ἡμετέρων λόγων κείσεται, καὶ ὧν ἕτεροι σοφιοῦνται. Τούτων οὖν χάριν, μηδενὶ τῶν ἐχθρῶν διδόσθω τὸ σύνταγμα, ἕως ἂν ἐν τοῖς ζῶσιν ἀκούῃς ὄντας ἡμᾶς· ἢ ἕως ἂν μάθῃς αὐτὸ παρ' ἡμῶν ἑκόντων καὶ ἄλλοις τισὶν ἐκδοθῆναι."

Καὶ ὧδε μὲν λήγει καὶ ἡ ἐπιστολὴ, ἥ περ ὡς ὁρᾶται ἐξελέγχει καὶ αὕτη τὴν τῶν Λατίνων πλαστογραφίαν· καταδείξει δ' ἐπὶ μᾶλλον τὸ ἀνοσιούργημα τοῦτο τῶν μοχθηρῶν Λατίνων καὶ ἡ τῶν βιβλίων αὐτὴ ἐκτύπωσις· οὐδαμοῦ γὰρ ἐν αὐτοῖς ἀπαντᾶταί τι συνᾷδων τῇ Λατινικῇ καινοτομίᾳ.

ΤΩΙ

ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΩΙ

ΚΑΙ

ΕΚΛΑΜΠΡΟΤΑΤΩΙ ΚΑΙ ΠΕΡΙΦΑΝΕΣΤΑΤΩΙ

ΚΥΡΙΩΙ ΜΟΥ

ΤΩΙ

ΜΕΓΑΛΩΙ ΔΟΥΚΙ

Ο

ΕΛΑΧΙΣΤΟΣ ΓΕΝΝΑΔΙΟΣ,

ΧΑΙΡΕΙΝ ΕΥΤΥΧΩΣ

ΚΑΙ

ΕΥΣΕΒΩΣ.

ΛΑΤΙΝΩΝ τις ἐμοὶ τῶν σπουδαιοτέρων πρότριτα προσελθὼν, τὰ μὲν ἄλλα ἐπῄνει με καὶ ὑπὲρ τὸν οὐρανὸν αὐτὸν ἀνῆγε τοῖς λόγοις ὡς ἐκείνοις ἔθος ἐστὶν εἰς τοὺς συνόντας ποιεῖν, κἂν μὴ σφόδρα εἰδῶσιν ὄντας τοιούτους· ὠνείδιζε δὲ οὐκ οἶδ' ὅθεν ἐπὶ τὴν χρείαν ταύτην ἐλθὼν, ὅτι τομεὺς ἐγὼ τῆς ἑνώσεως· τῷ γὰρ ἐκείνου χρήσομαι ῥήματι· καὶ ὅτι τὸν μὲν ἄριστον βασιλέα καὶ τὸν μέγαν Δούκαν καὶ τοὺς τῆς συνάξεως πάντας σχεδὸν, ἴσασι πάντες Λατῖνοι, πρὸς τὴν μετ' αὐτῶν ἑτοίμως ἔχοντας ἕνωσιν· τὸ δ' ἐμὸν προσίσταμαι μόνον, πέρα τοῦ δικαίου φιλονεικοῦντος· καὶ βλάπτοντος μὲν τὴν σύμπασαν πόλιν, τῆς ἐκ τοῦ Πάπα στερομένην (ἴσ. στερουμένην) ἐπικουρίας· ἀδικοῦντος δὲ καὶ αὐτὴν ἀλήθειαν, καὶ δόγμα ἐλαύνοντος ὑγιὲς καὶ πολλὰς ἔχον τὰς ἀποδείξεις, καὶ ἐν συνόδῳ κεκριμένον κοινῇ, καὶ τοιαῦθ' ἡμῖν ἐνεκάλει, μετ' εὐλαβείας ἄλλως ἱκανῆς τοὺς λόγους ποιούμενος. Ἐγὼ δὲ, τὴν σύνοδον ἐκείνην, ἄνθρωπε, εἶπον· ἴσασι πάντες ὁποία τίς ἦν· καὶ εἴην ἂν ἐπαχθὴς, οὐ σοὶ μόνον κατ' ἐκείνης τὶ λέγων, ἀλλ' ἤδη καὶ ἐμαυτῷ, περὶ τῶν προδήλων ἀγωνιζόμενος· ἀπόχρη γὰρ τοσοῦτον εἰπεῖν, ὡς οὐδὲν ἱερὸν ἐκ κεφαλῆς (φασιν) ἄχρι ποδῶν

ἐκείνῃ συνοίδασιν, οἷς μετῆν (;) (ἴσως, μεστὴ) ἀκριβῶς· τῶν ἀρχομένῃ τε καὶ τελευτώσῃ παρόντων· καί σοι μάρτυρα καλῶ τὸν Θεὸν, ὡς εἰ καὶ τὰς οἰκουμενικὰς ἐκείνας συνόδους τοιαύτας ἐπεπείσμην γενέσθαι (ὅπερ ἀπείη) εὐθὺς ἂν πάσας ὑπέλαβον ἐγκαταλειφθείσας ὑπὸ τοῦ Πνεύματος, πορρωτάτω τῆς ἀληθείας ἀπενεχθῆναι· καὶ ὧν κατεψηφίσαντο δοξῶν, ταύτας μᾶλλον τὰς ἀληθεῖς γεγονέναι. Καί τοι νῦν αὐταῖς, τὴν τῶν ἱερῶν λογίων ἀπονέμομεν τάξιν ὡς οἶσθα· καὶ δυσσεβεῖς τοὺς ἐν αὐταῖς κατακεκριμένους καλοῦμεν· καὶ ταῖς ἀμφίετες ἀνακηρύξεσι δημοσίᾳ, τοὺς κατ' ἐκείνων ἠγωνισμένους διδασκάλους τιμῶμεν· καὶ ὡς κοινοῖς εὐεργέταις καὶ τῶν μεγίστων χάριν ὀφείλομεν. Ἀλλ' εἰ δεῖ τινα σύνοδον στέργειν περὶ τῆς ἐκπορεύσεως ἀποφηναμένην τοῦ Πνεύματος, μάλιστα μέν ἐστιν ἡ τῶν οἰκουμενικῶν συνόδων δευτέρα, ἣ τὸ περὶ τοῦ Πνεύματος ἀνέπτυξεν ἄρθρον, ὅσον τε εἰς τὴν οὐσίαν αὐτοῦ, καὶ ὅσον εἰς τὴν ὅθεν ἐστὶν αἰτίαν ἀνήκει. Ἐπεὶ καὶ περὶ ἀμφοῖν κακῶς πιστεύων ὁ Μακεδόνιος, ἠνώχλει τότε τὴν ἐκκλησίαν. Καὶ τῇ ἀναπτύξει ταύτῃ, καλῶς αἱ μετ' ἐκείνην ἐφησύχασαν σύνοδοι. Τῆς τρίτης εὐθὺς ἀποφηναμένης, μηκέτι πράγματα τῷ συμβόλῳ παρέχειν δι' ὁτιοῦν· ἀλλὰ συντιθέναι μὲν κατὰ τῶν ἑκάστοτε κατακριτέων αἱρέσεων δεῖν τὰς ψήφους τῆς ἀληθείας ἐν ἰδίαις γραφαῖς· τὸ δὲ μάθημα τῆς εὐσεβείας διατηρεῖν παντάπασιν ἄθικτον· ὡς τελεώτατον ὂν καὶ μηδεμιᾶς ἐπεξεργασίας δεόμενον· ὡς εἰκός ἐστιν ἐν ἐπιτόμῳ τῆς πίστεως ὅρῳ πάντα περιειλῆφθαι τὰ καίρια, καὶ ἃ μόνα τοῖς ἀληθέσι θεμελίοις ἐντετάχθαι προσήκει· ἢ καὶ φρικώδεις ἀρὰς ἐπανατειναμένη τοῖς ἄλλο τι πράττειν τολμήσουσιν, αὐτὴ πρώτη τὸν νόμον ἐν τοῖς ἑαυτῆς (ἴσ. ἑαυτοῖς) τετήρηκεν ἔργοις· πολλὰ μὲν ὁρισαμένη κατὰ τοῦ δυσσεβοῦς Νεστορίου· τοῦ δὲ συμβόλου μηδαμῶς ἀψαμένη. Αὐτῆς τε τοίνυν οὕτω πεποιηκυίας, καὶ τῶν μετ' ἐκείνην τεττάρων ἐκ διαδοχῆς ἐμμενηκυιῶν τῷ περὶ τοῦ μὴ δεῖν αὐτοῦ θίγειν νόμῳ, ἰσχυρότεραι μὲν ἐκεῖναι παντὶ νοῦ μετέχοντι, τῆς παραλυσάσης τὸν καλὸν ἐκεῖνον νόμον συνόδου· ἣν ἐν Ἰσπανοῖς ὁ Πάπας ἐπὶ κακῷ τῆς οἰκουμένης ἔπραττε μόνος· βεβαιοτερον δὲ τῆς δευτέρας συνόδου τὸ περὶ τοῦ Πνεύματος κήρυγμα τοσαύταις ἐπικεκυρωμένον

συνόδοις, τοῦ νέου κηρύγματος. Ἀλλὰ καὶ χωρὶς τῶν οἰκουμενικῶν ἐκείνων συνόδων, ἔπραττε μὲν ὁ Πάπας τὴν προσθήκην μόνος ἐν Ἰσπανίᾳ· καὶ τὴν εἰρήνην τῶν ἐκκλησιῶν κακῶς ἔλυεν· ἐπράττοντο δὲ καὶ παρ' ἡμῖν πολλαὶ σύνοδοι, ἐπὶ Κομνηνῶν, ἐπὶ Λασκαρίων τῶν ἀρίστων βασιλέων ἐκείνων· καὶ πάσαις ἀπώμοτον ἐδόκει κοινωνεῖν τοῖς Λατίνοις, ἔτι τῆς πονηρᾶς ἐκείνης ᾀδομένης προσθήκης. Συνεκροτεῖτο δὲ τελευταῖον ἐπὶ τοῦ δευτέρου τῶν Παλαιολόγων ἡ μεγάλη καὶ ἱερὰ σύνοδος, ἀρετῇ καὶ πλήθει πατέρων ἀστράπτουσα· οἳ, μετ' ἐλευθερίας τὰ περὶ τῆς ἀληθείας καὶ πάθους χωρὶς ἐξετάζοντες, ὀλέθριον μὲν καὶ πόῤῥω τῶν ἱερῶν τὸ Λατίνων εὕρισκον δόγμα· ἐνομοθέτουν δὲ μηδένα τολμᾷν ἑνοῦσθαι Λατίνοις ἢ συμβουλεύειν οὕτω ποιεῖν, ἕως ἂν τὴν προσθήκην αὐτῶν ᾄδοιεν· ἢ τοῖς τοῦτο τολμήσουσι καὶ χριστιανοῖς μηδὲν κοινὸν ἔσεσθαι. Τίς οὖν οὐ φρίξει τολμήσας τοῦτον ὑπερβαίνειν τὸν νόμον; Ἡ δὲ σύνοδος αὕτη, τὰς οὐ καλὰς τοῦ Μετοχίτου καὶ Μελιτινιότου συνθήκας ἐν Λουγδούνῳ, ἃς παραπρεσβεύοντες ἔπραξαν συνῆλθεν ἀκυρώσουσα δήπου· καὶ τὰς φλυαρίας τοῦ Βέκκου, ἃς κατὰ τῆς μητρὸς καὶ τῶν ταύτης νόμων συντιθεὶς οὐκ ᾐδέσθη, πυρὸς ἔργον δείξουσα· καὶ Θεὸς ἐπεμαρτύρει τῇ ψήφῳ, σημεῖα καταπέμπων ἐπὶ τὴν ἀρχὴν τῶν κακῶν. Τίς τοίνυν ἀφεὶς τὰς ἐλευθέρας ἐκείνας συνόδους καὶ σώφρονας, ὁπότε τὰ Ἑλλήνων ἔτι καὶ σοφίᾳ καὶ πᾶσιν ἤνθει τοῖς κρείττοσιν, ἵνα μὴ λέγω τοὺς μεγάλους καὶ οἰκουμενικοὺς ἐκείνους τῆς ἀληθείας κανόνας, τοῖς βιαίοις καὶ σισυφώδεσι τῶν ἄλλων ἔργοις προσθήσεται; οὐ γὰρ ἄδηλον, τίσι μὲν ἄνδρε δύω πειθόμενοι μετετίθεσθον πρὸς Λατίνους, τοῦ προτέρου Παλαιολόγου συντιθέντος τὸ δρᾶμα· τίσι δὲ οἱ τὴν ἐν Φλωρεντίᾳ καλὴν πράξαντες ἕνωσιν καὶ τίνες ὄντες. Ἀλλ' ἐπειδὰν βουληθῇς ἐκ πολλῆς περιουσίας σοι δείξω, τὴν μεγάλην ἐκείνην ἐπὶ τοῦ μετ' ἐκεῖνον βασιλεύσαντος σύνοδον, οἰκουμενικὴν ὄντως οὖσαν· ἵνα πεισθῇς ἡμᾶς, οὐ ταῖς πρώταις μόνον ἐκείναις, ἀλλὰ μάλιστα τῇ νέᾳ ταύτῃ βεβαίως ἐρειδομένους· κᾂν μὴ δείξω σοι σαφῶς οὑτωσὶ, ὥστε μὴ δύνασθαι σέ τε καὶ πάντας ἀντειπεῖν Λατίνους εἴ γε παρῆσαν, ἄπιθί με λαβών. Οὐκοῦν παύου σύ τε καὶ πᾶς ὁστισοῦν, Φλωρεντίαν καὶ

μύθους ἡμῖν ἐπισείων τοιούτους· ἡμεῖς γὰρ τοὐναντίον ἐπὶ τῶν δωμάτων κηρύττομεν, ὡς εἴ τις τὴν τῆς συνόδου ψῆφον ἐκείνης κατὰ τοῦ Βέκκου καὶ τῶν νῦν ὁμοφρόνων περὶ ἐλάττονος ποιούμενος φαίνοιτο, τῆς ἡμετέρας τὴν ἀρχὴν γεγονὼς ἐκκλησίας, τῷ τοῦ ἀναθέματος ἐπιτιμίῳ φρικώδει παρ' αὐτῆς καθυποβεβλημένος ἀνέξεται φεῦ! καὶ παρ' ἡμῶν εὐσεβῶς αὐτῇ πειθομένων. Τῆς δὲ ψήφου κρατούσης ἐκείνης, ᾗ ταῖς τῶν προτέρων οἰκουμενικῶν καθάπαξ συνᾴδει, τοῖς ἀνθρωπικοῖς τούτοις πραγματεύμασιν οὐδεμία λείπεται χώρα. Εἰ δὲ Λατῖνοι ταύτην ἀγνοοῦσι τὴν σύνοδον, οὐδὲ τῆν ψῆφον τρέμουσι ταύτην, οὐδὲν πρὸς ἡμᾶς. Ὥς περ οὐδὲ ἡμεῖς τὰς πολλὰς ἴσμεν ἐκείνων τὰς ἐν τῷ Λέστῳ[1]· ἃς ἐπαχθεῖς γίνονται διηγούμενοι. Οὐκ ἀναγκάσομεν γοῦν αὐτοὺς αὐτῇ ποτε πείθεσθαι· ἀλλ' ἡμᾶς ἐμμένειν κρίνομεν δίκαιον αὐτῇ σωφρονοῦντες. Εἰ δὲ κοινῇ συνόδῳ δέοι τὸ διάφορον λύεσθαι, ἕστηκεν ἡ προτέρα ἐκείνη παντὸς φωτὸς ἐναργέστερον, δεικνῦσα τοῖς φιλονεικεῖν οὐκ ἐθέλουσιν, τί πιστεύειν περὶ τοῦ Πνεύματος δεῖ· καὶ πάσας τὰς μετ' ἐκείνην ἔχει συμψήφους. Ἐκείνην ὁ Πάπας τιμησάτω καλῶς· ἐκείνῃ περιθέσθω μεθ' ἡμῶν ἀκριβῶς· μὴ φιλονεικήτω σοφώτερος ἐκείνης εἶναι μηδὲ θειότερος, καὶ πάντες εὐθὺς ὑπακούσομεν. Τίς ἐκείνης οἰκουμενικώτερον; τίς προυργιαίτερον ἂν συνέλθοι ποτὲ σκεψομένη περὶ τοῦ Πνεύματος; Ἄτοπον δέ ἐστι τὸ μὲν σύμβολον ἐκείνης ὁμολογεῖν τὴν ἐκκλησίαν Λατίνων· καὶ Κωνσταντινουπολιτικὸν αὐτὸ καλεῖν σύμβολον· ἐν γὰρ τῇ πόλει ταύτῃ τὸ περὶ τοῦ Πνεύματος ἀνέπτυσσον ἄρθρον οἱ τῆς οἰκουμένης πατέρες· τῇ δὲ καινοτομίᾳ, φθείρειν αὖθις αὐτὸ, διακαθαίρειν οἰομένους καὶ τελειοῦν· ὥς περ τοῖς ἀλλοτρίοις καὶ μηδὲν προσήκουσιν ἐπιπήδοντας πράγμασιν, ἢ τὸ Πνεῦμα διορθοῦσθαι τολμῶντας, ὅ περ ἐν τοῖς πατράσι λελάληκε. Τὸ δ' ἀφέντας ἐκείνην τὴν σύνοδον ἐν ᾗ χιλίοις ἔτεσι συνεφωνοῦμεν σχεδὸν, ταῖς τῶν καιρῶν τούτων συνόδοις τὰ τοιαῦτα πιστεύειν, ἱερόσυλον δοκεῖ τοῖς ἔχουσι νοῦν. Τὰ γὰρ νῦν, χρημάτων ὤνια καὶ τιμῶν ἐστι πάντα, καὶ προλήψεων

[1] ἐν τῷ πρωτοτύπῳ διὰ δύω λλ εὕρηται γεγραμμένον· τῷ λλέστῳ.

δοῦλα καὶ ἀμαθίας καὶ τὸ πᾶν εἰπεῖν ἀπιστία, ὡς εἰκός ἐστιν ἐν τοῖς ἐσχάτοις καιροῖς· ἐν οἷς καὶ τοὺς ἐκλεκτοὺς ῥᾷον ἀποπλανᾶσθαι τοῦ δέοντος, ἐπὶ τὰς τῶν χειρόνων ἕξεις καὶ προαιρέσεις αἴφνης μεθισταμένους, ὡς τοῖς λογίοις πᾶσι δοκεῖ. Εἰ δὲ καὶ πρὸς ἐκείνην τὴν σύνοδον ἀμβλυώττοι τις, ἀλλὰ τὰ τῆς τρίτης καὶ μετ᾽ ἐκείνην ἔργα, τίνα καὶ λίθον οὐκ ἂν κινοίη πρὸς αἴσθησιν; Ὅτι Νεστόριον μὲν, ἐκ τοῦ Υἱοῦ μὴ εἶναι τὸ Πνεῦμα τὸ θεῖον, ἀλλ᾽ ἐκ μόνου δηλαδὴ τοῦ Πατρὸς, ἐν αὐτῇ μέσῃ διὰ τοῦ συμβόλου κηρύττοντα, καὶ Θεοδώριτον οὕτω κατὰ Κυρίλλου βοῶντα, ἐπείπερ ἐδόκει φρονεῖν ἃ τοῖς Λατίνοις ἔδοξεν ὕστερον, ἐκείνους μὲν ἡ σύνοδος οὐκ ἐμέμψατο· ἥδιστα ἂν ἐν πλείοσιν ἀντιλαβομένη, ὡς ἂν ἐκ περιουσίας πολλῆς αὐτοὺς ἀποδείξει ὡς πλανωμένους· ὁ δὲ Κύριλλος μόλις ἴσχυσεν ἀπαλλαγῆναι τῶν ψόγων, τὸ τῆς λέξεως διττὸν ἐξ ἧς ὑποπτεύετο διελών. Καὶ ἄλλως μὲν λέγειν ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμα ὡς ὁμοούσιον· ἄλλως δὲ τοῦ Πατρὸς ἐκπορευόμενον, πολλάκις μετὰ πολλοῦ τοῦ δέους βοήσας. Ἀρά γέ σοι δοκεῖ νοῦν ἔξειν ἡμᾶς, πρὸς οὕτω φανερὰ καὶ ἔργα καὶ δόγματα συνόδων οἰκουμενικῶν, τὰ φλωρεντιακὰ κρίνοντας παίγνια· κᾀκεῖνα μὲν ἀφιέντας, τοῖς δὲ παιγνίοις τούτοις προστιθεμένους, ἐπὶ τῷ τὴν ἰδιόῤῥυθμον κυρῶσαι προσθήκην συσκευασθεῖσι καὶ τὴν ἐν Ἰσπανίᾳ καλὴν σύνοδον, ἣ τὴν οἰκουμένην ἐμέρισεν; Περὶ μὲν οὖν τῆς συνόδου ταῦτα φημί. Ὅτι δὲ πολλὰς τοῦ δόγματος ἀποδείξεις, λόγος ἄλλως ἐστίν. Οὐ γὰρ ἂν ἐλάνθανον τοὺς ἡμετέρους πατέρας οὖσαι τοιαῦται· οὐδ᾽ ἡμᾶς ἔτι λανθάνειν δύνανται· κᾂν μυριάκις ἡμῖν τὰς Θωμᾶ καὶ Σκότου καὶ τῶν ὁμοίων ἐπιχειρήσεις κομίσητε, σοφιστικὰς μᾶλλον ἐλεγχθείσας ἀποίσεσθε. Τί γὰρ αὐταῖς κοινὸν καὶ τοῖς θεμελίοις τῆς πίστεως; ἐξ ὧν τὰς ἀποδείξεις πλέκεσθαι δεῖ τοῖς μετ᾽ ἀνάγκης θεολογοῦσιν· ἢ τῇ μὲν δευτέρᾳ τῶν συνόδων οὐκ ἐξῆν ἀναπτύσσειν τὸ περὶ τοῦ Πνεύματος ἄρθρον, μὴ τὰς λέξεις ἐκείνας ἐκ τῆς ἱερᾶς γραφῆς ἀποσπώσῃ, φανερῶς οὑτωσὶ κειμένας ἐκεῖ. Ὑμῖν δ᾽ ἔξεσται μετὰ σοφισμάτων ἀναπτύσσειν τὸ σύμβολον· ἀλλ᾽ οὐχὶ δεικνύντας τὴν λέξιν ὅπου κεῖται τῶν δελτῶν τῶν ἱερῶν· ἢ τοσοῦτον ἡμᾶς οἴεσθε παχεῖς γεγονέναι, ὡς

μηδ' αὐτὸ γοῦν ἐξ ὑμῶν ἀπαιτεῖν, ὃ κἂν ἐκ τῶν Συνόδων ἐζητοῦμεν ἐκείνων· καὶ ὡς ἀπαιτηθησομένου καλῶς, οὕτω μετ' ἀσφαλείας τὴν ἀνάπτυξιν ἐποιοῦντο, εἰ μὴ καὶ ἐλέγχειν ὑμᾶς σοφιζομένους ἦν τις ἐν ἡμῖν δεινότης καὶ δύναμις· ὥς περ οὖν καὶ πάνυ σὺν θεῷ δ' εἰπεῖν ἔνεστιν· ἢ καθάπερ ἐν τῷ καρὶ κινδυνεύοντας, οὐδὲν δεινὸν ἀμελεῖν ἀλλὰ συγχωρήσομεν ὑμῖν ἀναπτύσσειν, οὐκ ἐκ τῶν διαῤῥήδην κειμένων ὅ περ οἱ Πατέρες οὐκ ἐτόλμων ἐκεῖνοι· καὶ σοφιζομένων, μύσαντες τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, ἐπιτρέψομεν ὑμῖν ἀπάγειν τὰς ἡμετέρας ψυχάς· ἀλλ' ὥς περ οὐδεὶς ὑμῶν ἀπόδειξιν κομιεῖ, τοῦ τὸν σίδηρον εἶναι κρύσταλλον, οὕτως οὐδὲ τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορευόμενον δείξετε, ὃ κηρύξαντες ἐν τῷ συμβόλῳ κεχώρισθε. Εἰ δ' Αὐγουστῖνος που τοιοῦτον λέγει, ἀλλ' αὐτὸς ἡμῖν νομοθετεῖ, μὴ κήρυγμα τὴν ἐκείνου λέξιν ποιεῖσθαι, εἰ ταῖς κανονικαῖς προσαγομένη γραφαῖς ἀπάδουσα φαίνοιτο· ἢ καὶ τὸ τῆς κολάσεως τέλος κήρυγμα ποιησόμεθα διὰ τὴν τοῦ Νύσσης ἀξίαν οὕτω δοξάσαντος, ἀφέντες τῇ συνόδῳ προσέχειν, ἣ μετὰ τῶν ἄλλων Ὠριγένους δοξῶν καὶ ταύτην ἐκόλασε. Καὶ αὐτὸς δ' Αὐγουστῖνος λέγει που, τὴν τοῦ πρώτου ἀνθρώπου ψυχὴν πρὸ τοῦ σώματος δεδημιουργεῖσθαι· καὶ Ἱερώνυμος ἔμψυχα τὰ οὐράνια σώματα φρονῶν εὕρηται φανερῶς. Ἀλλ' οὐ δήπου τὰς κοινὰς ἀφέντες δόξας, τούτοις προάξομεν· ἀλλὰ σωζομένης τῆς τῶν πατέρων τιμῆς, τὰς ἰδιοῤῥύθμους αὐτῶν φευξόμεθα δόξας· καίτοι καὶ τὴν Αὐγουστίνου λέξιν ὑπὲρ ἡμῶν καὶ τῆς ἀληθείας οὖσαν εὑρήσομεν· καὶ δείξομεν ἐπειδὰν βουληθῆτε, ὡς εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ τῶν ῥημάτων εὐαγγελιζομένων ἐκείνων, καὶ Αὐγουστῖνος ἡμῖν συνέστηκεν ὁ σοφός. Καὶ συμβαίνουσαν τῇ ὁμολογίᾳ τῆς πίστεως τὴν διδασκαλίαν ἐν τοῖς συγγράμμασιν ἐσπούδασε προθεῖναι καλῶς. Οὐκοῦν οὐδ' ἐκ τῶν διδασκάλων ἀποδείξατε τὴν προσθήκην, εἰ καὶ συνεχωροῦμεν τοῦθ' ὑμῖν, ἕνα που καὶ δύο κομίζειν ταύτῃ συνηγοροῦντας. Εἰ γὰρ ἤρκει ποιεῖν οὕτω, τοὐναντίον ἂν ἡμεῖς ἑσμὸν ἐκομίσαμεν διδασκάλων, ὧν ἐστι καὶ μεῖζον ὁμολογουμένως ἀξίωμα, κατὰ τῆς ὑμετέρας περιφανῶς στρατευομένων προσθήκης. Ἀλλ' ἡμῖν οὐδ' ὅλως τούτου γε δεῖ. Οὔθ' ὑμῖν ποτε πρὸς τοὺς τοιούτους συνδρα-

μούμεθα λόγους, ἕως ἂν οὐκ ἐν ταῖς πτέρναις τὸν ἐγκέφαλον ἔχωμεν· ἀλλ' ἐκ τῶν θεμελίων τῆς πίστεως ἀπαιτήσομεν τὰς ἀποδείξεις κομίζειν· οὐ δεδιότες, μήπου κέηται λαθὸν ἡμᾶς τὸ καὶ ἐκ τοῦ Υἱοῦ· καίτοι γε ηὐξάμεθα ἂν μαθόντες που κείμενον, πρὸς τὴν μεθ' ὑμῶν εἰρημένην δικαίως ἐλθεῖν· ἐπεὶ τὸ μηδαμοῦ κείμενον, οὐ βούλεσθε σιωπῶντες, ἡμῖν μετὰ τοῦ δικαίου καὶ τῆς ἀμφοτέρων ἀσφαλείας ἑνοῦσθαι. Οὔτ' αὖ ὑφορώμενοι, μήποτε τὸ, "ἐκ τοῦ ἐμοῦ λήψεται," καὶ τὸ, Υἱοῦ Πνεῦμα τὸ Πνεῦμα εἰρῆσθαι καὶ τὰ τοιαῦτα βιάσησθε· οἱ γὰρ ἐξηγηταὶ τῶν λογίων εἴρξουσι ταύτην τὴν βίαν, πολὺ πιθανώτεροι τῆς ὑμετέρας ὄντες σοφίας· ὥς περ καὶ ἄλλοτε συνεστηκότες ἐμοὶ, τοὺς λόγους τῆς προσθήκης ἐν ταῖς δημοσίαις ἐκείναις διαλέξεσιν ἀπαιτοῦντι, τὸν αἰδέσιμον ἐπίσκοπον ἔδειξαν, πάντα μᾶλλον ἢ ἐκ τῶν λογίων ἐκείνων τῶν ἱερῶν ἀποδεικνύντα τὸ πρόβλημα· μηδὲ σὺ τοίνυν, ἄνθρωπε, νόμιζε, δυνήσασθαί ποτε Λατίνους τὴν προσθήκην ἀποδείξειν ἐκείνην, μήτε πιστεύειν οἰόμενος δόγματι πολλὰς ἔχοντι τὰς ἀποδείξεις ὡς ἔφησθα, ἐπὶ σαθρᾶς ἀνέχου βαίνειν ἐλπίδος· ἀλλὰ στάς ποτε καὶ αὐτὸς μεθ' ἡμῶν, τὸ Πνεῦμα τὸ ἅγιον ὁμολόγει, ὁμοούσιον μὲν εἶναι Πατρὶ καὶ Υἱῷ· ἐκ δὲ τοῦ Πατρὸς ἐκπορεύεσθαι μόνον, ἕως ἂν ἐν τοῖς θείοις ὁ λόγος οὗτος νοεῖται. Εἰ δὲ περὶ τῆς εἰς τὰ ἔξω προόδου, ἣν χρονικὴν καὶ ὑμεῖς ἀποστολὴν ὀνομάζετε, καὶ ἐξ ἀμφοῖν αὐτὸ προϊέναι· μηδ' ἀνέχου τὸν Υἱὸν τοῦ Θεοῦ κοινωνεῖν τινος τῶν τοῦ Πατρὸς, ὃ μὴ καὶ τῷ Πνεύματι πρόσεστι· μηδ' οἴου τὸν Υἱὸν τοῦ Θεοῦ τῆς τοῦ Πατρὸς χωρίζεσθαι φύσεως, εἰ τὸ γόνιμον αὐτῷ μὴ προσείη μηδόλως ἔν γε τοῖς θείοις· μηδὲ δέδιθι τὸ μὴ καὶ ἐκ τοῦ Υἱοῦ πιστεύειν ὑφεστάναι τὸ Πνεῦμα, μὴ καὶ δόξης τὸν Υἱὸν χωρίζειν ἀμφοῖν. Σύνεστι γὰρ τῷ Πατρὶ προβάλλοντι καὶ τῷ Πνεύματι προβαλλομένῳ παρὰ Πατρός· μᾶλλον δ' ἔνεστιν· ἀλλ' οὔτε τῷ Πνεύματι συμπροβάλλεται· οὔτε τῷ Πατρὶ συμπροβάλλων ἐστίν· ὥς περ ἄρα καὶ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς μόνον γεννᾶσθαι λεγόμενος, οὐκ εἴργει τὸ Πνεῦμα τῆς ἀμφοῖν κοινωνίας· σύνεστι γὰρ καὶ ἀμφοῖν, οὐχ ὡς συγγενῶν τὸν Υἱὸν ἢ συγγενόμενον ἐκ Πατρός· ἀλλ' ὡς ἐν τῇ ἰδιότητι τῆς φύσεως ἁπάσῃ συνόν. Εἰ καὶ ἐν

τῇ ἰδιότητι τῶν προσώπων καθάπαξ κεχώρισται· μηδέ σε θραττέτω τὸ τὸν Υἱὸν μεσιτεύειν, ὥς τε μηδὲ τῇ περὶ τοῦ Πνεύματος ὁμοιότητι συγχωρεῖν. Οὐ γὰρ οὕτω μεσιτεύσει ὥς τ' εἴργειν ὁμοῦ καὶ συνάπτειν, ὡς ἐπὶ πάντων ἔχει τῶν μέσων. Ἐντεῦθεν γάρ τινες πρωτεῖα καὶ δευτερεῖα, καὶ πρώτας γονιμότητας καὶ δευτέρας δυσσεβῶς ἐφαντάσθησαν· τὰς Βαλεντίου καὶ Πτολεμαίου καὶ αὖθις Εὐνομίου φέροντες εἰς μέσον αἱρέσεις· ἐξ ὧν καὶ τὸν Υἱὸν ἀνιστᾷν προάγονται τοῦ Πνεύματος αἴτιον· καὶ μᾶλλον αἴτιον κᾂν μὴ βούλωνται, εἴ περ ἀληθῶς ἐστι μέσος, ὃ βούλονται. Τῶν τοιούτων τοίνυν ἀφίστασο φλυαριῶν· καὶ τὸ Πνεῦμα πίστευε ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι· ἐξ οὗ καὶ ὁ Υἱὸς ἐξῆλθε καὶ τὸ Πνεῦμα ἐκπορεύεται αὐτός φησι περὶ ἀμφοῖν ὁ Υἱός· καὶ μόνον τὸν Πατέρα ἀρχὴν καὶ αἴτιον ἐν τοῖς θείοις τε καὶ τῶν θείων ὁμολόγει καὶ φρόνει, τῷ τοῦ Θεοῦ λόγῳ πειθόμενος. Οὐχ ὅτι πρῶτον αἴτιον ὁ Πατὴρ τοῦ Πνεύματος· καὶ ᾖ πρῶτον, μόνον· ἁπλῶς δὲ, οὐ μόνον· καὶ δεύτερον γὰρ φατὲ ὁ Υἱός· καὶ αὖθις ἓν αἴτιον ἄμφω τὸ πρῶτόν τε καὶ τὸ δεύτερον. Ταῦτα γὰρ πρὸς τὸ βλασφήμῳ, καὶ πολὺ τὸ παιδαριῶδες ἔχει καὶ μυθικόν· οἷόν ἐστι καὶ τὸ ἐκ δυοῖν ἑνὸς εἶναι· ὅ περ εἰς Ἀλέξανδρον ἀναφέρεται. Ἐπεί περ φορτικὸν κᾀκεῖνος ᾠήθη, θάτερον ὁρίσασθαι μόνον· ἀπαιτοῦντος τοῦ λόγου θάτερον ἐκ διαιρέσεως· δεῖν γάρ φαμεν ἢ ὡς ἐξ ἑνὸς Θεοῦ, ἢ ὡς ἐκ δυοῖν προσώπων προϊέναι τοῖς οὕτω λέγουσιν· ὧν ἑκάτερον δείκνυμεν ἀδύνατον ὄν. Οὐχ οὕτω τοίνυν ἐκεῖνο λέγω· ἀλλ' ὅτι τὸ Πνεῦμα τὸ θεῖον ἐν τῇ ἀπαριθμήσει τρίτον λεγόμενον, καὶ μετὰ τὸν Υἱὸν, διὰ τὴν ἀναγκαίαν τῶν ὀνομάτων ἀκολουθίαν, οὐδὲν ἧττόν ἐστιν ἀμέσως ἐκ τοῦ Πατρός· κᾀκεῖθεν ὑφέστηκεν· ἀλλ' οὐκ ἔχει τὴν ὕπαρξιν ἐκ Πατρὸς δι' Υἱοῦ, ἢ ἐκ Πατρὸς καὶ Υἱοῦ. Τῆς ΔΙΑ σημαινούσης ὡς ὁ μάταιος εἴρηκε πατριάρχης ἐκεῖνος αἰτίαν· ὅ περ εἰπὼν, οὐδὲν μελήσας ἀπέψυξεν· οὐ γὰρ ἔδει ζῆν αὐτὸν, οὕτω κάλλιστα περί τε προθέσεως καὶ αἰτίας φιλοσοφήσαντα· καὶ τριῶν ἐπιστημῶν ἀνειληφότα τὸ κράτος· γραμματικῆς τε δηλαδὴ καὶ φιλοσοφίας, καὶ τῆς ἐσχάτης ταύτης θεολογίας· περὶ ὧν οὐδ' ἐν ὀνείροις ἤλπισε τολμήσειν τι φάναι. Τίς ἀπαριθμεῖν σοι δυνήσεται τὰς τῶν διδασκάλων

ἀποφάσεις, ἃς προσεχῶς λέγουσι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός; Τίς ἐκείνας καταλέγειν ἰσχύσει; αἵ φασιν οὐκ ἔχειν τὴν ὕπαρξιν ἐξ Υἱοῦ. Τουτέστιν ἐκ Πατρὸς δι' Υἱοῦ, ὡς ὑμεῖς βούλεσθε τὸν λόγον τοῦτον νοεῖσθαι. Τίς ἐκείνας, αἳ τὴν αἰτίαν καὶ τὴν ἀρχὴν ἐκ τοῦ Υἱοῦ ἀπαρνοῦνται; Τίς ἐκείνας, αἳ ταύτην νέμουσιν ἀποκληρωτικῶς τῷ Πατρί; Τίς ἐν τῷ δι' Υἱοῦ, μὴ δύνασθαι σημαίνειν ἄλλο τι τοὺς φάσκοντας, εἰ μὴ τὴν αἰτίαν λέγων καὶ τὴν ἀρχὴν, οὐκ ἀγνοῶν δειχθήσεται τὸν Ἕλληνα λόγον; Τίς ἐν τῷ δι' Υἱοῦ τὸ Πνεῦμα λέγεσθαι ἐκ Πατρὸς, τὸν Υἱὸν δηλοῦσθαι τοῦ Πνεύματος αἴτιον λέγων ἢ ἀρχὴν καθ' ὑμᾶς; οὐδὲν γὰρ διαφέρει, οὐ καὶ τοὺς εἰπόντας διδασκάλους συκοφαντήσει, καὶ μυρίοις ἀτόποις περιπεσεῖται. Ἀλλὰ σύ γε ὅ περ ἔφθην εἰπὼν εἰ βούλοιο σώζεσθαι, ἐπειδὰν καὶ φῇς καὶ νοήσῃς ἐκ Πατρὸς τὸν Υἱὸν γεννᾶσθαι, κατὰ τὴν παραδεδομένην τῶν ὀνομάτων ἐκείνων ἡμῖν σύνταξιν, διὰ τοῦ Υἱοῦ μὲν καὶ μετὰ τὸν Υἱὸν ἐρεῖς δήπου καὶ νοήσεις τὸ Πνεῦμα. Τοῦτο μέντοι γε, μὴ ὡς ἐν αἰσθητῇ πως διαστάσει προσώπων ποιησάτω σε, προσεχῶς μὲν πρὸς τὸν Υἱὸν ἀναφέρειν αὐτὸ κατὰ τὸν τῆς αἰτίας λόγον καὶ τῆς ἀρχῆς· ᾗ δὲ Υἱός ἐστιν ἐκ Πατρὸς, ταύτῃ καὶ ἐκ Πατρὸς τὸ Πνεῦμα προάγειν. Ὅ περ οἱ τὸν νοῦν ἀμβλύτεροι δυσσεβοῦσιν· ὥς περ τὸ μεσιτεύειν τὸν Υἱὸν νοοῦντες διείργοντα· ἀλλ' ἐκ τοῦ Πατρὸς αὐτὸ πίστευε μηδὲν προστιθεὶς ὑφίστασθαι, ὅθεν καὶ ὁ Υἱὸς ἑτέρῳ τρόπῳ τῷ τῆς γεννήσεως τὴν ὕπαρξιν εἴληφε. Δι' αὐτὸ γὰρ καὶ πολλαχοῦ φασιν οἱ διδάσκαλοι, Υἱὸν ἐκ Πατρός· καὶ Πνεῦμα δι' Υἱοῦ ἐκ Πατρός· ἢ καὶ δι' Υἱοῦ ἐν Πατρί· οὐ καὶ τὸν Υἱὸν αἴτιον τοῦ Πνεύματος δεικνῦναι βουλόμενοι. Τοὐναντίον μὲν οὖν, ὅτι μόνος ὁ Πατήρ ἐστι τοῦ Πνεύματος αἴτιος· μὴ γὰρ εἴργοντός, φασι, μηδὲ προσισταμένου, τοῦ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς μονογενῶς προαχθῆναι καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός ἐστι προσεχῶς. Οὔτε γὰρ τῇ φύσει διείρξει, τό γε ἐν τῇ αὐτῇ τῆς φύσεως ἑνότητι ὂν, ὡς ὁ δάκτυλος ἀπήρτηται τῆς χειρὸς εἶπέ τις τῶν μακαρίων, ὡς ἐνῆν τὴν ἀσώματον ἐκείνην συνάφειαν σωματικῶς ὑπογράψαι, οὔτε τῇ ἰδιότητι τοῦ προσώπου. Τὸ γὰρ μονογενὲς αὐτῷ τηρεῖται καὶ τῇδε τοῦ Πνεύματος ἕτερον

τρόπον προαγομένου προσεχῶς ἐκ Πατρός. Εἰ γὰρ ἐκεῖνον τὸν τῆς γεννήσεως, τότ' οὐκέτ' ἂν ἦν μονογενὴς ὁ Υἱός· ἄλλης ὑποστάσεως προσεχῶς ἐκ τῆς αὐτῆς ἀρχῆς καὶ τρόπον τὸν αὐτὸν προηγμένης. Οὐ τοίνυν ταῖς ὑπάρξεσι τῶν προσώπων ὁ Υἱὸς μεσιτεύει· ὡς οὐκ ἂν οἷόν τε εἶναι τὸ Πνεῦμα λαβεῖν τὴν ὑπόστασιν, εἰ μὴ πρῶτον ὁ Υἱὸς προαχθείη. Ἀλλ' ἡμεῖς τῇ τοῦ Υἱοῦ μεσιτείᾳ τὰς ὑπάρξεις τῶν προσώπων γνωρίζομεν. Ὅτι μονογενὴς μέν ἐστιν Υἱὸς αὐτὸς τοῦ Πατρός· τὸ δὲ Πνεῦμα, καὶ δι' αὐτοῦ καὶ μετ' αὐτὸν γνωριζόμενον οὐδὲν ἧττον καὶ αὐτὸ μοναδικῶς ἐκ Πατρὸς, ἅμα ἐκ τῆς γονίμου θεότητος συνανίσχοντα· καὶ τὴν αὐτὴν οὐσίαν ἐκεῖθεν λαμβάνοντα· καὶ τρόπον, τἄλλα μὲν ἴσον· εἴδει δ' οὐ τὸν αὐτόν. Καὶ ταύτην μόνην ἴσθι τάξιν ἐν τοῖς θείοις, τὴν ἀμιγῆ τῶν προσωπικῶν ἰδιοτήτων διάκρισιν· μὴ τὸ πρῶτον ἐκεῖ καὶ τὸ δεύτερον καὶ τὸ τρίτον, καὶ τὰς ἐντεῦθεν ἑπομένας ὑφέσεις· ἃ τοὺς περὶ Εὐνόμιον συνηρπάκεισαν, ἐκ τῆς Πλατωνικῆς τῶν θεῶν εὐτάκτως κινηθέντας σειρᾶς· ἐξ ἧς τὸν μὲν Υἱὸν ὑποδεέστερον τοῦ Πατρός· τοῦ Υἱοῦ δὲ χεῖρον αὖθις ἐφλυάρουν τὸ Πνεῦμα· ὡς ἐκεῖνος τοὺς παῖδας τοῦ Θεοῦ καὶ Θεοὺς, ἄλλον μετ' ἄλλον ὑπέταττεν, ἑνὶ τῷ πρώτῳ καὶ κυριωτάτῳ τῇ φύσει[1]. Τούτοις γὰρ οὐδὲ προσέχειν σε χρή· ἀλλ' ὅ περ εἶπον ἐκ τοῦ Θεοῦ τὸν Υἱὸν αὐτοῦ καὶ τὸ Πνεῦμα φρονεῖν, συνανίσχοντά τε καὶ συμπροαγόμενα, ὡς ἀκτῖνα δίδυμον ἐξ Ἡλίου, ἢ ἄνθη ἐκ κλάδου, ἢ κλάδους ἐκ ῥίζης, ἢ ἐκ στήθους βραχίονας, ἢ δίῤῥυτον ἐκ τῆς αὐτῆς πηγῆς ποταμὸν, καὶ οἷς ἄλλοις τὸ συμπροϊέναι τὰς ὑποστάσεις ἐκείνας τοῦ θείου καὶ συνεῖναι τῇ ἀρχῇ προσεχῶς, ἱεροὶ παρεδειγμάτισαν ἄνδρες. Τὸ δ' αἴτιον καὶ αἰτιατοαίτιον λέγειν ἐκεῖ καὶ αἰτιατὸν, καὶ τοιαύτας τινὰς ἐμβάθμους ἐπιπλοκὰς καὶ ἰδιοτήτων καὶ προσώπων συναίρειν, καὶ προηγήσεις γονιμοτήτων καὶ ὑστερότητας, ἅμματα ἐξ ἄμμου πλέκειν ἐστί· καὶ τοσούτῳ χεῖρον, ὅσῳ καὶ ὑπὸ τῶν διδασκάλων ταυτὶ περιφανῶς ἀπηγόρευται· καὶ τῶν Εὐνομίου καὶ Μακεδονίου προτάσεων, ἐξ ὧν ἐκεῖνοι συνῆγον τὰ ψεύδη, σχεδὸν οὐδὲν διαφέρει. Εἰ καὶ μηχαναῖς τισι τῆς

[1] διττῶς ἔχει ἡ ἀνάγνωσις αὕτη οἷον τὴν φύσιν, καὶ, τῇ φύσει.

χαμερποῦς σοφίας καὶ δούλης τὸ ψεῦδος ἐπισκιάζηται· ἀρνεῖσθαι δὲ τὰς αἱρέσεις, οὐ χρὴ πονεῖν ὑμᾶς, ἄνθρωπε, ἕως ἂν τὴν ταύταις συγγενῆ διαφυλάττετε θέσιν. Καὶ τοὺς πλείστους γὰρ τῶν αἱρετικῶν, οὐχ ὡς αὐτόθεν δυσσεβοῦντας ἐκόλαζον οἱ πατέρες· ἀλλ' ὡς δι' ὧν ἐτίθουν αὐτοὶ, τοῖς δυσσεβέσι δόγμασιν αὖθις διδόντας πάροδον· καὶ ἠρνοῦντο μὲν ἐκεῖνα φρονεῖν καὶ τὴν ἐκείνων αὖθις κάθοδον μηχανᾶσθαι· πειθόντων δὲ τὴν θέσιν ἀρνεῖσθαι ᾗ περ ἐξ ὑγιοῦς ἀκολουθίας ἐκεῖνα ἑώρων οἱ πατέρες συνέπεσθαι, ἐπεί περ οὐκ ἐβούλοντο πείθεσθαι, τοῦ τῶν εὐσεβούντων ἐξηλαύνοντο καταλόγου. 'Αλλ' ὃ καὶ πρότερον εἴρηταί μοι πάνυ καλῶς, οὐδέποθ' ὑμῖν εἰς τοιούτους καταστησόμεθα λόγους, καί τοι πάνυ δυνάμενος· ἀλλ' ἐκ τῶν δέλτων τῶν ἱερῶν διαῤῥήδην ἀπαιτήσομεν ἀεὶ δεικνῦναι τὸ δόγμα· ὥς περ αἱ σύμπασαι περὶ τοῦ Πνεύματος λέξεις ἐν τῷ συμβόλῳ ἐκ τῶν ἱερῶν βιβλίων ἐλήφθησαν.

Περὶ μὲν οὖν τῆς 'Ιταλικῆς ταύτης συνόδου, καὶ τοῦ μηδὲν ἀνάγκης μηδ' ὁθενοῦν προσεῖναι τῷ δόγματι, εἰ μὴ καὶ πολλῶν ἐστιν ἀτόπων ἀρχὴ, τοσαῦτα εἰρήσθω. Περὶ δέ γε τῶν ἄλλων, οὐκ ἐν τάξει τε καὶ χωρὶς, ἀλλ' ὡς ἂν ἐπέλθοι τῇ τοῦ λόγου χρείᾳ τὴν ἀπόκρισιν δώσω σοι. Τῆς μὲν οὖν ἀληθοῦς ἑνώσεως, οὐκ ἄν ποτε φαίην ἔγωγε πολέμιος εἶναι· ἣν καὶ γεγονέναι ταύτην καὶ γίνεσθαι συνεργὸς μὲν οὖν ἁπάσῃ μηχανῇ καὶ δυνάμει· τὴν δ' ὀλέθριον ἕνωσιν ταύτην, ἧς ἀσθενὲς σπέρματι καὶ ζώπυρον λείπεται, οὐχ ὁ διαῤῥήξας ἐγὼ, ἵνα τις ἐμοὶ καὶ δεινῶν τινων αἰτίαν ἐπιγράφειν τολμώη· τὰ μὲν γὰρ δι' ἄλλας ἴσως αἰτίας ὅ περ ἀπείη συμβήσεται· εἰ δὲ καὶ ταύτης ἕνεκα γίνοιτο ῥηγνυμένης, οὐκ ἄν ποτε βουλοίμην ἑκὼν οὐδ' ὑπὸ τῶν τυχόντων κλῆσιν τινά μοι προσενεχθῆναι τοιαύτην. Εἰδὼς οὐδαμόθεν ἐμοὶ ταύτην προσήκουσαν· οὔτε γὰρ συσκευαζομένῃ παρῆν τὴν ἀρχὴν, μᾶλλον δὲ συσκευαζομένην ἰδὼν ἀπηλλάγην πρὶν ἐξεργασθείη τὸ δρᾶμα, οὔτε νῦν ἐστιν, ἵνα τις καὶ τέμνειν ταύτην δοκοίη. 'Αλλ' ᾤχετο πάλαι, τοῦ Θεοῦ καὶ τῆς τῶν εὐσεβούντων ἐνστάσεως, εὐαριθμήτων ἀνθρώπων συγκατάθεσιν ἄλογον λύσαντος, καὶ ψῆφον τῶν τῷ ψεύδει πρώην κατειλημμένων· κἂν τινες ἀνεγείρειν βουληθεῖεν αὐτὴν, εἰ καὶ αὖθις τῷ Θεῷ τῆς

Σημ. ὅρα τί φησιν περὶ τῆς ἐν Φλωρεντίᾳ συνόδου.

ὑμετέρας σωτηρίας μελήσει, πολλὰ κάμνοντες οὐ δυνήσονται. Κᾂν ποτε δυνηθῶσι, πάντων ἑτοίμως πρὸς τὸ ψεῦδος συνηρπασμένων, ἄτελοι παθεῖν τὸ δεινὸν ὄντες πείσονται. Ἀνθ' ὧν γάρ φησιν οὐκ ἠγάπησαν τὴν ἐπίγνωσιν τῆς ἀληθείας εἰς τὸ σωθῆναι αὐτοὺς, πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει· ἢ, ποῦ νῦν ἐστιν ἡ ἕνωσις αὕτη ἣν ἐγὼ τέμνων βλαβερὸς τοῖς πράγμασι γίνομαι; οὐχὶ πάντες οἱ τῆς ἐκκλησίας υἱοὶ πανταχοῦ, τῶν ἀποστατῶν τούτων ἀπεῤῥωγότες πατριαρχῶν καὶ τῆς αὐτῶν κοινωνίας, τοῦ πατρίου δόγματος ἔχονται; αὐτῶν πρώτων τῶν κατακρινάντων αὐτὸ μεταβαλομένων, καὶ πρὶν ἐκεῖθεν ἐλθεῖν; οὐχ ὁ κράτιστος ἡμῶν βασιλεὺς καὶ ὁ μέγας δοὺξ, καὶ πάντες πλὴν ὀλίγων ἐν βασιλείοις, τοῦ πατρίου δόγματος ἰσχυρίζονται εἶναι· καὶ τὴν ἐν τῷ συμβόλῳ προσθήκην ἀπώμοτον ἥγηνται, καθάπερ ἄρα καὶ τοῖς ἡμῶν πατράσι πάλαι δοκοῦν, τῆς Λατίνων εὖ ποιοῦντες κοινωνίας ἀπέσχοντο; οὐχὶ καὶ οἱ τὴν πόλιν ταύτην οἰκοῦντες εὐσεβοῦσιν οἱ πάντες, πλὴν ὀλίγων τινῶν, τῶν τοῖς παπικοῖς καὶ πάλιν ἀνασχομένων τραφῆναι κακῶς χρήμασι· χεῖρον ἁμαρτανόντων τῶν συγχωρησάντων ἐκείνοις τοῦτο παθεῖν; μείζονα γὰρ ἔχει, φησὶν, ἁμαρτίαν ὁ παραδιδούς με σοί· ὁ δὲ περίβλεπτος μέγας δοὺξ, καὶ φανερῶς ὑπὲρ ἡμῶν καὶ τοῦ πατρίου δόγματος ἠγώνιστο τὴν ἀρχήν· ἴσασι πάντες τὴν εὐσέβειαν αὐτοῦ καὶ τὸν ζῆλον· καὶ ὡς ὑπὲρ πάντας σχεδὸν ἀντέστη τῇ καινοτομίᾳ τοῦ δόγματος, καὶ ταῖς ἐφ' ὕβρει τῆς ἀληθείας καὶ τῶν πατέρων ἐκεῖ δεδομέναις τοῦ ψεύδους ὑπογραφαῖς· εἰ δὲ καὶ νῦν τοιούτων φαινομένων τούτων ἡμῖν, καὶ εἴ τι μεῖζον ἐπαγγελλομένων τοῖς προσιοῦσιν ἑκάστοτε, ἀλλ' ὅτι περὶ αὐτῶν ὑμεῖς προσδοκᾶτε, αἴνιγμα μὲν τοῦτ' ἂν εἴη· δείξει δὲ ὁ χρόνος, ὁποτέροις λόγῳ χαρίζονται. Πῶς ἂν οὖν τις ἀναιρείη τό γε μὴ ὂν, ἢ τέμνοιτο ῥίζαις αὐταῖς πρὸ χρόνων ἀνεσπασμένον; ὥς τ' οὐδὲ τὴν ἐκ τῆς ἀληθείας ἐκείνην διαίρεσιν ὁ τέμνων ἐγώ· ἀλλὰ Θεός ἐστιν ὁ τεμὼν, καὶ τῶν ἡμετέρων προγόνων τὰ αἵματα, ἃ βοᾷ πρὸς τὸν Θεὸν ὁσημέραι περὶ ἡμῶν, κατὰ τῆς Λατινικῆς καινοτομίας χυθέντα κἀνταῦθα καὶ πολλαχοῦ. Εἰ δέ τινες εὐχόμενοι ταύτην ἀναβιώσκεσθαι, καὶ πράτ-

Σημ. ὅτι οἱ ὑπογράψαντες τότε συναρπαγέντες, πάντες μετενόησαν.

Σημ. ὅτι πολλοὶ τῶν ὀρθοδόξων μέχρις αἵματος ὑπὲρ τῆς ἀληθείας ἠγωνίσαντο.

τοντες, εἰ καὶ πειρῶνται λανθάνειν, οἴδασιν ἐμὲ σὺν Θεῷ τὰς κεφαλὰς αὐτῆς ἐπικαύσοντα, καὶ οὐκ ἐάσοντα τὸ θηρίον ἰσχὺν λαμβάνειν, ἐπὶ καταστροφῇ τῶν ἀνθρωπίνων ψυχῶν, μαντεύονται μὲν ἴσως καλῶς· ἀλλ' οὐδέποτε τομεὺς τῆς ἑνώσεως καὶ τοιαύτης οὔσης ὀνομαζοίμην ἂν δικαίως ἔγωγε. Οὐ γὰρ μόνος, ἀλλὰ μετὰ μυρίων ἄλλων, ἀντιστήσομαι τῷ κακῷ· καὶ πάντες τοῦ προσρήματος κοινωνήσουσι, πλὴν ὀλίγων, οὓς καὶ πάλιν γοητεύσουσι τὰ πρόσκαιρα· οὐ γὰρ ἀφέντες οἱ νοῦν ἔχοντες λόγον καὶ σοφίαν καὶ ἀρετὴν, σὺν θεῷ δ' εἰπεῖν ἔστω, αἳ (ἴσως οἳ) περὶ τῶν τοιούτων δύνανται κρίνειν, βαναύσοις προσθήσονται καὶ τοῖς ἑτοίμως ἔχουσι φιλεῖν τὸν Χριστὸν ὑπὸ νύκτα, τὸ δεινὸν ἐκεῖνο τῆς προδοσίας σύσσημον· ἀντὶ τῶν ἀργυρίων καὶ τῶν τιμῶν, οἷς κακοὶ κακῶς συναπόλλυνται· ὡς ἐκ τῶν πραγμάτων γέγονε δῆλον τοῖς σωφρονοῦσιν· οὐδὲ τοὺς ὑπὲρ τῆς ἀληθείας πάντα προεμένους ἀφέντες, ἢ τοῖς ἐκ ταυτομάτου θρυλλοῦσιν ἅπαντα εἶναι, ἢ τοῖς τὴν Ἑλληνικὴν ἀνακομίζουσι πλάνην, καὶ τοιούτοις τισὶ τὴν ἑαυτῶν σωτηρίαν πιστεύουσι τέρασι· μᾶλλον δὲ, ἐμοῦ μὲν, καὶ τῶν συναγωνιζομένων ἔργοις καὶ λόγοις, εἰσὶ δ' ἐνταῦθα πολλοὶ, καὶ τῶν ἐναντιοῦσθαί ποτε τολμησόντων, ὥς τε μηδὲ παραλαβεῖν ἱκανώτεροι· καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλ' ἐν Πελοποννήσῳ καὶ Ἄθῳ τῷ ἱερῷ· κἂν ταῖς νήσοις, καὶ ἐν Μακεδονίᾳ καὶ πανταχοῦ, οὐ τοσοῦτος ἔσται λόγος τοῖς εὐσεβέσιν. Ἀλλὰ τοὺς ἱερωτάτους ἡμῶν ἐκείνους πατέρας προστήσονται· οἳ πεντακοσίοις σχεδὸν ἔτεσι, τοὺς τὴν προσθήκην τετολμηκότας, μετὰ τῆς δόξης αὐτῶν, λόγοις τε καὶ συγγράμμασι καὶ αἱμάτων ἔδειξαν χύσεσιν οἵους δείκνυσθαι χρή.

Ἐκείνοις τοίνυν τοῖς πατράσι προστεθειμένους οὐδεὶς ἀποκινῆσαι δυνήσεται· οἳ καὶ νῦν ἐν τοῖς βιβλίοις λαλοῦντες, τοὺς μητραλοίας ἐλέγχουσι· καὶ ὧν τῆς διδασκαλίας, ὁ μακάριος ἐκεῖνος Μάρκος, καὶ μόνος τῶν ἐφ' ἡμῶν ἀρχιερεὺς ἀληθὴς, καὶ μετ' ἐκεῖνον ἡμεῖς, κἀκείνου συμπροτρεψαμένου, ὑπέρδικοι γεγόναμεν ὡς ἐχρῆν. Εἰδότες καλῶς, ὁπόσον αὐτῆς τε καὶ τῶν ὑπερορίων σοφισμάτων τὸ μέσον. Οὔτε τοίνυν τῶν σοφωτάτων ἐκείνων πατέρων ἀποστήσει τις τοὺς γνησίους τῆς ἐκκλησίας υἱοὺς κἂν πάντα ποιοίη, οὔτε τοῖς ἀπὸ Ῥώμης ἐλπιζομένοις

Σημ. περὶ τοῦ μακαρίου πατρὸς ἡμῶν τοῦ Ἐφέσου, κύρ[ιον] Μάρκου ἐκείνου.

ὑπαχθήσονται γράμμασιν, ἃ θεραπείας καλοῦσιν, οἱ νοσοῦντες ὡς ἀληθῶς, ἐκ τῶν τὴν ὁμοίαν νόσον προπεπονθότων· οὐκ οἶδ' ὁπόθεν τῆς ἀπαιδεύτου ταύτης φωνῆς ἐπεισκωμασάσης καὶ πονηρᾶς λέξεως· μόλις ἐθνογενεῖς τινες καὶ τοκογλύφοι συναρπασθήσονται, καὶ βοῶναι καὶ σιτοκάπηλοι καὶ σκαπανεῖς· καὶ ὧν Θεὸς ἡ κοιλία κατὰ τὸ γεγραμμένον· τῶν δὲ νοῦν ἐχόντων καὶ βεβαίως πιστευόντων οὐδείς. Τί γὰρ πράττων ὁ Πάπας εὐσεβήσει τε αὐτὸς, καὶ τὴν οἰκουμένην δικαίως καὶ σὺν εὐσεβείᾳ πᾶσαν ἑνώσει; οὐδεὶς ἀγνοεῖ, μὴ ἐπὶ κακῷ τῆς ἑαυτοῦ ψυχῆς προσποιούμενος. Ἕως δ' ἂν ἐκεῖνος ἀλλότριος ᾖ, οἱ τῷ Χριστῷ πιστεύοντες ἀληθῶς, καὶ τοὺς ἐκείνου τρέμοντες νόμους, φεύξονται ἀπ' αὐτοῦ· οὐ γὰρ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνὴν τά γε ἀληθινὰ Χριστοῦ πρόβατα· οὔτ' εἰδέναι βούλονται προσποιεῖσθαι· κᾂν τοῦτον ὑπερβαίνοι τὸν νόμον, ἄλλως τε καὶ φύσει δίκαιον ὄντα, ἑτέρας αὐλῆς εἰσι πρόβατα μᾶλλον. Οὐδενὶ τοίνυν τρόπῳ, τομεὺς ἑνώσεώς τινος ὤν, οὐδ' ἂν βουλοίμην οὕτω καλεῖσθαι· εἴ γε τῇ τομῇ τῆς ἑνώσεως, ἣν εἰκῇ τοῖς εὐσεβεστέροις ἐπιγράφουσιν ἔνιοι, ὧν ὑποπτεύομεν ἐκ τῶν πολεμίων δεινῶν, συνάπτειν μέλλοιεν κακῶς τὴν αἰτίαν. Ἀλλ' οὐδ' εἴ τις ἐθέλοι τὴν κακὴν ἕνωσιν ἐξωστρακισμένην αὖθις κατάγειν, συμπράξομαι. Ἀντιστήσομαι μὲν οὖν μέχρι θανάτου, εἰ καὶ δέοι με τὸν τοῦ Δεσπότου φέρειν σταυρόν. Λόγον δὲ Λατίνοις ὑπέχειν, καὶ λόγον παρ' αὐτῶν ἀπαιτεῖν, ὡς ἂν ἐκείνων μὴ βουλομένων πράττειν τὸ δίκαιον, οὐ γὰρ βουλήσονται δήπου, εὐλόγως ἡμεῖς ἐπὶ τῆς οἰκείας μένωμεν ἀσφαλείας· ἐκείνων καὶ Θεῷ καὶ ἀνθρώποις τοῖς νοῦν ἔχουσιν αἰτίων τοῦ σχίσματος ὡς καὶ τὴν ἀρχὴν ἐγένοντο καὶ νῦν δεικνυμένων, οὐ δίκαιον ὀκνεῖν ἡμᾶς οὔτ' ὀκνήσομεν. Ἀλλὰ καὶ ταῦτα χρὴ μετὰ ποιμένων πράττειν ἀληθινῶν καὶ τῆς μητρὸς ἡμῶν τὴν ἐλευθερίαν καὶ τὴν ἰσχὺν ἀπειληφυίας ἐκείνην. Καὶ πάντα κοινῇ τῶν τὴν πόλιν ταύτην οἰκούντων τῆς ἡμετέρας ἐκκλησίας υἱῶν, κοινὸν ἀγῶνα φανερῶς τὸν ὑπὲρ τῆς ἀληθείας ἀνῃρημένων· καὶ μηδενὸς τῶν ἀντιδοξούντων ἐκκλησιαστικὴν ἔχοντος δύναμιν· μηδὲ τῆς μητρὸς τὴν χάριν ἀνερυθριάστως βιαζομένου· ἀλλ' ἢ μεταβαλλομένου, ἢ τοῖς Λατίνοις συνθύοντος· βοήθειαν δέ γε τὴν ἐκ

Λατίνων, ἐκ τῶν παρεληλυθότων χρόνων ἴσμεν καλῶς, σκιᾶς οὐδὲν διαφέρουσαν. Ἂν δὲ καὶ μικρόν τι προσβοηθήσειεν ὁ Πάπας, ἀλλ' ὥς περ ἅπαξ τοῖς χρυσίνοις ἐκείνοις, τὰς ἡμῶν συνθήκας ὠνήσατο. Εἶτα ἐν ταῖς ἔκτοτε συμφοραῖς ἡμῶν βαθὺν ὕπνωττεν ὕπνον· οὕτω καὶ νῦν βοῶσιν ἡμῖν, ὡς ἄρα δὶς πραθῆναι βουλόμεθα, ἐκ τῶν ψιχίων τῶν ἐκ τῆς αὐτοῦ πιπτόντων τραπέζης, πέμψει τι λίαν ἠναγκασμένος. Κἀπειδὰν ἡμᾶς ὠνήσηται δὶς, τῆς μὲν βοηθείας ἐκείνης οὐδὲν ὄφελος ἔσται, μὴ κατὰ καιρὸν ἀφιγμένης· αὐτοῦ δὲ καὶ πάλιν ὁμοίως ἀφροντιστοῦντος, οὐ γὰρ καὶ τρὶς ἡμᾶς ὠνεῖσθαι βουλήσεται, ἀλλ' οὐ βούλομαι λέγειν ὅ περ ἀπέσχομαι. Καὶ τὸν Θεὸν οὐδεὶς τολμήσει τότε γράψασθαι δίκαιος ὤν, καὶ τοῖς ἐκείνου νόμοις γνησίως πιστεύων· ἀκολούθως οἷς ἔθετο νόμοις, καὶ τὴν ἡμετέραν ἀπιστίαν κρίνοντος δήπου. Τὸ δὲ τοὺς τῆς συνάξεως πάντας πρὸς τὸν Λατινισμὸν ἑτοίμους εἶναι ῥέπειν εὐθὺς, συκοφαντία σαφής ἐστιν, οἷα ἐνταῦθα πολλὰ πλάττεται, τῆς οὐρανίου δίκης τῶν ἀνθρώπων ἀμελησάντων. Ἕνα μέντοι γε καὶ δεύτερον πρὸς τούτῳ καὶ τρίτον τοιούτους εἶναι, οὐδὲν ἀπεικός ἐστιν· ἅτε συνήθεις τῷ τολμήματι γεγονότας· χαλεπὸν γάρ, φησιν ἡ παροιμία, μαθοῦσα κύων σκυτοτραγεῖν. Ἀλλ' ἔμοιγε καὶ τούτου δοκεῖ τὸ πλέον ἀπίθανον. Τίνι γὰρ καὶ προπίνουσι τὴν πιστιν ὡς φῄς, τοῦ μεγίστου βασιλέως καὶ τῆς συγκλήτου πάσης σχεδὸν, τὴν Λατινικὴν ἀναινομένων προσθήκην· ὡς οἱ πατέρες ταύτην αὐτῶν ἀπώμοτον ἥγηντο· ἣν ὁ καλὸς ἐκεῖνος ἐκύρωσεν ὅρος. Καὶ μηδ' ἂν εἴ τι γένοιτο φασκόντων λατινίσειν ποτὲ, ἄριστα λεγόντων καὶ φρονιμότατα. Οὐ γὰρ δὴ πρύμναν κρουσάμενοι μεταβαλοῦσιν ἐξαίφνης· οὔτε λήσουσι, τὴν μεταβολήν ποτε χρωννύναι βουλόμενοι, Θεόν τε καὶ τοὺς ἐκ γειτόνων ἡμᾶς, ὡς ἡ δημώδης παροιμία φησίν.

Ὁ μὲν Λατῖνος τούτων ἀκούσας, ἡσθῆναί τε ἔδοξε καί τοι Λατῖνος ὤν, τοσαύτη γὰρ τῆς ἀληθείας ἡ δύναμις. "Καὶ δεῖ, φησι, τοὺς πολίτας, πάτερ, τοὺς σοὺς, χάριν σοι μεγίστην ἔχειν, καὶ ὧν λέγεις καὶ ὧν πράττεις, ὑπὲρ τῆς παρ' αὐτοῖς κρατησάσης ἐλπίδος τῆς σωτηρίας διὰ τῆς πίστεως· ὥς περ ἂν καὶ ἡμεῖς σοι χάριν ὠφείλομεν, εἰ παρ' ἡμῖν ὤν, ἡμῶν συνειρ-

γάζου τῇ πίστει· οὕτω γὰρ καὶ τοῖς ἡμετέροις διδασκάλοις κεχρήμεθα· δεσποτῶν αὐτοῖς καὶ σωτήρων νέμοντες τάξιν. Εἰρήνης δὲ τῷ Θεῷ μελήσει· καὶ τοὺς αἰτίους αὐτὸς τοῦ σχίσματος ὄψεται. Ἡμεῖς δέ γε ἰδιῶται ὄντες τά γε τοιαῦτα, τοῖς πατράσιν ἀκολουθοῦμεν ἡμῶν, οἳ τὴν προσθήκην ταύτην πεποιηκότες ὅπως ποτὲ, παρέδωκαν κηρύττειν ἡμῖν. Εἰκὸς μὲν οὖν ὑμᾶς ἐπ' ἀσφαλεστέρας τῆς ἐλπίδος σαλεύειν. Ἀλλὰ καὶ ἡμεῖς τοῖς πατράσιν ἑπόμενοι, συγγνώμης ἂν τύχοιμεν παρὰ Θεῷ δικαστῇ, ἀντὶ τῆς εἰς τοὺς πρεσβυτέρους ἡμῶν αἰδοῦς κινδυνεύοντες. Ἐκεῖνοι δὲ τὸν λόγον ὀφλήσουσι τοῦ τε σκανδάλου, καὶ τῆς φαύλης τῶν ὑστέρων ἡμῶν ὁδηγίας. Τοῦτο γοῦν καὶ σὲ ποιοῦντα καὶ τοὺς σὺν σοὶ, ὅσῳ καὶ τὸ δίκαιον σὺν ὑμῖν ἐστι φανερώτατα, καὶ τῆς ἡμετέρας δόξης ἐπικίνδυνον ἥγησθε κοινωνεῖν. Ψευδῆ ταύτην ὑποτοπάζοντες καὶ ἀδύνατον, ἴσως μὲν οὖσαν, ἴσως δὲ οὐκ οὖσαν τοιαύτην, ὅμως οὕτως ὑμῖν ἔδοξε πόῤῥωθεν, καὶ διὰ τὸ μὴ δύνασθαι τῆς δόξης ταυτησὶ κοινωνεῖν, καὶ τὴν ἐν τοῖς ἄλλοις κοινωνίαν ἡμῶν εὖ ποιοῦντες φυλάττεσθε· οὗτος γὰρ καὶ παρ' ἡμῖν ἐκράτησε τῆς ἐκκλησίας ὁ νόμος. Οὕτω τοίνυν ποιοῦντας οὐδεὶς ὑμᾶς μέμψεται, μὴ πάνυ ῥᾴθυμος ὤν." Καὶ ταῦτ' εἰπὼν ἀπηλλάγη.

Ἐμοὶ δὲ ἔδοξε κοινώσασθαί σοι περὶ τούτων, μεγαλοπρεπέστατε Κύριε· δεομένῳ μὲν τοιούτων λόγων οὐδαμῶς τό γε νῦν ἔχον· εἰδότι δὲ καὶ πλείω τούτων πρὸς Λατίνους ὑπὲρ ἀληθείας λέγειν εἰ βούλοιο· ἀλλ' ἵνα μάθῃς ἡμᾶς καὶ παρὰ Λατίνοις ὥς περ καὶ παρ' ὑμῖν τουτὶ λαβόντας τοὐπίσημον. Ὅτι τὴν ἕνωσιν ἡμεῖς ἀναιροῦμεν, καὶ ὅτι μόνοι πρὸς τὴν Εὐρώπην πᾶσαν διαμαχόμεθα. Καλῶς ἄρα καὶ συμφερόντως ἡσυχῇ καθῆσθαι δεῖν ἔγνωμεν· ὥστ' εἰ καὶ μὴ δι' ἄλλας αἰτίας πρότερον, δι' αὐτὸ γοῦν τοῦτο, ποιεῖν ἂν οὕτως ἐδέησεν. Ἐκ γὰρ τῶν ἡμετέρων ἡ φήμη πανταχοῦ διαθεῖ. Τοῦτο δ' οὐκ ἂν οὕτως ἐγίνετο, ἐπιχαίροντες, καὶ μὴ καθάπερ ἠναγκασμένοι, εἴχοντο τῶν πατρίων· οὐ γὰρ ἂν ἐφ' ἕνα τινὰ μετετίθεσαν τὴν αἰτίαν. Ἐγὼ δὲ, τὴν μὲν κακίστην ἕνωσιν ταύτην, ὅπερ ἐστὶν ἡγοῦμαί τε καὶ καλῶ· καὶ Λατίνοις οὐκ ἄν ποτε κοινωνήσαιμι, τοῦ τε συμβόλου καὶ τῆς ἀληθείας ἀδικουμένων ἕως ἂν τοῖς

ἡμετέροις πατράσι βούλωμαι κοινωνεῖν· καὶ μετὰ τῶν ἐπισήμων τῆς ἐκείνων εὐσεβείας, τοῦτον ἀπολιπεῖν τὸν βίον. Καὶ τοσούτῳ μᾶλλον, ὅσῳ μὴ δύναμαι τὴν ἄλλην προαίρεσιν ἐκείνοις ἀφωμοιῶσθαι, ῥᾴθυμος ὢν· αὐτὸς δὲ μόνος πολέμιος γνωρίζεσθαι τοῦ δεινοῦ· καὶ ἡμῶν ἁπάντων κοινωνούντων ταύτης τῆς μάχης, οὐκ ἄν ποτε βουληθείην· καίτοι καὶ τοῦτ' ἂν ἐβουλόμην σφόδρα καλεῖσθαι, ἢ τῶν πραγμάτων ἡμῖν εὐτυχούντων, ἢ πάντων ὑμῶν ὑπὲρ τῆς εὐσεβείας ἑτοίμων ὄντων πάντα προΐεσθαι, ἢ συνορώντων καλῶς, ὅθεν εἰκός ἐστι παθεῖν τὰ δεινὰ, ἂν ὅ περ ἀπείη συμβαί[ν]ει ταῦτα πάσχειν ποτέ.

Ἐν τοιαύτῃ δὲ γνωμῶν ἀκαταστασίᾳ, συμφέρον ἂν εἴη μάλιστα τἀληθῆ πολλάκις εἰπόντας καὶ διηγωνισμένους, τοῦ λοιποῦ σιωπᾷν, καὶ τοῖς ἄλλοις ἐπιτρέπειν πράττειν ἃ βούλοιντο· οὐ γὰρ ἀνθ' ὧν ἐχρῆν στεφανοῦσθαι, ἑκόντες αἴτιοι δόξομεν συμφορῶν τῇ πόλει γενέσθαι. Ἐπείπερ οἱ πολλοὶ νομίζουσι, συμφορῶν αἰτίαν ἔσεσθαι τὴν εὐσέβειαν, πάνυ καλῶς φρονοῦντες. Δι' ὃ καὶ τὰ πάνδεινα φρονήματα κεκράτηκεν ἐν ἡμῖν· οἷόν ἐστιν ἐκεῖνο· "ἢν μὲν τοδὶ γένηται, πιστεύειν ἡμᾶς ὡδί· ἢν δὲ τοδὶ, πιστεύειν αὖθις ὡδί." Καὶ μετὰ τριήρεων μὲν καὶ χρημάτων τῶν ἐκ τοῦ Πάπα προσδοκωμένων, τὴν χαλεπὴν προσθήκην μηδὲν δεινὸν ἔσεσθαι· καὶ τῆς ἀληθείας διδάσκαλον ἀνακηρύξειν αὐτὸν, ὁπόταν τι πρὸς τὸν Θεὸν εὐσεβῶμεν· ἂν δ' ἐκεῖνος ἀεὶ ταῖς κεναῖς ἐλπίσι φαίνηται τέρπων, ἢ μὴ γράμμασι καὶ πρέσβεσιν ἐκφοβοίη, ἄλλην ἐξοίσειν ψῆφον περὶ αὐτῆς. Καὶ πρὸς τὴν εὐσέβειαν τῶν πατέρων, ἐξ ἀποτυχίας τῶν ματαίων δραμεῖσθαι· καὶ τὸ, τῶν μὲν οἴκοι φειδομένους χρημάτων· ἐν ἀπορίᾳ δὲ τῆς ἀληθινῆς συμμαχίας, ἐπὶ τὰς σκιὰς καταφεύγοντας, Βενέτους καὶ Λίγυας καὶ τὸν Πάπαν ἐπικαλεῖσθαι· πρὸς δὲ τὸν Θεὸν οὔπω θέλειν διαπρεσβεύεσθαι· ὃς ἀντὶ πάντων ἐπὶ τῆς χρείας ἀρκέσει· καὶ ὃς μὴ μόνον δυνατός ἐστιν ἀπαλλάττειν, ἀλλὰ καὶ ἰδοὺ "καλοῦντός σου, φησὶν, ἐγὼ πάρειμι." Καίτοι τρυφῶσι μὲν, εἶχέ τινα λόγον ἐκείνου καταφρονεῖν· ἀλογίαν μὲν οὖν· ἐν ἀπογνώσει δὲ τῆς ἐξ ἀνθρώπων ἐπικουρίας, πειρᾶσθαι μὲν καὶ οὕτω τῶν ἀδυνάτων ἁπάντων καὶ τῶν σκιῶν· τῆς δ' οὐρανίου βοηθείας ὀλιγωρεῖν.

Πῶς ἄν τις ὀνομάσας τήνδε τὴν νόσον τύχοι τοῦ πρέποντος; Ἴσως ἐλπίζουσί τινες, ὅτι καθ' ἡμέραν θυώματα, καὶ αἱ ἐκ μεσονυκτίων μέχρις ὄρθρων βοαὶ, καὶ οἱ πλάγιοι δεύτεροι καὶ βαρεῖς τῶν ἤχων καλλιφωνούμενοι, οἱ μηδὲ τὰς τῶν εὐλαβεστέρων ἀνθρώπων ἀκοὰς δυνάμενοι τέρπειν, ἀλλὰ τὰς ἀργοὺς ψυχὰς μᾶλλον θέλγοντες, τὸν Θεὸν ἡμῖν εἰς ἄμυναν ἐκκαλέσονται. Ἀλλ' ἐγὼ τοὐναντίον μᾶλλόν φημι· τούτοις καὶ προσπαροξύνεσθαι τὸν Θεὸν, τῆς ὄντως εὐσεβείας ἀμελουμένης· μετ' ἐκείνην γὰρ καὶ ταῦτα γίνεσθαι χρή· μᾶλλον δὲ οὐκ ἐγὼ φημὶ ταῦτα· ἀλλ' αὐτός ἐστιν ὁ καθ' ἡμέραν λαλῶν ἐπὶ τούτοις· ὅτι βοῶν μὲν ἐγὼ περὶ τούτων, πικρὸς καὶ τῇ τῶν πραγμάτων ἀνθιστάμενος σωτηρίᾳ· καὶ σκοποὺς ἐμοῦ τινὰς προτιθέασιν· οὓς αὐτοῖς μὲν ἴσως προσήκει καὶ βούλεσθαι καὶ πιστεύειν· ἢ καὶ συκοφαντεῖν, εἰδότας ὅτι συκοφαντοῦσιν. Ἐμοὶ δὲ πόθεν ἂν ἥρμοττε τοιούτων ἐρᾷν; Πιθανώτεροι γὰρ ἂν ἐγένοντο τοῖς ἔχουσι νοῦν, ἐπανάστασίν τινα τοῦ Μιχαὴλ τε καὶ Γαβριὴλ κατὰ τῆς θείας δόξης μηνύοντας (ἴδ. μηνύοντες), τῶν ἐν τῇ μακαριότητι τοσοῦτον χρόνον βεβαιωθέντων, ἢ περὶ ἡμῶν ἐκεῖνα συμπλάττοντες. Ἀλλ' ἔμοι γε οὐ μελήσει κατηγορεῖν αὐτῶν ποτε οὐδ' ἐλέγχειν, ἔχοντι μάρτυρα καὶ δικαστὴν τὸν Θεόν. Ὑπὲρ οὗ τῆς δόξης συκοφαντούμενος, ἕτοιμός εἰμι καὶ παθεῖν ὁτιοῦν ἐπὶ βεβαίαις τῶν στεφάνων ἐλπίσιν. Ἔχοιμι δ' ἂν καὶ χάριν αὐτοῖς. Ὅτι τὴν ἐξ αὐτῶν ἀηδίαν καὶ τοὺς πολέμους εἰς ἀρετῆς πορίζομαι μαρτυρίαν· τοιούτοις γὰρ τίς ἂν ἡδὺς γένοιτο μὴ καθάπαξ ὅμοιος ὤν; Σὺ δὲ οἶσθα καὶ σοφοὺς πάντας καὶ τοὺς θείους χρησμοὺς, ἃ λέγουσι περὶ τούτων· καὶ ὅσα τοῖς εὐσεβῶς ζῆν βουλομένοις προειρημένα ἐκ Θεοῦ καὶ συμβέβηκε. Τρέφει δὲ φεῦ τοιούτους θῆρας ὁ κάκιστος οὑτοσὶ τοῦ θείου λόγου λιμὸς, μετὰ τὴν ἀρχικὴν ἀνεπισκεψίαν· ἐξ οὗ καὶ πρὸς Θεὸν δυσσεβεῖς, καὶ πρὸς τὸ κοινὸν ἀπολίτευτοι, καὶ πρὸς τοὺς ἀδελφοὺς ἐχιδνώδεις, καὶ συντόμου τομῆς ὡς ἀληθῶς ἄτελοι, δι' ἀνηκοΐαν τῶν θείων λόγων, μόνοι τῶν ἐν τῇ γῇ σχεδὸν ἁπάντων ἐσμέν. Ἐγὼ μὲν οὖν πικρὸς διὰ ταῦτα· εὔνοι δὲ τῇ πατρίδι καὶ τοῖς ταύτης πράγμασι πάντες, πλὴν ἐμοῦ· ἆθλον τοῦ κνήθειν τὰς ἀκοὰς τὴν ἀγαθὴν καρπούμενοι

δόξαν· ὁ γὰρ τὸ σιτηρέσιον ἀπαιτῶν, καὶ τὴν μητρόπολιν συνάξων τοῖς χρήμασι, καὶ ταῖς τῶν μεσαζόντων προσεδρεύων αὐλαῖς, ἢ πρεσβεύων ὑπὲρ τῶν δείνων, ἴσως οὐδὲ ζητούντων τὰ δίκαια, ἢ τιμῆς τινος ἐλπίδι καὶ διακένου μετωνυμίας, τίνα πνευματικὴν αὐστηρίαν ἐπιδειξεται τοῖς πρὸς Θεὸν ἁμαρτάνουσι, τοῦτο τὸ τοῖς ἀνθρώποις πᾶσι κοινόν. Τοῖς δὲ μεγάλοις ὑμῖν καὶ μάλα συμβαῖνον, διὰ τὴν ἐκ τοῦ σχήματος ἄδειαν· ἀλλ' ἀφίημι ταῦτα· γέλως γὰρ καὶ νῦν ἡ πικρία δόξει λεγόμενα, ἐπείπερ εἰς πολλῶν ἀφίξηται χεῖρας τὸ σύγγραμμα. Ἐπάνειμι δὲ τὸ πέρας προσθήσων.

Εἴτε τοίνυν ὁ σχισματικὸς πατριάρχης μέλλοι ζῶν ποτε παραγίνεσθαι, εἴτε τινὰ τοιοῦτον αὖθις ἐπὶ τὸν θρόνον συμπείσαντες καθιεῖτε, κρύπτοντα τὴν γνώμην μέχρι τινός· εἴτε δέοι πρὸς Λατίνους ἥκοντάς ποτε ποιεῖσθαι λόγον τινά· εἴθ' ὁποσοῦν ὑμῖν τὰ περὶ τὴν ἐκκλησίαν πράττοιτο ταύτην, παρέστω καὶ ταῦτα, σοί τε καὶ τοῖς ἄλλοις τῶν φίλων, τῆς ἡμετέρας εὐσεβείας καρπὸς, μετὰ πολλοὺς ἑτέρους καὶ μείζους, οὓς ἐν τῷ παρελθόντι χρόνῳ τῇ κοινῇ δεδώκαμεν πίστει, ἐκ τῶν θεόθεν ἡμῖν ἐνηνεγμένων ταλάντων· τοὺς μὲν ἐν συγγράμμασι, τοὺς δὲ ἀπὸ στόματος καὶ νενικήκαμεν σὺν Θεῷ φάναι τοὺς ἀντιλέγειν προῃρημένους πλείστων ἀκροωμένων. Εἰ δὲ τῶν ἡμετέρων πατέρων τὰς ψήφους καὶ τὰς ἐξ ἡμῶν ὁδηγίας ὑπεριδόντες, ἐπὶ τὸν Λατινικὸν ἀπενεχθήσονται βρόχον οἱ τὴν πόλιν ταύτην οἰκοῦντες, ἐγὼ μὲν ἀπεύχομαι τοῦτο παθεῖν αὐτοὺς τὸ δεινόν. Χεῖρον γὰρ ἁμαρτήσουσι, μετὰ τοσούτους ἐλθεῖν αὐτοῖς τοὺς λαλήσαντας. Καὶ τῶν Λατίνων αὐτῶν μείζους ὑφέξουσι τὰς ἐκ τοῦ συνειδότος αἰκίας. Ἐμοὶ δὲ λοιπὸν τῶν ὑμετέρων οὐ μέλει, ἕως ἂν μηδ' ὑμῖν τοῦ Θεοῦ. Ἀλλὰ σύ γε τἀληθῆ μένε φρονῶν, καὶ χάριν εἰδὼς τῷ Θεῷ, ἀνθ' ὧν σε κεκόσμηκεν ὑπὲρ πάντας τοὺς νῦν ὄντας Ἕλληνας· οὐδ' ὥς τε παραλαβεῖν, ταύτην ἀπόδος, ἐν τῷ τὴν πίστιν μὴ βιάσασθαι μάλιστα· μηδὲ τοσοῦτον φορτίον ἄρῃς ὑπὲρ σαυτοῦ, τὰς φαυλοτάτας ἐκείνας οἰκονομίας εἰς μέσον αὖθις παράγων, ὑφ' αἷς τὸ δηλητήριον κέκρυπται· καὶ τοὺς μὴ δυναμένους ἀντιλέγειν σοι πείθων, οἵαν ὑμεῖς τὴν ἐκκλησίαν τῶν Χριστιανῶν ἐποιήσατε, τὰ τῆς ἀρετῆς

ἆθλα καὶ τῆς σοφίας τοῖς ἀπαιδεύτοις διδόντες, τοῖς δὲ νοῦν ἔχουσι καὶ ὠφελεῖν τι δυναμένοις βασκαίνοντες. Οὐ τὴν σὴν ὑπερφυᾶ φρόνησιν λέγω· ἀλλὰ τοὺς ἐπὶ τῶν ἡμετέρων καιρῶν τὰ τῶν δυστυχῶν Ἑλλήνων ἄξαντας πράγματα· μηδ' οἷου τοὺς τοιούτους πείθων ἀντιλέγειν οὐ δυναμένους δι' ἄγνοιάν τε καὶ κολακείαν αἰσχρὰν, καὶ τὸ θεῖον δίκαιον εὐθὺς ἔχειν ἑπόμενον. Καὶ τοῦτό σοι παραγγέλλω τηρεῖν, ἐπείπερ οὐκ ἔτι σοι περὶ τούτων τῶν ὑλῶν διαλέξομαι· οὔτε μόνος οὔτε μετὰ πολλῶν. Εἰ γὰρ συνῆν, οὐκ ἂν ἀφῆκα προχωρεῖν ἐν τοιούτοις, ὥς περ οὖν οὐδὲ πρόσθεν, παρακαλῶν τε καὶ συμβουλεύων, καὶ τῷ λόγῳ τῆς ἀληθείας τέμνων ὑποφυομένην τὴν πλάνην, ὅς ἐστι τοῦ Πνεύματος μάχαιρα.

Δοίη δὲ καὶ σοὶ, βέλτιστε τῶν νῦν Ἑλλήνων ἁπάντων, καὶ πᾶσι τοῖς τὰ κοινὰ πράττουσιν ὁ Θεὸς, ἐκ τῶν οὐρανίων καὶ ἀπαραγράπτων αὐτοῦ δογμάτων τὸ συμφέρον θηρεύοντας, εὐτυχεῖν καὶ διασώζειν μέχρι πλείστου τήνδε τὴν πόλιν.

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΓΡΗΓΟΡΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ,

ΤΟΥ

ΠΑΛΑΜΑ,

ΟΜΙΛΙΑ ΠΕΡΙ ΠΙΣΤΕΩΣ·

ΕΝ ΗΙ, ΚΑΙ ΤΗΣ ΚΑΤ ΕΥΣΕΒΕΙΑΝ ΟΜΟΛΟΓΙΑΣ

ΕΚΘΕΣΙΣ.

ΕΚΦΩΝΗΘΕΙΣΑ ΜΕΝ ΠΟΤΕ ΥΠΟ ΤΟΥ ΑΥΤΟΥ ΠΑΤΡΟΣ

ΚΑΤΑ ΤΗΝ ΚΥΡΙΑΚΗΝ ΤΗΣ

ΟΡΘΟΔΟΞΙΑΣ.

ΕΚΔΟΘΕΙΣΑ ΔΕ ΠΡΩΤΟΝ ΗΔΗ ΕΝ ΛΟΝΔΙΝΩΙ

ΥΠΟ

Κ. ΣΙΜΩΝΙΔΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ,

ΚΑΙ

ΤΗΙ ΤΟΥ ΑΟΙΔΙΜΟΥ

ΔΗΜΗΤΡΙΟΥ ΚΑΣΣΑΒΕΤΟΥ

ΣΚΙΑΙ

ΑΝΔΡΟΣ ΤΑΜΑΛΙΣΤΑ ΜΕΓΑΛΟΔΩΡΟΥ ΚΑΙ ΑΡΕΤΗΙ ΠΑΝΤΟΙΑΙ
ΚΕΚΟΣΜΗΜΕΝΟΥ ΚΑΘΙΕΡΩΘΕΙΣΑ.

L

ΤΑ περὶ τοῦ θειοτάτου ἡμῶν πατρὸς ΓΡΗΓΟΡΙΟΥ *τοῦ* ΠΑΛΑΜΑ, *τοῦ πυριπνόου τῆς χάριτος στόματος, τοῦ τῆς Ἐκκλησίας ἀκραδάντου στήλου, ἐξέθεσαν ἐν πλάτει μετ' ἐγκωμίων πλεῖστοι ὅσοι· ἐν οἷς μάλιστα διαπρέπουσιν ὅ τε Φιλόθεος ὁ ἁγιώτατος, ὁ τῆς Κωνσταντινουπόλεως πατριάρχης, καὶ Νεῖλος ὁ θειότατος, πατριάρχης καὶ οὗτος Κωνσταντινουπόλεως χρηματίσας, καὶ Ἱερόθεος ὁ Σακελλάριος, καὶ Ἰωάννης ὁ Κατακουζινὸς, καὶ ὁ κλεινὸς Ἀθανάσιος ὁ Πάριος, καὶ Ἀνθέμιος Δωροθέου ὁ Βυζάντιος, καὶ ὁ κλεινότατος Στέφανος ἱερομόναχος ὁ Ἀθηναῖος, καὶ ὁ σοφὸς Φαβρίκιος. Ἔγραψε δὲ καὶ ὁ ἀοίδιμος Οἰκονόμος περὶ τοῦ πατρὸς τάδε·*

" § α. Ὁ μέγας ἐν ἱεράρχαις, καὶ πατράσιν ἁγίοις, καὶ διδασκάλοις τῆς Ἐκκλησίας Γρηγόριος ὁ θαυματουργὸς, ὁ καὶ Παλαμᾶς, ἤκμαζε περὶ τὰ μέσα τῆς δεκάτης τετάρτης ἑκατονταετηρίδος (τῷ 1340—1354). *Καὶ τὸ μὲν γένος εἷλκεν ἐκ τῆς Ἀσίας, πατέρων ἐπιφανῶν γεγονώς· ἀνετράφη δὲ ἐκ παίδων ἐν τοῖς ἀνακτόροις τοῖς Κωνσταντινουπόλεως. Καταλιπὼν δὲ τὸν κόσμον καὶ τὰς ἐκ βασιλέων τιμὰς, ἀνεχώρησεν εἰς τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθωνος, καὶ τὸν μοναστικὸν ὑπέρχεται βίον· ἐν ᾧ ὅλος Θεῷ προσανέχων, καὶ πόνοις ἀσκήσεως, καὶ πράξει καὶ θεωρίᾳ τὴν ψυχὴν ἐγγυμνάζων, θεοειδέστατον ἔσοπτρον τοῦ παναγίου Πνεύματος ἐχρημάτισεν. Ἐκεῖθεν δὲ καὶ εἰς τὴν ἀρχιερωσύνην κληθεὶς ὑπὸ τοῦ Θεοῦ, χειροτονεῖται Μητροπολίτης τῆς Θεσσαλονικέων Ἐκκλησίας, ἣν καὶ διὰ τέλους ἐποίμανε, καὶ νῦν εἰσέτι μέχρι καὶ σήμερον ἐπισκοπεῖ, καὶ κατακοσμεῖ διὰ τοῦ θαυματουργοῦ καὶ πανιέρου αὐτοῦ σκήνους, σῴου, θείᾳ χάριτι, καὶ ἀκηράτου τηρουμένου ἐν τῷ τῆς Μητροπόλεως ναῷ.*

"§ β. *Τὰς μὲν οὖν παντοδαπὰς ἀρετὰς τοῦ Θεοφόρου τούτου Πατρὸς, καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀριζήλους ἀγῶνας, καὶ τὸ μυρίον κλέος τῶν νικηφόρων τροπαίων, ὅσα κατὰ τῶν δυσμόθεν αἱρετικῶν (καὶ μάλιστα τῶν περὶ τὸν φωτομάχον καὶ μονομάχον Βαρλαὰμ) ἀειμνήστως ἀνήγηρε, διηγεῖται ἡ ἱστορία· μέλπει δὲ ταῦτα καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ πανδήμως πανηγυρίζει κατ' ἔτος ἐν τῇ δευτέρᾳ Κυριακῇ τῆς ἁγίας τεσσαρακοστῆς, καθ' ἣν διέταξεν ἐπιτελεῖσθαι τὴν ἁγίαν αὐτοῦ μνήμην, ἀμέσως μετὰ τὴν πρώτην Κυριακὴν, τὴν τῆς ὀρθοδοξίας, ὡς μεγάλου καὶ τούτου κήρυκος τῆς Πίστεως γενομένου, καὶ τοῖς Ἀποστολικοῖς καὶ θείοις Πατράσιν ἐφαμίλλου καὶ ὁμοζήλου, καὶ ἀκραδάντου στύλου τῆς Ἐκκλησίας. Τὸν γὰρ νικῶντα (φησὶν ὁ Κύριος) 'ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου' (Ἀποκαλ. γ'. 12).*[1]

"§ γ. *Τῆς δὲ θείας σοφίας πάμπλουτον θησαυρὸν, καὶ στήλην ὀρθοδόξου καὶ φρονίματος καὶ πολιτεύματος ἀκατάλυτον, κατέλιπεν ἡμῖν ὁ Πατὴρ τὰ περισωθέντα αὐτοῦ συγγράμματα, ὁλόχρυσα μὲν τοῖς τῆς θεογνωσίας νοήμασι, περιηργυρωμένα δὲ καὶ τῷ κόσμῳ τῆς ἀνθρωπίνης σοφίας, 'ὡς ὅτε τις χρυσῷ περιχεύεται ἄργυρον ἀνήρ.' Διὰ δὲ τῶν συγγραμμάτων τούτων ζῇ καὶ παρ' ἡμῖν ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ οὗτος ὁ μετὰ τὸν μέγαν, τὸν ὁμώνυμον αὐτῷ, μεγαλώνυμος Γρηγόριος, ἀποπάλλων ἀπὸ τῶν γραπτῶν σελίδων, ὡς ἐξ ἀσιγήτων καὶ τρανοφθόγγων χειλέων, τὰς λαμπηδόνας τῶν τῆς ὀρθοδοξίας ἀκηράτων δογμάτων καὶ διδαγμάτων· καὶ τοὺς μὲν*

[1] "Ἡ ἑορτὴ τοῦ ἁγίου διετάχθη συνοδικῶς ἐπὶ τῆς πατριαρχείας τοῦ αὐτοῦ φερωνύμου Φιλοθέου, ὡς οὗτος αὐτὸς ἐν τῷ κατὰ Προχόρου τόμῳ βεβαιοῖ (βλ. παρὰ Δοσιθέῳ ἐν Τόμῳ Ἀγάπης προλόγ. σελ. 109). Ὁ δ' αὐτὸς (ὡς καὶ τοῦτο βεβαιοῖ αὐτόθι) συντάξας ἐμελούργησε καὶ τὴν (ἣν καὶ νῦν ἡ Ἐκκλησία ψάλλει) τοῦ ἁγίου Ἀκολουθίαν, ἁγιοπρεπέσι καὶ καλλίστοις ᾄσμασι τὸν θεοῤῥήμονα διδάσκαλον τῆς Ἐκκλησίας ἀνευφημήσας, οἷα τά τε ἄλλα, καὶ τὸ ἑξῆς· 'Ποίοις εὐφημιῶν ᾄσμασιν ἀνυμνήσωμεν τὸν Ἱεράρχην; τῆς θεολογίας τὴν σάλπιγγα, τὸ πυρίπνουν στόμα τῆς χάριτος, τὸ σεπτὸν, τοῦ στόματος δοχεῖον, τὸν στύλον τῆς Ἐκκλησίας τὸν ἀκράδαντον, τὸ μέγα τῆς οἰκουμένης ἀγαλλίαμα, τὸν ποταμὸν τῆς σοφίας, τοῦ φωτὸς τὸν λύχνον, τὸν ἀστέρα τὸν φαεινὸν, τὸν τὴν κτῆσιν καταλαμπρύναντα' (ἐν τῷ ἑσπερινῷ). Μνημονεύει δὲ τοῦ ἁγίου Γρηγορίου ἡ Ἐκκλησία καὶ κατὰ τὴν ιδ'. Νοεμβρίου, καθ' ἣν μετέστη πρὸς Κύριον."

παλαμναίους πολεμίους τῆς Ἐκκλησίας, καὶ περὶ τὴν πατρῴαν εὐσέβειαν καινοτόμους καὶ νεωτεριστὰς, καὶ παλαιτέρους καὶ νεωτέρους, τῷ σθένει τῶν γραφικῶν καὶ λογικῶν ἀποδείξεων, οἷον χειρὶ βριαρᾷ καταπαλαμώμενος, ἄγχει, καὶ πρὸς τὴν πέτραν τῆς πίστεως καταῤῥάσει· τοὺς δὲ πιστοὺς ἀσφαλῶς εἰς τὴν θείαν ἐπίγνωσιν στηρίζει καὶ καθοδηγεῖ. Πολλὴ δὲ καὶ ἡ καλλιέπεια καὶ χάρις καὶ δύναμις ἐν ταῖς αὐτοῦ συγγραφαῖς ἀπανθεῖ, σαφηνείᾳ τε λαμπρᾷ, καὶ κυριολεξίᾳ, καὶ συνθέσεως, ἠρέμα ῥεούσης, μελιηδεῖ γλυκύτητι κατηγλαϊσμένη. "Οθεν πάλιν ἐμελώδησεν ἡ καλλικέλαδος τοῦ θεοφιλεστάτου Φιλοθέου κιννύρα. ‘Οἱ λόγοι σου πάνσοφε, καὶ τὰ σεπτὰ συγγράμματα, δρόσος οὐρανία, μέλι πέτρας, ἄρτος ἀγγέλων τοῖς ἐντυγχάνουσι, νέκταρ, ἀμβροσία, γλυκασμὸς, ἥδυσμα, Γρηγόριε, καὶ πηγὴ ζῶντος ὕδατος.’ (ἐν τῷ κακόνι· ᾠδὴ ε΄.)"

Καὶ ταῦτα μὲν καὶ ἕτερ' ἄττα τούτων πλείω προλογίζεται ὁ ἀοίδιμος Οἰκονόμος ἐν ᾧ μετετύπωσε συγγραμματίῳ τοῦ πατρὸς Γρηγορίου[1]*· τὸ δὲ συγγραμμάτιον ἐπιγράφεται ᾧδε·*

"ΔΕΚΑΛΟΓΟΣ ΤΗΣ ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΝΟΜΟΘΕΣΙΑΣ, ΗΤΟΙ ΤΗΣ ΝΕΑΣ ΔΙΑΘΗΚΗΣ."

Τὰ σεπτὰ οὖν συγγράμματα τοῦ πατρὸς τούτου πολλὰ ὄντα τὸν ἀριθμὸν ἐν Ἄθῳ περιτυχόντες ἐκτησάμεθα, ἅμα δὲ τούτοις καὶ Φωτίου τοῦ πατριάρχου τινὰ, καὶ Μάρκου τοῦ Εὐγενικοῦ οὐκ ὀλίγα, περὶ ὧν ἐν ἄλλοις ἐροῦμεν τὰ εἰκότα, ὁπόταν, Θεοῦ συνάρσει, τὴν τούτων ἔκδοσιν ἀναλάβομεν. Νῦν δὲ ἐκδίδοντες ἓν ἐκ τῶν πολλῶν τοῦ θείου Γρηγορίου λόγων, τὸν περὶ τῆς πίστεως, κατ' ἐπίμονον αἴτησιν σοφῶν ἀνδρῶν, τὴν τῶν ἀναγνωστῶν ἐξαιτούμεθα συγγνώμην, ὅτι οὐ πλείω τούτου συνεξεδώκαμεν.

Κείσθω δὲ καὶ ὁ λόγος οὗτος, ὥς περ καὶ τὰ προηγούμενα τούτου πάντα, καθά γε καὶ τὰ ἑπόμενα, πρὸς καταισχύνην τῆς κατ' ἐμοῦ παφλαζούσης γλωσσαλγίας περιλεσχηνεύτων τινῶν ἀνδρῶν.

[1] Ὅρα καὶ ἐν τῷ περὶ Ο΄ τετάρτῳ τόμῳ τοῦ αὐτοῦ Οἰκονόμου.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ, ΤΟΥ ΠΑΛΑΜΑ,

ΟΜΙΛΙΑ ΠΕΡΙ ΠΙΣΤΕΩΣ·

ΕΝ ΗΙ, ΚΑΙ ΤΗΣ ΚΑΤ ΕΥΣΕΒΕΙΑΝ ΟΜΟΛΟΓΙΑΣ ΕΚΘΕΣΙΣ[1].

ΕΞΕΦΩΝΗΘΗ ΚΑΤΑ ΤΗΝ ΚΥΡΙΑΚΗΝ

ΤΗΣ

ΟΡΘΟΔΟΞΙΑΣ.

ΠΙΣΤΕΥΟΜΕΝ εἰς τὸν Θεὸν, καὶ πιστεύομεν τῷ Θεῷ· ἕτερόν ἐστιν ἑκάτερον τούτων· πιστεύειν μὲν γάρ ἐστι τῷ Θεῷ, τὸ τὰς παρ' αὐτοῦ πρὸς ἡμᾶς ἀπειλάς τε καὶ ἐπαγγελίας βεβαίας καὶ ἀληθεῖς ἡγεῖσθαι· πιστεύειν δὲ εἰς τὸν Θεὸν, τὸ περὶ αὐτοῦ φρονεῖν ὀρθῶς· δεῖ δὲ καὶ ἀμφότερα ἡμᾶς ἔχειν, καὶ κατ' ἀμφότερα ἡμᾶς ἀληθεύειν· καὶ οὕτως ἔχειν, ὥς τε καὶ πιστεύεσθαι παρὰ τῶν ἀσφαλῶς ὁρώντων, καὶ πιστοὺς ἐνώπιον εἶναι, τοῦ πρὸς ὃν ἡ πίστις Θεοῦ· καὶ ὡς πιστοὺς οὕτω[2], παρ' αὐτοῦ δικαιοῦσθαι. "Ἐπίστευσε γάρ, φησιν, ὁ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην." Πῶς οὖν ὁ Ἀβραὰμ πιστεύσας ἐδικαιώθη; Ἔλαβε παρὰ Θεοῦ ἐπαγγελίαν, ἐν τῷ σπέρματι αὐτοῦ, ὅ περ ἦν ὁ[3] Ἰσαὰκ, εὐλογηθήσεσθαι πάσας τὰς φυλὰς τῆς γῆς. Εἶτα ὑπὸ τοῦ Θεοῦ προστάττεται, παῖδα ἔτι ὄντα θῦσαι τὸν Ἰσαάκ· δι' οὗ μόνου τὴν ἔκβασιν ἔμελλε σχήσειν ἡ ἐπαγγελία· καὶ μηδὲν ἀντειπὼν[4] ὁ πατὴρ,

[1] Ἐν τῷ τοῦ Κυρίλλου ἱερομονάχου χειρ. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Ἀρχ. Θεσσ. τοῦ Παλαμᾶ, ὁμιλία περὶ πίστεως καὶ εὐσεβείας."
[2] Κ. χ. οὕτως παρ' αὐτοῦ τοῦ δικαιοῦσθαι.
[3] Κ. χ. ὅ περ ἦν Ἰσαάκ.
[4] Κ. χ. ἀντειπεῖν.

αὐτόχειρ γενέσθαι τοῦ παιδὸς ἠπείγετο· καὶ τὴν δι' αὐτοῦ ταύτην ἐπαγγελίαν, βεβαίαν καὶ ἀδιάπτωτον ἡγεῖτο. Βλέπετε τὴν δικαιοῦσαν πίστιν ὁποῖα; Ἀλλ' ἐπηγγείλατο καὶ ἡμῖν ὁ Χριστὸς, ζωῆς ἀϊδίου, καὶ τρυφῆς, καὶ δόξης, καὶ βασιλείας κληρονομίαν. Εἶτα προσέταξε, πτωχεύειν· νηστεύειν· εὐτελῶς καὶ τεθλιμμένως ζῆν· ἑτοίμους εἶναι πρὸς θάνατον· σταυροῦν ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ἐὰν οὖν καὶ πρὸς ταῦτα σπεύσωμεν, καὶ τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ πιστεύσωμεν, ὄντως ἐπιστεύσαμεν τῷ Θεῷ, κατὰ τὸν Ἀβραὰμ, καὶ "λογισθήσεται ἡμῖν εἰς δικαιοσύνην."

Καὶ ὁρᾶτε[1] *τὴν ἀκολουθίαν τῶν προτεθέντων; οὐ μόνον γὰρ ἰσχυρὰ μαρτυρία καὶ παράστασις τῆς τοῦ Ἀβραὰμ πίστεως ἐγένετο, τὸ συγκατατεθῆναι πρὸς σφαγὴν τὸν Ἰσαὰκ προθεῖναι, ἀλλὰ καὶ αἴτιον ὑπῆρξε τοῦτο, τοῦ τὸν Χριστὸν ἐκ σπέρματος αὐτοῦ τεχθῆναι, δι' οὗ εὐλογήθησαν πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐπληρώθη ἡ ἐπαγγελία· τῷ γὰρ δόντι διὰ τὸν Θεὸν τὸν ἑαυτοῦ μονογενῆ τε καὶ γνήσιον υἱὸν, ὀφειλέτης οἷον ὁ Θεὸς ἐγένετο*[2]*, δι' αὐτὸν καὶ τὴν πρὸς αὐτὸν ἐπαγγελίαν, ἀντιδοῦναι τὸν ἑαυτοῦ μονογενῆ τε καὶ γνήσιον υἱόν. Οὕτω δὴ καὶ ἐν ἡμῖν· ἡ διὰ τὰς ἐντολὰς τοῦ Θεοῦ σωφροσύνη καὶ δικαιοσύνη καὶ ταπείνωσις, ὑπομονή τε τῶν ὁπωσδήποτε κακούντων, καὶ διάδοσις τῶν ὑπαρχόντων, ἥ τε τοῦ σώματος ἐν νηστείαις [καὶ ἀγρυπνίαις]*[3] *κακοπάθεια, καὶ ἁπλῶς τὸ σταυροῦν ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, οὐ μόνον παράστασίς ἐστι τοῦ ἀληθῶς ἡμᾶς πιστεῦσαι ταῖς ἐπαγγελίαις τοῦ Χριστοῦ, ἀλλὰ καὶ ὀφειλέτην οἷον τὸν Θεὸν καθίστησι, τοῦ τὴν ἀΐδιον καὶ ἀκήρατον ἡμῖν ζωὴν, καὶ τρυφὴν, καὶ δόξαν, καὶ βασιλείαν ἀντιδοῦναι. Δι' ὃ καὶ αὐτὸς πρὸς τοὺς μαθητὰς αὐτοῦ βλέπων ἔλεγε. "Μακάριοι οἱ πτωχοὶ [τῷ πνεύματι]*[4]*, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες. Μακάριοι οἱ ἐλεήμονες. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. Καὶ οὐαὶ οἱ πλουτοῦντες*[5]*. Οὐαὶ οἱ γελῶντες. Οὐαὶ*

[1] Κυρ. χειρ. Ὁρᾶτε τὴν ἀκ. [2] Κυρ. χ. ἐγένετο ὁ Θεός. [3] οὕτω τὸ κυρίλλειον ἔχει χειρ. [4] οὕτω τὸ κυρίλ. [5] τὸ "οὐαὶ οἱ πλουτοῦντες" παρέλειψεν ὁ Κύριλλος.

οἱ ἐμπεπλησμένοι. Οὐαὶ ὅταν καλῶς πάντες εἴπωσιν ὑμᾶς[1] οἱ ἄνθρωποι." Ὁ γοῦν μὴ πρὸς τὰ μακαριζόμενα σπεύδων, ἀλλὰ πρὸς τὰ παρὰ τοῦ Κυρίου ταλανιζόμενα, πῶς, εἰπέ μοι, πιστευθήσεται, πιστεύειν τῷ Θεῷ; "Δεῖξόν μοι, φησὶ, τὴν πίστιν σου ἐκ τῶν ἔργων σου." Καὶ τίς πιστός· δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ.

Ὅτι μὲν οὖν ἀληθῶς πιστεύομεν τῷ Θεῷ, τουτέστιν ἀληθεῖς καὶ βεβαίας, καὶ ὅσον οὔπω παρεσομένας γινώσκομεν τὰς αὐτοῦ πρὸς ἡμᾶς ἐπαγγελίας, ἢ καὶ ἀπειλὰς, διὰ τῶν ἡμετέρων ἀγαθῶν ἔργων δείκνυται, καὶ τῆς τῶν θείων ἐντολῶν τηρήσεως. Ὅ τι δὲ ὀρθῶς πιστεύομεν εἰς τὸν Θεὸν, τουτέστι καλῶς καὶ ἀσφαλῶς καὶ εὐσεβῶς φρονοῦμεν περὶ αὐτοῦ, πόθεν ἡμῖν ἡ παράστασις; Ἀπὸ τῆς πρὸς τοὺς θεοφόρους πατέρας ἡμῶν ὁμολογίας.

Ὥς περ δὲ τὸ ἀψευδῶς πιστεύειν τῷ Θεῷ, οὐ μόνην ἔχει τὴν ἀπὸ τῶν τῆς σαρκὸς παθῶν καὶ τὴν ἀπὸ τῶν τοῦ Πονηροῦ παγίδων ἐναντίωσιν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν ἐμπαθῶν ἀνθρώπων, θελγόντων[2] καὶ συγκαθελκόντων εἰς τὰς οὐ καλὰς ἡδονάς· Οὕτω[3] καὶ τὸ πιστεύειν ὀρθῶς εἰς τὸν μόνον ἀληθῆ Θεὸν, οὐ μόνον ἔχει τὴν ἀπὸ τῆς ἀγνοίας καὶ τὴν ἀπὸ τῶν ὑποβολῶν[4] τοῦ ἀντικειμένου ἐναντίωσιν, ἀλλὰ καὶ τὴν ἀπὸ[5] τῶν δυσσεβῶν ἀνθρώπων· κλεπτόντων καὶ συγκατασπόντων εἰς τὴν οἰκίαν ἀπώλειαν. Καὶ βοήθεια δὲ μεγίστη πρόσεστιν ἐφ' ἑκατέρας[6] πίστεως, οὐ μόνον παρ' αὐτοῦ τε τοῦ Θεοῦ, καὶ τῆς ἐξ αὐτοῦ δεδομένης ἡμῖν γνωστικῆς δυνάμεως, ἀλλὰ καὶ παρὰ τῶν ἀγαθῶν ἀγγέλων, καὶ τῶν θεοσεβῶν καὶ ζώντων κατὰ Θεὸν[7] ἀνθρώπων.

Διὰ τοῦτο ἡ πνευματικὴ καὶ κοινὴ μήτηρ καὶ τροφὸς ἡμῶν, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, σήμερον ἀριδηλότερον ἅμα καὶ κοινότερον, τήν τε ἀνακήρυξιν ποιεῖται τῶν ἐπ' εὐσεβείᾳ καὶ ἀρετῇ λαμψάντων, καὶ τῶν πανιέρων κατ' αὐτοὺς συνόδων, καὶ τῶν

[1] Κ. χ. ἡμᾶς. [2] Κυρ. χειρ. Ὥς περ δὲ τὸ ἀψευδῶς πιστεύειν τῷ Θεῷ, οὐ μόνον ἔχει τὴν ἀπο τῶν τοῦ Πονηροῦ παγίδων ἐναντίωσιν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν τοῦ Πονηροῦ παγίδων ἐναντίωσιν ἐμπαθῶν ἀνθρώπων, θελγ. [3] Κυρ. χ. οὕτως. [4] Κ. χ. ἀποβολῶν. [5] Κ. χ. ἀλλὰ καὶ τὴν τῶν δυσ. [6] Κ. χ. πρόσεστιν ἑκατέρας. [7] Κ. χ. Θάνατον.

θείων κατ' αὐτὰς δογμάτων, καὶ τὴν ἀποκήρυξιν κεφαλαιωδέστερον τῶν σπουδαστῶν τῆς δυσσεβείας, καὶ τῶν πονηρῶν κατ' αὐτοὺς σπουδασμάτων τε καὶ φρονημάτων· ἵνα τούτους μὲν ἡμεῖς ἀποτρεπόμενοι[1], *τοῖς δὲ κατὰ Θεὸν φρονήσασιν ἑπόμενοι.*

Πιστεύομεν[2] *εἰς ἕνα Θεόν· Πατέρα Υἱὸν καὶ Πνεῦμα ἅγιον*[3]*· ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ τὰ πάντα γέγονεν· ὅς ἐστι πρὸ πάντων καὶ ἐπὶ πάντων, καὶ ἐν πᾶσι, καὶ ὑπὲρ τὸ πᾶν· μονὰς ἐν τριάδι, καὶ τριὰς ἐν μονάδι· ἀσυγχύτως ἑνουμένη, καὶ ἀμερίστως διαιρουμένη· μονὰς ἡ αὐτὴ, καὶ τριὰς παντοδύναμος. Πατὴρ ἄχρονος καὶ ἄναρχος καὶ ἀΐδιος· μόνος αἰτία καὶ πηγὴ καὶ ῥίζα τῆς ἐν Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένης θεότητος· οὐ μόνος*[4] *δημιουργός· ἀλλὰ μόνος ἑνὸς Υἱοῦ Πατὴρ, καὶ Πνεύματος ἑνὸς ἁγίου προβολεύς*[5]. *Ἀεὶ ὤν· καὶ ἀεὶ ὢν Πατήρ· καὶ ἀεὶ ὢν μόνος Πατήρ τε καὶ προβολεύς. Οὗ Υἱὸς, εἷς· συναΐδιος αὐτῷ καὶ κατὰ χρόνον συνάναρχος· οὐκ ἄναρχος δὲ, ὡς γεννήτορα καὶ ῥίζαν καὶ πηγὴν καὶ ἀρχὴν ἔχων τὸν Πατέρα*[6]*· ἐξ οὗ μόνου πρὸ πάντων τῶν αἰώνων, ἀσωμάτως, ἀπαθῶς, ἀῤῥεύστως. Γεννητῶς προῆλθεν ἀλλ' οὐ διαιρέθη. Θεὸς ὢν ἐκ Θεοῦ· οὐκ ἄλλος μὲν καθὸ Θεός· ἄλλος δὲ καθὸ Υἱός. Ἀεὶ ὢν, καὶ ἀεὶ ὢν Υἱὸς, καὶ ἀεὶ πρὸς τὸν Θεὸν ἀσυγχύτως ὤν. Λόγος ζῶν, φῶς ἀληθινὸν, ἐνυπόστατος σοφία, αἰτία καὶ ἀρχὴ τῶν γεγονότων πάντων, ὡς δι' αὐτοῦ πάντων γεγονότων*[7]*· ὃς ἐπὶ συντελείᾳ τῶν αἰώνων, καθάπερ οἱ προφῆται προηγόρευσαν, "ἑαυτὸν ἐκένωσε, δι' ἡμᾶς μορφὴν τὴν καθ' ἡμᾶς*[8] *λαβών" καὶ ἐκ τῆς Ἀειπαρθένου Μαρίας, εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος κυηθεὶς καὶ γεννηθεὶς, καὶ ὡς ἀληθῶς ἐνανθρωπήσας, γέγονεν ὅμοιος ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· μείνας ὅ περ ἦν Θεὸς ἀληθινὸς, ἐν μιᾷ ὑποστάσει καὶ μετὰ*[9] *τὴν ἐνανθρώπησιν ἐνεργῶν τὰ θεῖα πάντα ὡς Θεὸς, καὶ τὰ ἀνθρώπινα*

[1] Κ. χ. τὰ μετὰ τὴν λέξιν *ἀποτρεπόμενοι*, παρέλειψεν ὁ Κύριλλος πάντα. [2] ἐν τῷ ἡμετ. χ. Πιστεύωμεν. [3] Κυρ. χ. ἅγιον Πνεῦμα.
[4] Κυριλ. χειρ. οὐ μόνον. [5] καὶ Πν. ἑνὸς ἁγ. Προβολεύς· οὗ υἱὸς, εἷς· οὕτω τὸ Κυρίλλειον· τὰ δὲ μεταξὺ παρελείφθη. [6] Κ. χ. ἔχων Πατέρα.
[7] Κ. χ. αἰτία κ. ἀρχ. τῶν γεγονότων, ὃς ἐπὶ συντελ. [8] Κ. χ. ἐκκένωσε.
[9] Κ. χ. καὶ κατὰ τὴν ἐνανθρ.

πάντα ὡς ἄνθρωπος· καὶ τοῖς ἀδιαβλήτοις ἀνθρωπίνοις ὑποκείμενος πάθεσιν· ἀπαθὴς μὲν, καὶ ἀθάνατος ὢν καὶ διαμένων, ὡς Θεός· ἑκὼν δὲ δι' ἡμᾶς σαρκὶ παθὼν ὡς ἄνθρωπος. Καὶ σταυρωθεὶς καὶ θανὼν καὶ ταφεὶς, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάς· καὶ διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως αὐτοῦ, καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου[1]. *Καὶ μετὰ τὴν ἀνάστασιν ἐπιφανεὶς, καὶ εἰς τὸν οὐρανὸν*[2] *ἀναληφθεὶς, καὶ καθίσας ἐκ δεξιῶν τοῦ Πατρός. Ὁμότιμον καὶ ὁμόθρονον ὡς ὁμόθεον ποιήσας τὸ ἡμέτερον φύραμα· μεθ' οὗ πάλιν φυράματος, ἥξειν*[3] *μετὰ δόξης μέλλει κρῖναι ζῶντας καὶ νεκροὺς, πρὸς ζωὴν ἐπανελθόντας*[4] *τῇ δυνάμει τῆς αὐτοῦ παρουσίας, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.*

Τοῦτο καὶ ἡμεῖς τὸ παρ' ἡμῶν αὐτοῦ πρόσλημμά τε καὶ φύραμα, αἰσθητόν τε καὶ περιγραπτὸν εἰδότες, εἰκονίζομεν καὶ προσκυνοῦμεν εὐσεβῶς. Καὶ τὴν αὐτὸν ἐν παρθενίᾳ τεκοῦσαν· καὶ τοὺς αὐτῷ τελείως εὐαρεστήσαντας. Τούτου τὰ τῶν παθῶν σύμβολα, καὶ μάλιστα τὸν Σταυρὸν, καὶ τιμῶμεν καὶ προσκυνοῦμεν, ὡς τρόπαια θεῖα κατὰ τοῦ κοινοῦ πολεμίου. Τούτου τὴν ἀνάμνησιν ὅσαι ἡμέραι ποιούμενοι κατὰ τὴν αὐτοῦ ἐντολὴν, καὶ ἱερουργοῦμεν τὰ θειότατα, καὶ μετέχομεν τούτων. Τούτου κατὰ τὴν ἐπαγγελίαν[5], *πρὸ πάντων, βαπτιζόμεθά τε καὶ βαπτίζομεν, εἰς ἓν ὄνομα σεπτόν τε καὶ προσκυνητὸν, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.*

Ἐκ γὰρ τοῦ ἀϊδίου καὶ ἀνάρχου Πατρὸς, καὶ τὸ ἅγιον ἐκπορεύεται Πνεῦμα. Συνάναρχον μὲν ὂν Πατρί τε καὶ Υἱῷ, ὡς ἄχρονον· οὐκ ἄναρχον δὲ, ὡς αὐτὸ ῥίζαν καὶ ἀρχὴν καὶ αἰτίαν ἔχον τὸν Πατέρα· ἐξ οὗ πρὸ πάντων τῶν αἰώνων, ἀῤῥεύστως, ἀπαθῶς, ἐκπορευτῶς προῆλθεν. Ἀδιαίρετον ὂν Πατρός τε καὶ Υἱοῦ, ὡς ἐκ Πατρὸς προερχόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· ἀσύγχυτον καὶ τὴν ἕνωσιν ἔχον, καὶ ἀμέριστον τὴν διαίρεσιν. Θεὸς ὂν καὶ αὐτὸ ἐκ τοῦ Θεοῦ· οὐκ ἄλλος μὲν καθὸ Θεός· ἄλλος δὲ παράκλητος, καθὸ Πνεῦμα ἅγιον αὐθυπόστατον. Ἐκ

[1] Κ. χ. καὶ διὰ τοῦ θανάτου καταργήσας. [2] Κ. χ. ἐπιφανεὶς, εἰς τὸν οὐρ. [3] Κ. χ. ἥξει. [4] Κ. χ. ἐπανελθόντος. [5] Κυρ. χ. παραγγελίαν.

Πατρὸς τὴν ὕπαρξιν ἔχον, καὶ δι' Υἱοῦ πεμπόμενον εἰς ἀπαρχὴν ζωῆς αἰωνίου, καὶ ἀῤῥαβῶνα τῶν μελλόντων καὶ ἀεὶ μενόντων[1] *ἀγαθῶν. Αἴτιον καὶ αὐτὸ τῶν γεγονότων πάντων, ὡς ἐν αὐτῷ πάντων γεγονότων. Τὸ αὐτὸ καὶ ἀπαράλλακτον Πατρί τε καὶ Υἱῷ, χωρὶς τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως. Ἐπέμφθη δὲ παρὰ τοῦ Υἱοῦ πρὸς τοὺς οἰκείους μαθητὰς, τουτέστι πεφανέρωται. Πῶς γὰρ ἄλλως ἐπέμφθη τὸ πανταχοῦ παρὸν, καὶ τοῦ πέμποντος χωριζόμενον; Δι' ὃ μὴ μόνον παρὰ τοῦ Υἱοῦ, ἀλλὰ καὶ παρὰ τοῦ Πατρὸς, καὶ διὰ τοῦ Υἱοῦ πέμπεται, καὶ παρ' ἑαυτοῦ ἔρχεται· κοινὸν γὰρ ἔργον ἡ ἀποστολὴ, δηλονότι ἡ φανέρωσις, Πατρὸς Υἱοῦ καὶ Πνεύματος.*

Φανεροῦται δὲ, οὐ κατὰ τὴν οὐσίαν· οὐδεὶς γάρ ποτε Θεοῦ φύσιν, ἢ εἶδεν, ἢ ἐξηγόρευσεν· ἀλλὰ κατὰ τὴν χάριν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, ἥτις κοινή ἐστι Πατρὸς Υἱοῦ καὶ Πνεύματος. Ἴδιον μὲν γὰρ ἑκάστῳ τούτων, ἡ ἑκάστου ὑπόστασις, καὶ τὰ περὶ αὐτὴν ὑποστατικῶς θεωρούμενα· κοινὰ δὲ αὐτοῖς, οὐχ ἡ ἀνέκφαντος[2] *καὶ ὑπερώνυμος καὶ ἀμέθεκτος οὐσία μόνον, ἀλλὰ καὶ ἡ χάρις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια, καὶ ἡ λαμπρότης, καὶ ἡ ἀφθαρσία, καὶ ἡ βασιλεία, καὶ πάντα καθ' ἃ κοινωνεῖ καὶ κατὰ χάριν ἑνοῦται τοῖς ἁγίοις ἀγγέλοις τε καὶ ἀνθρώποις ὁ Θεός· μήτε διὰ τὸ μεριστὸν καὶ διάφορον τῶν ὑποστάσεων, μήτε διὰ τὸ μεριστὸν καὶ ποικίλων τῶν θείων δυνάμεών τε καὶ ἐνεργειῶν, τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτων.*

Οὕτω πιστεύομεν εἰς ἕνα Θεὸν, ἐν μιᾷ τρισυποστάτῳ καὶ παντοδυνάμῳ θεότητι· καὶ τοὺς ἐν τοιαύτῃ πίστει τῷ Θεῷ εὐαρεστήσαντας, ἀνακηρύττομεν. Τοὺς δὲ μὴ οὕτω πιστεύοντας, ἀλλ' ἰδίας αἱρέσεως, ἢ ἄρξαντας, ἢ τοῖς ἄρξασιν εἰς τέλος ἐπακολουθήσαντας, ἀποβαλλόμεθα.

Τοῦτο δὲ ἐστὲ γινώσκοντες, ἀδελφοὶ, ὅτι τὰ πονηρὰ πάθη καὶ τὰ δυσσεβῆ δόγματα, δι' ἀλλήλων εἰσάγεταί· λαβόντα χώραν ὑπὸ τῆς τοῦ Θεοῦ δικαίας ἐγκαταλείψεως. Ὅτι μὲν οὖν διὰ τῆς δυσσεβείας, ὁ πολυπαθὴς ἐσμὸς τῆς ἁμαρτίας λαμβάνει χώραν, ὁ μέγας Παῦλος ἡμᾶς ἐδίδαξε· γράφων περὶ τῶν

[1] Κ. χ. μεμενόντων.

[2] Κυρίλ. χ. ἀνέμφαντος.

Ἑλλήνων, ὡς ἐπεὶ "μὴ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, ἀλλὰ γνόντες Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν[1] ἢ ἐσεβάσθησαν, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πλεονεξίᾳ," καὶ τοῖς ἑξῆς. Ὅτι δὲ διὰ τῆς ἁμαρτίας ἡ δυσσέβεια πάλιν εἰσάγεται, διὰ πολλῶν τῶν τοῦτο παθόντων ἀθλίως, ἐστὶν ἡ παράστασις. Σολομὼν ἐκεῖνος, ἐκδοὺς ἑαυτὸν ταῖς σαρκικαῖς ἡδοναῖς, εἰς εἰδωλολατρείαν ἐξώλισθεν. Ἱεροβοὰμ δὲ κατάκρας ἡττηθεὶς φιλαρχίας, ταῖς χρυσαῖς δαμάλεσιν ἔθυσεν. Ὁ προδότης Ἰούδας φιλαργυρίαν νοσήσας, περιέπεσε τῇ θεοκτονίᾳ. Διὰ ταῦτα τοίνυν, ἐπεὶ καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρὰ καὶ ἀσύστατος, καὶ τὰ ἔργα χωρὶς τῆς πίστεως μάταια καὶ ἀνόνητα, συνῆψεν ἡ τοῦ Πνεύματος χάρις σήμερον ἐν τῷ σεπτῷ τῆς νηστείας καιρῷ καὶ τῆς κατ' ἀρετὴν ἀσκήσεως, τὴν ἀνακήρυξιν τῶν ὀρθοτομούντων τὸν λόγον τῆς εὐσεβείας, καὶ τὴν ἀποκήρυξιν τῶν μὴ ὀρθοτομεῖν ἑλομένων· ὡς ἂν ἡμεῖς συνηγμένως ἐπ' ἄμφω σπεύδοντες, καὶ τὴν πίστιν διὰ τῶν ἔργων ἐπιδειξώμεθα, καὶ τῶν πόνων τὸ κέρδος διὰ τῆς πίστεως κομισώμεθα.

Μὴ μόνον δὲ δι' ἀλλήλων εἰσάγεται τὰ πονηρὰ πάθη καὶ ἡ δυσσέβεια, ἀλλὰ καὶ ἀλλήλοις ἐοίκασι· καὶ ἵνα βραχύτι πρὸς τὴν ὑμετέραν ἀγάπην εἴπω, περὶ τῶν ἐφ' ἡμῶν ἀναφανέντων ἑτεροδόξων, καθάπερ ὁ Ἀδάμ, ἀπὸ παντὸς ἐσθίειν ξύλου τοῦ ἐν τῷ Παραδείσῳ παρὰ τοῦ Θεοῦ λαβὼν ἐξουσίαν, οὐκ ἠρκέσθη πᾶσιν ἐκείνοις, ἀλλὰ τῇ τοῦ ἀρχεκάκου ὄφεως συμβουλῇ πεισθείς, ἀπὸ τοῦ ξύλου ἔφαγεν, οὗ μόνου προσετάγη μὴ ἅψεσθαι· οὕτω καὶ τῶν ἐν τῷ Θεῷ ἀγαθῶν, καὶ ὄντως ἀγαθοπρεπῶν δωρεῶν εἰς μέθεξιν ὑπ' αὐτοῦ προκειμένων τοῖς βουλομένοις, κατὰ τὸν εἰπόντα, πάντα ὅσα ὁ Θεὸς καὶ ὁ διὰ τῆς χάριτος τεθεωμένος ἔσται, χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος, εἰσὶν οἳ καὶ αὐτῆς τῆς ὑπερουσίου οὐσίας μετέχειν ἡμᾶς διδάσκουσι, καὶ δύνασθαι κυρίως ὀνομάζειν αὐτὴν ἐπαγγέλλονται· καὶ τὸν ἀρχαίκακον ὄφιν μιμούμενοι, ὡς ἐκεῖνος τὰ τοῦ Θεοῦ,

[1] Κ. χ. ἀλλὰ γνόντες Θεόν, ἐδόξασαν· τὰ μεταξὺ λείπει. [2] Κ. χ. ἀθλίων.

οὕτως αὐτοὶ τὰ τῶν ἁγίων ῥήματα παρεξηγοῦνται καὶ διαστρέφουσιν. Ἀλλ' ἡμεῖς καὶ δύναμιν παρὰ τοῦ Κυρίου λαβόντες, [τοῦ πατεῖν] [1] *ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, πᾶσαν τὴν αὐτοῦ μηχανὴν καὶ πάγην, τήν τε κατὰ τῆς εὐσεβείας καὶ τῆς κατ' εὐσέβειαν πολιτείας εὐχερῶς συντρίψαντες, καὶ νικηταὶ διὰ πάντων αὐτοῦ φανέντες, τῶν οὐρανίων καὶ ἀκηράτων τῆς δικαιοσύνης ἐπιτευξόμεθα στεφάνων. Ἐν αὐτῷ Χριστῷ τῷ ἀδικάστῳ κριτῇ καὶ δοτῆρι τῶν ἀντιδόσεων, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

[1] Κυρίλ. χειρ. πατεῖν.

"ΙΣΟΝ ΤΗΣ ΟΜΟΛΟΓΙΑΣ

ΤΗΣ

ΚΡΑΤΑΙΑΣ ΚΑΙ ΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ [ΘΕΟΔΩΡΑΣ]

ΕΠΙ ΤΟΙΣ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΙΣ ΠΡΑΓΜΑΣΙΝ Ο ΠΕΡ ΔΙ ΟΙΚΕΙΟΧΕΙΡΟΥ ΣΤΑΥΡΟΥ ΑΠ ΑΡΧΗΣ ΕΠΙΣΤΩΣΑΤΟ ΚΑΙ ΚΑΤΩ ΔΙΑ ΤΗΣ ΟΙΚΕΙΑΣ ΣΤΗΛΗΣ ΕΝ ΧΡΥΣΗΙ ΒΟΥΛΛΗΙ ΦΕΡΟΜΕΝΗΣ ΚΑΙ ΑΠΗΩΡΗΜΕΝΗΣ ΔΙ ΟΞΙΑΣ ΜΕΤΑΞΗΣ."

ΘΕΟΔΩΡΑ

ΕΝ ΧΡΙΣΤΩΙ ΤΩΙ ΘΕΩΙ

ΠΙΣΤΗ ΑΥΓΟΥΣΤΑ

ΚΑΙ

ΑΥΤΟΚΡΑΤΟΡΙΣΣΑ ΡΩΜΑΙΩΝ,

ΔΟΥΚΑΙΝΑ ΚΟΜΝΗΝΗ

Η

ΠΑΛΑΙΟΛΟΓΙΝΑ [1].

ΟΥΧ ὥς περ ἐπὶ τῶν ἄλλων κατορθωμάτων, ὅσα τις ἐπὶ σωτηρίᾳ ἑαυτοῦ κατορθῶσαι δυνήσεται, οὕτω μοι καὶ ἐπὶ τῆς εὐσεβείας αὐτῆς δοκεῖ. Ἐκεῖνα μὲν γὰρ κρύπτειν καλὸν καὶ παντάπασι τηρεῖν ἀφανῆ· ἵν' ὁ βλέπων ἐν τῷ κρυπτῷ οὐράνιος Πατὴρ καὶ Θεὸς ἀποδιδοίη ἐν τῷ φανερῷ. Εὐσέβειαν δὲ τὴν καὶ ἀρετῆς ἁπάσης πηγήν τε καὶ μητέρα, οὐ κρύπτειν ἀλλ' ἐμφανίζειν τοῖς πᾶσι καὶ δημοσιεύειν σωτήριον. Καὶ τοῦτό ἐστιν ὡς ἐμοί γε φαίνεται τὸ ἡμέτερον φῶς, ὃ τὰ ἱερὰ Εὐαγγέλια ἔμπροσθεν τῶν ἀνθρώπων λάμπειν διακελεύεται. Διὰ τοῦτο οὔτε ποτὲ ἄλλοτε τὸ πρὸς Θεὸν εὐσεβὲς ὑπεστείλατο παραστῆσαι ἡ βασιλεία μου· οὔτε νῦν ὑποστέλλεται. Διατρανοῖ δὲ μᾶλλον καὶ διαβεβαιοῦται, οὕτως ἐν πᾶσι πιστεύειν, ὡς καὶ ἄνωθεν ἡ τοῦ Θεοῦ Ἐκκλησία ὁμολογεῖν καὶ πιστεύειν ἐδίδαξε. Τοῦτο οἶδε Θεὸς, ὁ καὶ τὰ βάθη τῶν καρδιῶν ἡμῶν ἐρευνῶν. Γινωσκέτωσαν δὲ καὶ πάντες ἄνθρωποι, ὡς οὐδὲν παρ' ἡμῖν

[1] "Σημ. Αὕτη ἡ βασίλισσα ὑπῆρχε σύζυγος Μιχαὴλ τοῦ Παλαιολόγου, ὃν ἡ τὸν Βέκκον καθελοῦσα Σύνοδος ἐστέρησε τῶν νενομισμένων μνημοσύνων θείῳ ζήλῳ κινηθεῖσα ἕνεκεν τῆς πρὸς Λατίνους οἰκονομικῆς ἑνώσεως. Τὴν τοιαύτην δὲ τῆς Συνόδου ψῆφον ἐπεκύρωσε διὰ τῆς παρούσης ὁμολογίας καὶ ἡ φιλευσεβὴς αὐτοῦ σύζυγος Θεοδώρα." Οὕτως ἐν τῷ χειρογράφῳ.

φρόνημα ἕτερον ἀλλ' ἢ τὸ γνήσιον τῆς καθολικῆς Ἐκκλησίας. Ἐπεὶ δὲ οὕτω φρονεῖ Θεοῦ χάριτι καὶ οὕτω πρεσβεύει ἡ βασιλεία μου, δῆλον πάντως ὅτι καὶ τὴν ὀλεθρίαν ὑπόθεσίν τε καὶ πρᾶξιν τὴν οὐ καλῶς ἐπὶ τῷ προλαβόντι χρόνῳ ἐπισυμβᾶσαν τῇ Ἐκκλησίᾳ καὶ αὐτὴν εἰς τέλος συγχέασαν, ἐκ ψυχῆς μέσης ἀποστρέφεται, μισεῖ, βδελύττεται· εἴτε εἰρήνη, εἴτε οἰκονομία, εἴτε τὶ παραπλήσιον ἕτερον οὐκ ἀληθῶς ὠνομάζετο· καὶ τοὺς ἐπαινοῦντας ἔτι καὶ νῦν αὐτὴν καὶ προκειμένους αὐτῇ πολεμίους ἡγεῖται τῆς τοῦ Θεοῦ Ἐκκλησίας· ἐπιβούλους δὲ τῆς ἑαυτῶν σωτηρίας· ἐχθροὺς δὲ καὶ λυμεῶνας καὶ τῶν παραδεχομένων αὐτοὺς καὶ ὡς προξένους ἀπωλείας ψυχῶν ἀποβάλλεται. Εἰ γὰρ καὶ τηνικαῦτα, ὅσον εἶχεν ἐκείνη τὸ ψυχοβλαβὲς διελάνθανεν, ἀλλά γε νῦν οὐ λανθάνει τὴν βασιλείαν μου· ἐδίδαξε γὰρ αὐτὴν αὐτὰ τὰ πράγματα, καὶ λόγοι μετὰ τῶν πραγμάτων ἀληθεῖς τε καὶ βέβαιοι. Πλὴν ἡ βασιλεία μου καὶ τότε τῇ χάριτι τοῦ Θεοῦ ἐνισταμένης λέγω τῆς ὑποθέσεως, σφόδρα ἐβαρύνετο καὶ ἐδυσχέραινε τὸ ἀσύνηθες καὶ καινοφανὲς τοῦ πράγματος, καὶ ἠγανάκτει ἐπ' αὐτῷ· κᾂν μὴ τὸ δεινὸν ὁπόσον ἦν ἐξηπίστατο· καὶ ἐν τῷ παρόντι δὲ πολὺ μᾶλλον ἀγανακτεῖ· σαφῶς ὁρῶσα τῆς οὐ καλῆς ἐκείνης ἐπινοίας οὐκ ἀγαθὸν ἀπαντῆσαν τὸ τέλος. Ἀλλὰ περὶ μὲν τούτων οὕτως ἔχει. Ἐπεὶ δὲ καὶ τὸν Βέκκον διὰ τὰ βλάσφημα αὐτοῦ δόγματα, ἔτι δὲ καὶ τὸν Μελητηνιότην[1] καὶ τὸν Μετοχίτην, ὡς ὁμόφρονας αὐτοῦ, ἡ τοῦ Θεοῦ κατεδίκασεν Ἐκκλησία καὶ ἀπεκήρυξε καὶ τῆς κοινωνίας ἑαυτῆς ἠλλοτρίωσε· τοιούτους δεόντως αὐτοὺς ἡγεῖται καὶ ἡ βασιλεία μου ἀκοινωνήτους, καὶ ἀποβλήτους, τῇ ψήφῳ τῆς Ἐκκλησίας ἀκολουθοῦσα. Ἐπεὶ δὲ τῇ αὐτῇ ἁγίᾳ Ἐκκλησίᾳ ἔδοξε, καὶ τὸν ἐμὸν αὐθέντην καὶ βασιλέα καὶ ὁμόζυγον τελευτήσαντα μὴ ἀξιῶσαι μνημοσύνων τῶν νενομισμένων, δι' αἰτίαν τῆς ῥηθείσης ὑποθέσεως καὶ τῆς ἐντεῦθεν συγχύσεως, ἡ βασιλεία μου τὸν τοῦ Θεοῦ προτιμῶσα φόβον, καὶ τὴν εἰς τὴν ἁγίαν αὐτοῦ Ἐκκλησίαν εὐπείθειαν στέργει, καὶ καταδέχεται τὸ δόξαν ἐπὶ τούτῳ αὐτῇ· καὶ οὐ μή ποτε ἀναγκάσει μνημόσυνα ποιεῖν

[1] Τὸ ὄνομα τοῦτο, Μελιτινιότης ἀλλαχοῦ εὕρηται γεγραμμένον· ὅρα σελ. 55. ϛίχ. 16.

ἐπὶ τῷ αὐθέντι μου τῷ βασιλεῖ τῷ ὁμοζύγῳ μου, οὐδ' ἄλλοτι παρὰ τὸ διατεταγμένον αὐτῇ. Ἕπεται γὰρ κατὰ πάντα καὶ ἀκολουθεῖ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τὴν ἰδίαν πάντως ἐντεῦθεν σωτηρίαν οἰκονομοῦσα· καὶ τὴν εὐσέβειαν ἑαυτῆς γνωρίζειν τοῖς πᾶσι καὶ φανεροῦν ἐθέλουσα· ἣν ἄνωθεν ἐκ πατέρων παραλαβοῦσα καὶ μέχρι τοῦ παρόντος χρόνου συζύσασα[1], φυλάξει καὶ ἕως τέλους τῇ τοῦ πλάσαντος αὐτὴν καὶ ἀναδείξαντος Θεοῦ δυνάμει φυλαττομένη[2].

[1] Οὕτως ἐν τῷ κειμένῳ· ἐν δὲ τῷ περισελιδίῳ αὐτοῦ συζήσασα.

[2] Τὴν τῆς Ἀνάσσης Θεοδώρας ὁμολογίαν ταύτην ἀποστείλας, ἅμα τοῖς προημένοις πᾶσι, πρὸς τὸν σοφὸν Ἐῤῥῖκον, ἔγραψεν ἡμῖν τάδε·

Ἐῤῥῖκος, Σιμωνίδῃ εὖ πράττειν.

"Χαίρομαι, ὦ πολυπαθέστατε νεανία, ὁρῶν σε ὑπὲρ τῆς ἀληθείας ἀγωνιζόμενον, καὶ μάλιστα διαδίδοντα ἤδη τῷ τύπῳ τὰ συγγράμματα τῶν ἐνδόξων προγόνων σου· οὕτω γὰρ ποιῶν δικαιωθήσῃ.

"Τοὺς τέσσαρας θεολογικοὺς λόγους καὶ τὰς τρεῖς ἐπιστολὰς ἐγκαίρως ἐδεξάμην καὶ εὐγνωμονῶ σοι, ὅτι ἡ ἀνάγνωσις αὐτῶν διδακτικὴ οὖσα ἅμα δὲ καὶ θελκτικὴ πολλὰ ἐδίδαξέ με ὠφέλημα. Ἔστι δὲ τὰ πάντα, καθόσον ἐγὼ οἶδα, ἄγνωστα, ὅ περ οὐκ ὀλίγον εὐχαριστεῖ με, καὶ μάλιστα, ὅτι ἀναφέρονται καὶ παρὰ τοῖς βιβλιοθηκογράφοις.

"Τὴν δὲ τῆς Κομνηνῆς Θεοδώρας ὁμολογίαν χθὲς περὶ τὴν δεκάτην ἐκομισάμην, καὶ λέγω σοι εἶναι κειμήλιον τῆς ἐκκλησιαστικῆς ἱστορίας. Δι' ὃ δέομαί σου πρόσθες καὶ τοῦτο τοῖς τέσσαρσι λόγοις· οὐδαμοῦ γὰρ εἶδον αὐτήν. Οὐκ ὀλίγον δὲ εὐχαρίστησάν με καὶ αἱ σημειώσεις σου, ὅτι λίαν ἱστορικαί εἰσιν· αἱ δὲ ἐπιγραφαὶ μεγάλην, ὦ φίλτατε, ἐποίησάν μοι τὴν ἐντύπωσιν, ἅμα δὲ καὶ τὴν χαράν. Δι' ὃ καὶ τοὺς κατηγόρους σου οἰκτείρω. Ἔῤῥωσο τοίνυν καὶ ἀνδρίζου τὸ ἀγαθὸν ἀεὶ ἐργαζόμενος.

"Ἐν Λονδίνῳ τῇ 30 Ἰουλίου 1858."

ΤΟΥ

ΕΝ ΘΕΟΛΟΓΟΙΣ ΚΑΙ ΙΑΤΡΟΙΣ

ΚΛΕΙΝΟΤΑΤΟΥ

ΓΕΩΡΓΙΟΥ ΚΟΡΕΣΣΙΟΥ ΤΟΥ ΕΚ ΧΙΟΥ

ΣΥΝΤΟΜΙΑ

ΤΩΝ ΙΤΑΛΙΚΩΝ ΑΜΑΡΤΗΜΑΤΩΝ

ΤΟΥ

ΑΡΙΘΜΟΥ

Η ΠΕΡ ΠΡΩΤΟΝ ΗΔΗ ΕΝ ΛΟΝΔΙΝΩΙ ΕΚΔΙΔΟΜΕΝΗ

ΤΟΙΣ ΤΟΥ

ΕΜΠΟΛΑΙΟΥ ΑΜΑ ΔΕ ΚΑΙ ΛΟΓΙΟΥ ΕΡΜΟΥ ΘΙΑΣΩΤΑΙΣ

ΠΟΛΥΕΙΔΗΜΟΣΙ ΧΙΟΙΣ

ΤΟΙΣ ΤΟΥ

ΣΥΓΓΡΑΦΕΩΣ ΠΟΛΙΤΑΙΣ

ΚΑΘΙΕΡΟΥΤΑΙ

ΥΠΟ

ΤΟΥ ΕΚΔΟΤΟΥ

Κ. ΣΙΜΩΝΙΔΟΥ.

͵ΑΩΝΗʹ.

N

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΚΟΡΕΣΣΙΟΥ [1]

ΙΑΤΡΟΥ ΚΑΙ ΘΕΟΛΟΓΟΥ

ΣΥΝΤΟΜΙΑ

ΤΩΝ ΙΤΑΛΙΚΩΝ ΑΜΑΡΤΗΜΑΤΩΝ

ΤΟΥ ΑΡΙΘΜΟΥ.

ΠΟΛΛΑΚΙΣ τῶν Ἰταλῶν ἐθαύμασα διὰ τὸ πρὸς τὰς καινοτομίας εὐόλισθον· καὶ γὰρ μηδὲν ἐκεῖνοι τοῖς ἱεροῖς θεσμοῖς τε καὶ σταθμοῖς ὑποκύπτοντες, οὐκ οἶδ' ὁτουδήποτε παρὰ τὸ τρέφεσθαι κενοδοξίας καπνοῖς, νεωτέρων δογμάτων εἰσηγηταὶ γίγνονται καθ' ἡμέραν, καὶ τοῦ εἰρηναίου καὶ ἀστασιάστου βίου προαιροῦνται τὸν παντοίας ἔριδος καὶ στάσεως γέμοντα· καί περ τῶν εἰρηναίων παρὰ τῆς ἄκρας εἰρήνης φυομένων, καὶ τῶν σκανδάλων παρὰ τοῦ πατρὸς τῶν ζιζανίων ἀπογεννωμένων· οὐχ ἧττον δὲ ξυνετὸν τοῖς πᾶσι καὶ τοῦτο καθέστηκε, μὴ θάλλειν τὰ σκάνδαλα ὑπὸ τῶν τοῖς ἀρχαίοις διευθυνομένων ὅροις τε καὶ κανόσιν· ἀλλ' ἐκείνων πάντως ἐκτρεπομένων, ἤ περ ἀγνοίας ἢ κενοδοξίας ἢ καὶ ἀμφοτέρων ἕνεκα [2]. Ἡμεῖς δ' ὥς περ τὸ ἐν

[1] "Τοῦ αὐτοῦ Κυροῦ Γεωργίου τοῦ Κορεσσίου" καὶ τὰ ἑξῆς ἔχει ἐν τῷ πρωτοτύπῳ, ὅτι προηγοῦνται τοῦ λόγου τούτου καὶ ἕτεροι τοῦ αὐτοῦ ἀνδρὸς, καθάγε ἐν τοῖς προλεγομένοις γίνεται δῆλον. Τὰ δὲ περὶ τοῦ πολυΐδριος τούτου ἀνδρὸς Κορεσσίου ἔγραψαν ὅ τε κλεινὸς Φαβρίκιος ἐν τῇ Ἑλληνικῇ βιβλιοθήκῃ, καὶ ὁ Κ. Οἰκονόμος ἐν τῇ περὶ τῶν Ἑβδομήκοντα συγγραφῇ, καὶ Βλαστὸς ὁ Χῖος ἐν τοῖς Χιακοῖς. Δι' ὃ εἰ βούλεται ὁ εὐμενὴς ἀναγνώστης μαθεῖν τὰ περὶ τοῦ ἀνδρὸς ἀναγινωσκέτω τούτους.

[2] Ἀληθῶς οὐκ ἐπαύσαντο οὐδὲ παύσουσιν, ὡς ἔοικεν, οἱ τῶν Λατίνων Ἱεράρχαι καπηλεύειν τὰ ἅγια· καὶ γὰρ καινοτομανεῖς ὄντες φύσει οὗτοι οὐδὲν ἕτερον ἴσασιν εἰ μὴ τὸ τὰ πάντα ἀεὶ ταράττειν, καὶ τὰ καλῶς κείμενα ἀνατρέπειν, καὶ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ παρενοχλεῖν καινοῖς σατανικοῖς δόγμασι. Τί γὰρ ἔστι τὸ χθὲς δογματισθὲν ἐν Ῥώμῃ γελοῖον δόγμα εἰ μὴ Σατανικὴ ἔμπνευσις, πρόθεσιν ἔχουσα τὴν τῶν Γραφῶν ἀνατροπήν; Ἤκουσα πολλοὺς τῶν Λατίνων ἱερέων λέγοντας πρὸς ἀλλήλους τὰ ἀξιοσημείωτα ῥήματα τάδε·

οὐ παικτοῖς παίζειν, ἔκθεσμον εἶναι ᾠήθημεν· οὕτως ἐκκαλύπτειν τῶν τοιούτων τὴν ἀναίδειαν ὡς εἰκὸς καὶ ἔνεργον, δεῖν ἐνομίσαμεν· καὶ ταῦτα τοῦ Ἀποστόλου παραινοῦντος "χρῆναι ἡμᾶς ἑκάστῳ λόγον ἀποδοῦναι περὶ τῆς πίστεως ἀνιχνεύοντι." Αἱ μὲν οὖν θεοσύλλεκτοι Σύνοδοι, πολὺ ἱερῶν πλῆθος πατέρων συνέχουσαι, ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ ἅγιον Πνεῦμα διώρισαν· τινὲς δὲ τῶν ἐραστῶν τῶν σκανδάλων, κᾀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι πείθουσι τὸν Πάπαν πρεσβεύειν καὶ ἄλλους ἔτι διδάσκειν.

Εἶτά, φασι, τοσοῦτον τῶν θεοφόρων πατέρων ἑσμὸν διδάσκειν μὲν ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα προάγεσθαι· ἐννοεῖς δ' ὅμως, κᾀκ τοῦ Υἱοῦ αὐτὸ προέρχεσθαι· ὅ περ ἀνάρμοστον ὅλως φαίνεσθαι παντί γε πρόδηλον εἶναι ὑπολαμβάνω· ἕκαστος γὰρ τῶν ξυγγραφέων, ὅ περ γράφει πάντως καὶ ἐννοεῖ· διὰ τὸ, τὰς φωνὰς τῶν νοημάτων, ὑπάρχειν σύμβολα. Ἀλλ' αὖθις μὴ φάναι ἐκείνους ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα προβάλλεσθαι οὗτοι ἀντάγουσιν· ἡμεῖς δὲ, τοῦτο συνυπεμφαίνεσθαι διϊσχυριζόμεθα· οὐ γὰρ ὡς ἔτυχε καὶ ἁπλῶς χωρὶς τῆς τοῦ Υἱοῦ εἰσφορᾶς, ὁ Πατὴρ κατ' ἐκείνας ἐκπορευτικὸς τοῦ Πνεύματος προσονομάζεται. Ἔπειτα μὴ φάθι αὐτὸς κᾀκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τότε μηθ' ἡμεῖς, τῇ ἐκ μόνου λέξει προσθήσομεν. Ἀλλ' αὖ ἀντιτείνεις τινὰς τῶν ἁγίων δι' οἰκείων ξυγγραμμάτων τὸ ἐκ τοῦ Υἱοῦ διδάξασθαι. Αὐτὸς δ' αὖθις ἀνταποκρίνομαι. Καὶ τούτου ὑποτεθέντος, τοὺς συνοδικοὺς πατέρας ὑπερτείνειν τὸν ἀριθμὸν τοὺς τἀναντία διδάξαντας· προσθείην δ' ἂν τῷ λόγῳ, τὴν ἱερὰν Ἐκκλησίαν μὴ μερικοῖς τῶν ἁγίων, ἀλλὰ συνόδοις τῶν οἰκουμενικῶν διοικεῖσθαι καὶ διϊθύνεσθαι· καὶ γὰρ σύνοδος μὲν οἰκουμενικὴ οὐκ ἔχει τῆς ἀληθείας ἐκπίπτειν· μερικὸς δὲ ἅγιος καθ' ὃ ἄνθρωπος, ἅπαξ

"Τὸ μωρὸν τοῦτο δόγμα, ὅ περ ἡ κουφότης τῶν Πνευματικῶν ἀρχῶν ἡμῶν ἐπ' ἐσχάτων ἐδογμάτισε διαιρέσει καὶ αὖθις τὴν Ἐκκλησίαν ἡμῶν εἰς πολλὰ τμήματα· καὶ οὕτω πληρωθείσεται κατὰ πάντα, ὅ περ ὁ σχισματικὸς! ἐκεῖνος τῶν σχισματικῶν! Ἑλλήνων ἱεράρχης Παλαμᾶς ἐπροφήτευσε λέγων, (De Ecclesia Romana scindenda in multas partes,) 'Γινώσκετε, τέκνα μου, ὅ τι ἡ Ἐκκλησία τῆς Ῥώμης μέλλει διαιρεθῆναι εἰς πολλὰ τμήματα.'" (Ὅρα περὶ Παλαμᾶ Φαβρίκιον ἐν τόμῳ ϛ' σελ. 336, καὶ ἐν τόμῳ ι' σελ. 454 ἔκδ. β').

τῆς ἀληθείας ἐξοκεῖλαι καὶ δύναται· οὐ μόνον δὲ τὴν τοιαύτην δόξαν οἱ ἀγαθοὶ ἐκεῖνοι ἐπρέσβευσαν· ἀλλὰ καὶ τῷ συμβόλῳ ἀνέδην προσῆψαν· οἵ περ διττοῦ ἐφήψαντο τοῦ ἁμαρτήματος.

Τρίτον δὲ, τὰς ψυχὰς τῶν ἁγίων καὶ πρὸ τῆς κρίσεως ἀπολαύειν τῆς ἰδίας τελειότητος οἴονται.

Τέταρτον δὲ, καὶ πῦρ δοξάζουσι καθαρτήριον καὶ αὐτοῖς τοῖς πρεσβεύουσιν ἄγνωστον.

Πέμπτον, τὸν ἐπίσκοπον τῆς Ῥώμης θεοποιοῦντες τὸ ἀναμάρτητον ἐκείνῳ παρέχονται· καὶ ἄλλως τεταρατεύονται (ἴσ. τερατεύονται) δύνασθαι μὲν ἁμαρτωλὸν εἶναι, μὴ δ' αἱρετικὸν, μηδαμῶς· ἀλλ' ὄντως ἑνὸς ἀτόπου δοθέντος τἄλλα συμβαίνει· οὐδέπω γὰρ τὰ συνοδικὰ τοῦ Πάπα οἰκουμενικὰ προσεκλήθη· οὔτε δὴ οἰκουμενικαῖς συνόδοις συνταχθέντα ἐφάνη.

Ἕκτον, οἱ μὲν ἱερεῖς τοῦ σώματος καὶ τοῦ αἵματος ὑπὸ διττοῖς εἴδεσι τοῦ ἄρτου δηλαδὴ καὶ τοῦ οἴνου μεταλαμβάνουσιν· οἱ δὲ λαϊκοὶ ὑφ' ἑνὶ μόνῳ εἴδει ἀξιοῦνται παρ' ἐκείνων τῆς κοινωνίας· καί περ εἰπόντος τοῦ Κυρίου "πίετε ἐξ αὐτοῦ πάντες." Εἰ δ' ἀντάγεις μόνοις ῥηθῆναι τοῖς Ἀποστόλοις τὸ, πίετε, ὃν τρόπον καὶ μόνοι προφαγόντες τῆς κοινωνίας ἠξιώθησαν, κατηγορεῖ σου προφανῶς τῆς Ἐκκλησίας ἡ παράδοσις διὰ τῶν θείων λειτουργιῶν, καὶ ἄλλων ἀρχαίων ἀφηγημάτων παραδεδομένη. Κατηγορεῖ δέ σου καὶ ἡ ἐν Ἐφέσῳ σύνοδος· μάλιστα δ' αὐτοὶ κατηγοροῦσι σου οἱ λόγοι· "Ὃς γάρ, φησι, μὴ φάγῃ τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίῃ αὐτοῦ τὸ αἷμα οὐκ ἔχει ζωὴν αἰώνιον." Προσέτι ὁ θεῖος Κυπριανὸς ἐν τῇ Β^{ᾳ} τῶν ἐπιστολῶν τοῦ ἰδίου βιβλίου, διδάσκει χρῆναι τοὺς ἱερέας ποτήριον οἴνου παρέχειν τῷ λαῷ. Ταὐτὸ διδάσκει καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῇ ΙΗ^{η} τῶν οἰκείων ὁμιλιῶν ἐξηγούμενος τὴν ὑστάτην τοῦ Παύλου ἐπιστολὴν πρὸς Κορινθίους. Εἰ γὰρ καί τινες καιρῶν ἀνάγκαις πάλαι παρὰ Λατίνων ὑφ' ἑνὶ μόνῳ εἴδει μετέσχον τῆς κοινωνίας, καὶ αὐτῶν εἰ βούλει γε τῶν Γραικῶν, ὅμως τὸ τῶν Ἑλλήνων καὶ τῶν Ἰταλῶν σύνολον ὑπ' ἀμφοτέρῳ εἴδει τὴν κοινωνίαν παρεῖχε. Ἐχρῆν δ' ὥς περ πάλαι καὶ νῦν τὴν τῶν Λατίνων Ἐκκλησίαν τὴν ἀρχαίαν ἐνστερνιζομένην παράδοσιν, μὴ παρενοχλεῖν τὴν τοῦ Χριστοῦ

'Εκκλησίαν· "οὐαὶ γάρ φησιν ἐκείνῳ δι' οὗ τὰ σκάνδαλα ἔρχεται."

Ἕβδομον, τῆς θεοπρεπεστέρας ἀπολειπόμενοι ζωγραφίας, ὑλικαῖς μορφοποιΐαις τὴν Θεομήτορα καὶ ἄλλους τῶν ἁγίων διαγράφειν πεπείρανται· οὐ γὰρ ὡς σεμνοτάτην παρθένον μᾶλλον πασῶν τῶν νεανίδων τὴν σάρκα, καὶ κατὰ τὸν ἱερὸν Διονύσιον, ἀπονεκρώσασαν ζωγραφοῦσι τὴν Θεοτόκον· ἀλλ' ὡς εὐκοσμίαις χαίρουσαν, καὶ τεχνητοῖς κάλλεσι διαπρέπουσαν, καὶ περὶ ἐφημέρους τῶν αἰσθήσεων ἐπικρατείας καταγιγνομένην ἐναργῶς παριστῶσι· καὶ ἀκολούθως οὐ τιμῶσιν ἀληθῆ καὶ ζῶσαν σχεδὸν τῆς ὑπεράγνου Θεοτόκου μορφὴν μηδὲν τὸ πρωτότυπον ἀπεικονίζουσαν. Ὁμοίως δὲ καὶ ἄλλας χρωματίζειν, πολλῷ τῷ μέτρῳ τῶν ἀρχετύπων ἀπολειπομένας εἰκόνας προάγονται.

Ὄγδοον, καὶ μουσικὰς ἐν 'Εκκλησίαις ὀργανοῦσι βοαῖς ἀτάκτοις καὶ κοσμικαῖς ἁρμονίαις συναρμοζομένας κατὰ τῆς τῶν ἁγίων παραδόσεως.

Ἔννατον, ἄνθρωποι ὑποκρίνονται τὸν Χριστὸν καὶ τὴν Θεοτόκον καὶ ἄλλους τῶν ἁγίων μηδὲν δυνάμενοι τὰ ἀρχέτυπα ἀπεικονίζειν παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν.

Δέκατον, καὶ ἄῤῥεσι θηλείας συγχέοντες ἐν ταῖς 'Εκκλησίαις, προξενοῦσι τοῦ ἁμαρτάνειν ἀφορμάς. Ἄθρει ἄρ', ὦ φιλακροάμων, ὡς πολλῷ τῷ μέσῳ τὰ ἡμέτερα ὑπάρχει τῶν Ἰταλικῶν ἐθῶν σεμνότερα· καὶ ὡς μᾶλλον φέρεται κατὰ τῆς ὑλικῆς προσπαθείας· καὶ ὅτι καὶ νηστεῖαι καὶ ἀγρυπνίαι καὶ ἕτεροι περὶ τὰς 'Εκκλησίας πόνοι δαψιλέστερα παρ' ἡμῖν.

Ἑνδέκατον, τοῦ γάμου τοὺς ἐκκλησιαστικοὺς ἀπείργουσι κατὰ τῆς ἐν Τρούλλῳ συνόδου· καὶ ταύτῃ αἴτιοι γίνονται ἐκείνοις πορνείας διηνεκοῦς· καὶ ἁπλῶς εἰπεῖν κατ' Ἀποστολικῆς διατάξεως ἀνέδην χωροῦσι.

Δωδέκατον, πανταχοῦ καὶ ἀπροσδιορίστως τῷ Θεῷ προσκυνοῦσι, διὰ τὸ εἶναι ἐκεῖνον ἀπερίγραπτόν τε καὶ ἀπεριόριστον· μὴ συνορῶντες κἀπὶ τοῦ παρόντος τῇ ἀρχαίᾳ παραδόσει, καὶ κατὰ τὸν θεῖον Δαμασκηνὸν, καὶ κατὰ τὸν 'Ωριγένην ὁμιλίᾳ Εϛ' περὶ τοῦ βιβλίου τῶν ἀριθμῶν, καὶ κατὰ τὸν ἱερὸν ἀντιτείνειν

Βασίλειον· προσκυνοῦμεν γὰρ κατ' ἀνατολὰς ὅπου ἐφύτευσεν ὁ Θεὸς τὸν Παράδεισον, τὸ πλημμελὲς τοῦ Πρωτοπλάστου θεραπεύοντες· ὅπου γὰρ τὸ σφάλμα, ἐκεῖ πάντως καὶ ἡ μετάνοια· μάλιστ' ἐπειδὴ ἀνατολὴ τῷ Σωτῆρί ἐστι τοὔνομα· ἐκεῖ γὰρ μάλιστα διαπρέπει ἡ τοῦ ἡλίου τῆς δικαιοσύνης ἐνέργεια. Ἄθρει δ' ὡς καὶ τῷ Οὐρανῷ ἐνατενίζομεν προσευχόμενοι, καίπερ πανταχοῦ ὄντος τοῦ Θεοῦ· ἐκεῖ γὰρ σφόδρα διαλάμπει ἡ θεία ἐνέργεια· κατὰ τὸ, "Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς."

Δέκατον καὶ τρίτον, τοῖς Κυριακοῖς μόνοις λόγοις τὸν ἄρτον εἰς σῶμα Χριστοῦ καὶ τὸν οἶνον εἰς τὸ ἐκείνου αἷμα βούλονται μεταβάλλεσθαι· μὴ ἐφιστῶντες τὰς εὐχὰς μετὰ τὰ Κυριακὰ λόγια διεξιούσας, "ποίησον τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου· τὸ δ' ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ." Εἰ ἄρ' ὁ ἱερεὺς εὔχεται Θεῷ, ὅπως μεταβάλῃ τὸν ἄρτον εἰς σῶμα Χριστοῦ, καὶ τὸν οἶνον εἰς τὸ ἐκείνου αἷμα· οὐκοῦν ταῦτα διὰ μόνων τῶν Κυριακῶν λόγων μεταβάλλεται[1]· ἄλλως μάτην ἂν ὁ πρόπολος ηὔχετο· Ἀλλά, φασιν οἱ Λατῖνοι, τὸ, μεταβαλὼν καὶ τὸ ποίησον, ἔχειν προσυπακουόμενον τὸ ὥστε γενέσθαι· ἐπειδὴ τῷ ἁμαρτωλῷ, οὐ σῶμα τὸ Κυριακὸν σῶμα, οὐδὲ αἷμα τὸ Κυριακὸν αἷμα, ἀλλὰ φλὸξ γίγνεται. Ἀλλ' ὄντως ἡ τοιαύτη λύσις κομιδῆ ἐστιν εὐκαταφρόνητος διὰ πλείους αἰτίας. Πρῶτον, Ἐπείτοι γε ὁ τοιοῦτος τοῦ λέγειν τρόπος οὔπω ἔῤῥωται· οὐδεὶς γὰρ τῶν θεοφόρων πατέρων εὐχόμενος, ποίησον, λέγει τὸ σῶμά σου ἐμοὶ γενέσθαι σῶμά σου· καὶ τὸ αἷμά σου, ἐμοὶ γενέσθαι αἷμά σου· ἀλλὰ δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· "Καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα, εἰς ἴασιν καὶ κάθαρσιν, καὶ φωτισμὸν, καὶ φυλακτήριον, καὶ σωτηρίαν, καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος." Ταῦτα μὲν ἄρα φασὶν οἱ πατέρες, ἐκεῖνο δ' οὔ. Δεύτερον δ' εἰς τὸ Κυριακὸν σῶμα, καὶ εἰς τὸ Κυριακὸν αἷμα δὶς ἂν κατ' αὐτοὺς ὁ ἄρτος καὶ ὁ οἶνος μετεβλήθη· πρότερον μὲν κατὰ τὴν φύσιν τῶν προκειμένων, δεύτερον δὲ καθ' ἡμᾶς. Καὶ ὅμως κατὰ μίαν μόνην

[1] Ἐν τῷ χειρογράφῳ οὐ μεταβάλλεται.

μεταβολὴν τὰ προκείμενα μετουσιοῦται δῶρα. Τρίτον, ἄκουσον ὁ ψιττακός· αἱ ἕτεραι τῶν λειτουργιῶν, ἤγουν ἡ τοῦ Κλήμεντος καὶ τοῦ Ἰακώβου, οὐκ ἔχουσιν ἐν τῇ εὐχῇ τὸ, ὥστε γενέσθαι. Οὐκοῦν ἐπειδὴ εὔχεται τῷ Θεῷ ὁ θύτης, ὅπως ποιήσει τὸ μὴ πεποιημένον· καὶ μεταβάλῃ τὸ μὴ μεταβεβλημένον, προφανῶς μετὰ τὰς εὐχὰς ἡ μεταβολὴ γέγονεν. Ἐπειδὴ δὲ διὰ τῆς ἑτέρας λειτουργίας ἡ ἑτέρα ἐκτίθεται, πάντως συνάγεται ἡ ἐπαχθεῖσα ἄνωθεν ἀκολουθία. Καὶ ὁ Πρόκλος γὰρ περὶ παραδόσεως τῆς ἱερᾶς λειτουργίας, διὰ τῶν εὐχῶν, ἔφασκεν, ἀναμένειν τοὺς Ἀποστόλους τὸ Πνεῦμα τὸ ἅγιον, ὅπως εἰς σῶμα καὶ αἷμα ὁ ἄρτος καὶ ὁ οἶνος μεταβληθῇ. Τέταρτον, ὁ θεῖος Δαμασκηνὸς ἀκριβέστατος ὢν ἐξηγητὴς τῆς τοῦ μεγάλου πατρὸς Βασιλείου λειτουργίας, "εἰ γάρ, φησιν, ἀντίτυπα τὸν ἄρτον καὶ τὸν οἶνον ὁ μέγας ἀπεκαλέσατο Βασίλειος, ταῦθ' οὕτως πρὶν ἁγιασθῆναι προσηγόρευσε." Πέμπτον, ὡς ἀληθῶς μετὰ τὴν μεταβολὴν, οὐκ ἔτι τὸ σῶμα τοῦ Κυρίου ἄρτος ἀποκαλεῖται, ἀλλὰ σῶμα Χριστοῦ· οὐδ' οἶνος τὸ αἷμα τοῦ Κυρίου κέκληται. Ἐν δὲ τῇ εὐχῇ, ποίησόν, φησιν ὁ ἱερεὺς, τὸν ἄρτον σῶμα· καὶ τὸν οἶνον αἷμα. Οὐκοῦν πρὸς τὰ προκείμενα δῶρα καὶ μὴ πρὸς τοὺς μεταλαμβάνοντας ἔχουσι τὴν ἀναφορὰν οἱ τῆς εὐχῆς λόγοι. Ἔχει δ' ᾧδε τὸ πᾶν· ὁ ἱερεὺς διηγηματικῶς φησι τοὺς λόγους τοῦ Σωτῆρος καὶ καθ' ἱστορίαν· οἱ δὲ τοῦ Σωτῆρος, τοῦ πρώτου ἱερέως λόγοι, πρὸς τὸν τότε ἄρτον καὶ τὸν τότε οἶνον ἀπέβλεπον τὰ τότε μεταβληθέντα. Οὐκοῦν οὐ μεταβάλλεται δι' ἐκείνων τὰ καθ' ἑκάστην τοῖς ἱερεῦσι προτιθέμενα, εἰ μὴ δεηθῶσι τοῦ ἱερέως τοῦ πρώτου, οἱ παρ' ἐκείνου τὴν ἱερωσύνην δεξάμενοι· ὅπως καταφοιτήσῃ ἡ θεία χάρις τοῖς προκειμένοις δωρήμασι, κἀκεῖνα εἰς σῶμα καὶ αἷμα μεταῤῥυθμίσῃ Χριστοῦ. "Ἐκεῖνος γὰρ, ὁ Σωτὴρ δηλονότι, ἐκείνοις ἐπέταξε τοιαύτην ἐπιτελεῖν θυσίαν εἰς τὴν ἐκείνου ἀνάμνησιν." Σύνες δ' ὡς καὶ ὁ Λατῖνος ἱερεὺς παραπλησίως τῷ Γραικῷ δέεται, μετὰ τοὺς Κυριακοὺς λόγους, ὅπως ἀναληφθῶσιν εἰς Οὐρανὸν τὰ προκείμενα, καὶ τὰ ἑξῆς. Τινὲς μέντοι βουλόμενοι τῆς ἀληθείας ἀποτρέπεσθαι, λέγουσι τὰς εὐχὰς πρὸ τῶν Κυριακῶν λόγων πάλαι διατίθεσθαι· ὕστερον δὲ τινὰς τῶν Γραικῶν ταύτας μετατάξαι· ὅμως ὅτι ἡ

τοιαύτη πρόφασις κατ' οὐδὲν εὐλόγου αἰτίας ἔχεται, πρόδηλον. Καὶ γὰρ ὁ ἐν ἁγίοις Γερμανὸς ὁ τῆς Κωνσταντινουπόλεως Πατριάρχης, ἐξηγησάμενος τὴν λειτουργίαν, οὐδεμίαν μνήμην τῆς τοιαύτης μεταθέσεως πεποίηται· πρόσθες τῷ λόγῳ κενὸν καὶ μάταιον τῶν σοφιζομένων εἶναι κοιλίας γέννημα τὸ λεγόμενον· οὐδεὶς γὰρ τῶν ἀρχαίων ἱστορικῶν πώποτε τοιοῦτον ἐφαντάσθη λήρημα. Σκόπει δ' ὡς καὶ ὁ ἱερὸς Ἰουστῖνος ἐν τῇ Β$^{\eta}$ τῶν οἰκείων ἀποκρίσεων, καὶ ὁ Κύριλλος ἐν τῇ Γ$^{\eta}$ καὶ Δ$^{\eta}$ τῶν κατηχήσεων, οὐχ ἧττον δὲ καὶ ὁ τῆς Ἀλεξανδρείας πατριάρχης Κύριλλος ἐν τῷ ΙΕ$^{\varphi}$ τῶν πρὸς Ἰωάννην κεφαλαίῳ ΚΔ$^{\varphi}$ διὰ τῆς εὐχῆς τὸ μυστήριον ἐκτελεῖσθαι διαῤῥήδην διδάσκουσι. Σύνες δ' ὅτι τοὺς μὲν μετὰ τὰς εὐχὰς τὸ μυστήριον γίγνεσθαι φάσκοντας, καὶ ἀρχοειδῶς διὰ τῶν Κυριακῶν ῥημάτων μηδεμιᾷ περιπίττειν τῶν ἀντιθέσεων· τοὺς δὲ διὰ μόνων τῶν Κυριακῶν ῥημάτων ἐκτελεῖσθαι τὸ μυστήριον βουλομένους, συγκυκᾷν καὶ συνταράττειν τὰς θείας μαρτυρίας· εἰ γὰρ τελέως διὰ τῶν Κυριακῶν μόνων ῥημάτων τὸ μυστήριον ἐκτελεῖται, οὐ πάντως ἐκτελεῖται διὰ τῶν τοῦ ἱερέως εὐχῶν. Καὶ ὅμως κατὰ τὰς μαρτυρίας, ἃς ἐξενηνόχαμεν καὶ προάξειν μέλλομεν, διὰ τῶν εὐχῶν τοῦ ἱερέως γίγνεται ἡ μετουσίωσις, ἐκ τῶν ἀντιτύπων πρὸς τὰ πρωτότυπα. Ἀλλ' ὄντως ὡς εἰρήκαμεν, τὸ μυστήριον καὶ τοῖς Κυριακοῖς τῶν ῥημάτων καὶ ταῖς εὐχαῖς ἀποτελεῖται· τοῖς μὲν ἀρχικῶς καὶ προηγουμένως· καὶ ὡς παρέχουσι δύναμιν· ταῖς δὲ ἑπομένως καὶ κατὰ τελείαν ἐνέργειαν. Πρόσεχε δ' ὅτι τὸν ἱερέα ἡνίκα λέγῃ τοὺς Κυριακοὺς λόγους μὴ ὑπάρχειν αὐτὸν τὸν Χριστόν· ἐπειδὴ "λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον" φησὶ καὶ τὰ ἑξῆς διηγηματικῶς. Ἀλλ' ἀπορήσεις, πῶς οὖν ὁ ἱερὸς Χρυσόστομος διδάσκει τοὺς ἅπαξ ῥηθέντας τῶν Κυριακῶν λόγων μεταῤῥυθμίζειν τὸ μυστήριον, εἴπερ διὰ τῶν εὐχῶν τοῦ ἱερέως ἡ τοιαύτη μεταβολὴ γίγνεται; καθ' ἡμᾶς γὰρ ἐροῦσι τὸν Θεὸν διὰ τοῦ ἱερέως μεταβάλλειν καὶ μὴ διὰ τῶν ἅπαξ ῥηθέντων· ἐκεῖνα γὰρ τὸν τότε ἄρτον καὶ οἶνον μόνον μετέβαλεν. Ἀλλ' εὔλυτον πάντως καὶ τοῦτο· ἐπειδὴ οὐ μετατίθεται τὸν νοῦν ὁ ἱερὸς Χρυσόστομος· οἶσθα γὰρ πάντως τὸν θεοφόρον ἐκεῖνον διδάσκαλον ἐν τῇ οἰκείᾳ λειτουργίᾳ μετὰ τοὺς Κυριακοὺς λόγους

οὕτως εὔχεσθαι· "Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου· τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου· ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς· εἰς ἄφεσιν ἁμαρτιῶν· εἰς κοινωνίαν τοῦ ἁγίου Πνεύματος· εἰς βασιλείας οὐρανῶν πλήρωμα· εἰς παῤῥησίαν τὴν πρὸς σέ· μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα." Σύνες ὡς ὁ ἄρτος οὐ ποιεῖται σῶμα, οὐδὲ ἐν τῷ ποτηρίῳ αἷμα κατ' ἀναφορὰν τῶν μεταλαμβανόντων, ἀλλὰ δῆτα καθ' ἑαυτά· καθ' ἡμετέραν δ' ἀναφορὰν νῆψις ψυχῆς, καὶ ἄφεσις ἁμαρτιῶν, καὶ κοινωνία τοῦ ἁγίου Πνεύματος γίγνεται μετὰ τὸ μεταβληθῆναι δηλονότι. Εἰ τοίνυν περιφανῶς τῇ ἡμετέρᾳ δόξῃ συνᾴδει ὁ ἱερὸς Χρυσόστομος ὅταν ἐξήνεγκε πάλιν τὸ, τοὺς Κυριακοὺς λόγους μεταῤῥυθμίζειν τὸ μυστήριον, προκαταρκτικῶς καὶ πρώτως ἐνόει· Ἐπειδὴ διὰ τῶν τοῦ αὐξάνεσθε καὶ πληθύνεσθε ἐκείνους διεξηγεῖται. Πάντως δ' οἱ λόγοι ἐκεῖνοι ἐνεργοῦσι διηνεκῶς καὶ αἴτιοι εἰσὶ τοῦ τοιούτου πληθυσμοῦ καὶ τῆς τοιαύτης αὐξήσεως. Οὐ μέντοι ἀμέσως ἀλλὰ διὰ τῶν δευτέρων αἰτίων. Ἐπειδὴ καὶ οἱ λόγοι τῶν βασιλέων κτίζουσι πόλεις, καὶ παρασκευάζουσι στρατεύματα· ὅμως δι' ὀργάνων ἐνεργοῦντες. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, κριτικωτέρᾳ γνώσει διάκρινε· φησὶ γὰρ ὁ χρυσόῤῥυθρος Ἰωάννης τὸν ἅπαξ ῥηθέντα ὑπὸ τοῦ Κυρίου λόγον μεταῤῥυθμίζειν τὸ μυστήριον καὶ μὴ τὸν καθ' ἡμέραν ὑπὸ τοῦ ἱερέως μεταλεγόμενον· καὶ θαῦμα οὐδέν. Ἐπειδὴ πάντα ποιεῖν ὁ Θεὸς λέγεται ἢ ἐμμέσως ἢ ἀμέσως.

Δέκατον καὶ τέταρτον, δι' ἀζύμου ἐπιτελοῦσι τὴν θυσίαν. Ὅτι δὲ καὶ τοῦτο οὐ πόῤῥωθέν ἐστι σφάλματος, ἀποδεῖξαι προαχθήσομαι. Οἱ γοῦν Λατῖνοι φασὶ τὸν Σωτῆρα δι' ἀζύμου τὴν θυσίαν ἐκτελέσαι. Ἐπειδή, φησιν ὁ Ἀκίνας, πάσχα ἐποίησεν ὁ Κύριος. Πάσχα δ' οὐκ ἠδύνατο χωρὶς ἀζύμων γενέσθαι, καθάπερ δῆλον ἐν τῷ δωδεκάτῳ τῆς Ἐξόδου κεφαλαίῳ γίγνεται. Καὶ διὰ τοῦτο ὁ Ματθαῖος, τῇ πρώτῃ ἡμέρᾳ, φησι, τῶν Ἀζύμων ἐν ᾗ ἔδει θύεσθαι τὸ Πάσχα. Καὶ ὁ Μάρκος δὲ τῷ Ματθαίῳ συνᾴδει· καὶ Λουκᾶς δὲ τὰ αὐτὰ διδάσκων· "ἦλθέ, φησιν, ἡ ἡμέρα τῶν Ἀζύμων." Προστιθέασι δὲ οἱ Λατῖνοι τὸν Κύριον φαγεῖν τὸ Πάσχα ὅτε καὶ οἱ Ἰουδαῖοι κατήσθιον, ἵνα

μὴ ὑπ' ἐκείνων ὡς παραβάτης τοῦ νόμου γράφοιτο. Προάγουσι δ' ἐς μέσον καὶ μάρτυρας τῇ σφετέρᾳ συνηγορεῖν δοκοῦντας δόξῃ· καὶ γὰρ ὁ θεῖος Χρυσόστομος ὁμιλίᾳ ΠΕ? τοῦ κατὰ Ματθαῖον φησὶ τὸν Κύριον τὸ Πάσχα φαγεῖν κατὰ τὸν νόμον· τῷ δὲ Χρυσοῤῥήμονι καὶ ὁ Θεοδώρητος συντίθεται. Προδήλως δ' ἔοικε καὶ ὁ Πιλάτος ἐν τῷ ΙΗ^ῳ τοῦ κατὰ 'Ιωάννην δηλοῦν μετὰ τῶν 'Ιουδαίων τὸν Κύριον τὸ Πάσχα φαγεῖν· ὅταν ἔλεγεν ἔθος εἶναι τοῖς 'Ιουδαίοις ἕνα ἀπολύεσθαι ἐν τῇ ὥρᾳ τοῦ Πάσχα. Προσέτι δὲ καὶ τὸν 'Ωριγένην ἐς μέσον φέρουσιν ἐν ὁμιλίᾳ ΚΓ?, καὶ τὸν θεῖον 'Επιφάνειον ἐν τῷ κατὰ αἱρέσεων, καὶ τὸν 'Ιεροσολύμων Κύριλλον, καὶ τὸν χρυσοῦν τὴν γλῶτταν 'Ιωάννην ἐν ὁμιλίᾳ ΠϚ? τοῦ κατὰ Ματθαῖον φάσκοντας ἀποθανεῖν τὸν Κύριον τῇ διαβοήτῳ τοῦ Πάσχα ἡμέρᾳ· ἐξηγοῦνται δὲ καὶ τὸν 'Ιωάννην φάσκοντα· "πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα εἰδὼς ὁ 'Ιησοῦς, ὅτι ἐλήλυθεν [αὐτοῦ] ἡ ὥρα," τόν δε τὸν τρόπον, ὅτι ἑορτὴ ἦν ἡ τοῦ Πάσχα ἡμέρα, ἤγουν τοῦ Κυριακοῦ παθήματος. Τὸ δὲ πρὸ τῆς ἡμέρας τῆς ἑορτῆς τοῦ Πάσχα παρὰ τῷ 'Ιωάννῃ λεγόμενον, ἐξηγοῦνται ἀντὶ τῆς τεχνικῆς ἡμέρας, καθὼς φαίνεται ἐν τῇ ἀρχῇ τῆς Γεννήσεως· "'Εγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ ἡμέρα μία·" ὅπου ὁ μέγας Βασίλειός φησι τὸν Μωϋσῆν περὶ τῆς τεχνικῆς ἡμέρας διαλέγεσθαι. 'Εξηγοῦνται δὲ καὶ τὸ παρὰ Ματθαίῳ ὑπὸ 'Ιουδαίων λεγόμενον μὴ κτανεῖν τὸν 'Ιησοῦν τῇ ἑορταστικῇ ἡμέρᾳ ἵνα μὴ θόρυβος γένοιτο· τῷ φάναι εἰρῆσθαι μὲν τὴν τοιαύτην δόξαν μὴ μέντοι ὑποδεχθῆναι. 'Υμεῖς μέντοι πρὸς ταῦτα φαμὲν, φαγεῖν μὲν τὸ 'Ιουδαϊκὸν Πάσχα τὸν 'Ιησοῦν κατὰ τὸν 'Ιουδαϊκὸν νόμον· ὅμως μετὰ τὸ φαγεῖν εὐθὺς πέρας ἐκείνῳ ἐπιθεῖναι· ἔμελλε γὰρ ἀρχὴν λαμβάνειν τὰ τελεώτερα ληξάσης τῆς σκιᾶς· καὶ διὰ τοῦτο ἄρτος προὐτέθη ἐν τῷ δείπνῳ τοῦ ἀζύμου τελεώτερος· ἔμελλον γὰρ οἱ τῶν 'Εθνῶν λαοὶ τοῖς αὐτοῖς ἐκτελεῖν τὴν ἱερὰν θυσίαν οἷς δῆτα καὶ ἐτρέφοντο. 'Αλλ' ἀπορεῖς ἐπειδὴ οὐκ ἠδύνατο ἄρτος παρεῖναι ἔνζυμος ἐσθιόντων τὸ Πάσχα τῶν 'Ιουδαίων ἐπείτοι γ' ὡς νόμος διακελεύεται, "'Επτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν·" ἀλλὰ γὰρ εὐθὺς ἔσται σοι καὶ ἡ λύσις πρόχειρος· φησὶ γὰρ ὁ χρυσοῦς τὴν γλῶτταν 'Ιωάννης ἐν τῇ

*ΠΔ*ʹ ὁμιλίᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, εἰς τὸ, "ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον" διατὶ ἐκεῖ ἀπήγαγον αὐτὸν, ἔνθα ἅπαντες ἦσαν συνηγμένοι, ἵνα μετὰ γνώμης πάντα ποιήσωσι τῶν Ἀρχιερέων· οὕτω διενυκτέρευον καὶ ἠγρύπνουν ἐπὶ τούτῳ· οὐ γὰρ ἔφαγον τότε τὸ Πάσχα, φησὶν, ἀλλὰ διὰ τοῦτο καὶ ἠγρύπνουν. Εἰπὼν γὰρ ὅτι πρωΐα ἐστὶν, ὁ Ἰωάννης ἐπήγαγεν· οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα. Τί οὖν ἐστιν εἰπεῖν ὅτι ἐν ἑτέρᾳ ἔφαγον καὶ τὸν νόμον ἔλυσαν διὰ τὴν ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν ταύτην; Οὐδὲ γὰρ ἂν ὁ Χριστὸς παρέβη τὸν καιρὸν τοῦ Πάσχα φαγὼν αὐτὸ πρὸς ἑσπέραν· ἀλλ' ἐκεῖνοι οἱ πάντα τολμῶντες καὶ μυρίους καταπατοῦντες νόμους· ἐπειδὴ γὰρ σφόδρα ἔζεον τῷ θυμῷ· καὶ πολλάκις ἐπιχειρήσαντες ἀνελεῖν οὐκ ἴσχυσαν, τότε λαβόντες αὐτὸν ἀπροσδοκήτως, προείλοντο καὶ τὸ Πάσχα ἀφεῖναι, ὑπὲρ τοῦ τὴν φονικὴν αὐτῶν ἐμπλῆσαι ἐπιθυμίαν. Ἐπειδὴ τοίνυν, ὦ Λατῖνε, οὐκ ἀνεπόλουν κατὰ νοῦν οἱ τῶν Ἰουδαίων παῖδες ἑορτάζειν τὸ Πάσχα, ἀλλὰ τὸν Ἰησοῦν ἀνελεῖν ἐξ ὧν οἱ Εὐαγγελισταὶ ἱστοροῦσιν, οὔτε τὰ ἄζυμα εἶχον κατεσθίειν μὴ παρούσης τῆς ἑορτῆς· ἀφαιρουμένης γὰρ τῆς αἰτίας, συναφαιρεῖσθαι καὶ τὰ διὰ τὴν αἰτίαν παντί γε πρόδηλον. Πρόσθες, τὸ Πάσχα ἐνίοτε μὲν σημαίνειν τὸν ἀμνόν· ἐνίοτε δὲ, τὴν ἡμέραν τῆς ἑορτῆς· ἔσθ' ὅτε δὲ, τὴν ἑβδομάδα τοῦ Πάσχα· ποτὲ δὲ, αὐτὰ τὰ ἄζυμα. Ὁ γοῦν Ἰησοῦς ἔδοξεν ἑορτάσας τὴν διάβασιν κατὰ τὸν Ἰουδαϊκὸν νόμον, οὐκ ἔτι δ' ἔμελλεν ἔδειν ἄζυμα τῆς ἑορταστικῆς ἑβδομάδος ὡς ἐν ἀκαρεῖ θανούμενος· ἀλλ' ὃν τρόπον καινὴ ἦν ἡ τοῦ ἄρτου εἰς τὸ σῶμα, καὶ τοῦ οἴνου εἰς τὸ αἷμα μετουσίωσις καὶ σωτήριος ἦν οὐκ Ἰουδαϊκὴ δῆθεν, τὸν αὐτὸν τρόπον καινὴ ἦν ἡ χρῆσις τοῦ ἄρτου καὶ σωτήριος. Ὅτι δὲ πρὸς μόνην τὴν διάβασιν ἀφώρα ὁ Ἰησοῦς, πρόδηλον· ἐπειδὴ οὐκ ἐτήρησε τὸν τοῦ Πάσχα καιρόν· τῇ γὰρ πέμπτῃ ἥτις ἦν δεκάτη τρίτη τῆς σελήνης γεγονυίας τῆς δύσεως τοῦ ἡλίου, τὸ Πάσχα ὁ Ἰησοῦς ἔφαγεν. Εἰ τοίνυν καὶ προλαβὼν ὁ Ἰησοῦς τὸ Πάσχα ἔφαγεν, ἠδύνατο ἔχειν ἐκεῖ ἔνζυμον· ἵνα μὴ εἴπω δυνηθῆναι καὶ παρ' ἐθνικοῦ ἄρτον ἔνζυμον ὠνήσασθαι διά τινος· ἔφης γὰρ καὶ αὐτὸς ἐθνικοὺς

εἶναι, τοὺς πωλήσαντας τὴν σινδόνα καὶ τὰ ἀρώματα· ἴσως δ' ἂν ἀντιφαίης· ἐπειδὴ οἴει τὸν Ἰησοῦν προφθάσαι τοὺς ἀρχιερεῖς κατὰ τὸν τοῦ Πάσχα καιρὸν ἀλλὰ μὴ τοὺς Ἰουδαίους· ἐγὼ δ' αὖθις λύων τὴν ἔνστασιν εἴποιμι, τοὺς ὑπηκόους τοῖς ἀρχιερεῦσιν ἕπεσθαι οἷα νομοθέταις, εἰ καὶ ἐν ἄλλοις χρόνοις πρὸ τῶν Ἀρχιερέων τῶν κατὰ τοῦ Σωτῆρος φρυαττόντων οἱ Ἑβραῖοι ἑορτάζοιεν· καὶ γὰρ πλεῖστος τῶν Ἰουδαίων ὄχλος παρὰ τοὺς Ἀρχιερεῖς ἐνησχολεῖτο περὶ τὰς κατὰ Χριστοῦ ἐγχειρήσεις. Φησὶ δὲ καὶ ὁ θεῖος Χρυσόστομος ὁμιλίᾳ ΠΒᾳ τὸν Κύριον τὸ Πάσχα φαγεῖν μιᾶς ἡμέρας πρὸ τῶν Ἰουδαίων· οὐκ εἶπε πρὸ τῶν Ἀρχιερέων ἀλλὰ πρὸ τῶν Ἰουδαίων· ἔπειθ' ὥρᾳ ἑορτῆς ᾗ τὰ δουλεῖα κατείργετο ἔργα, οὐ δοκεῖ μοι τοὺς Ἰουδαίους θάνατον τοῦ Ἰησοῦ καταψηφίζειν. Φησὶ δὲ καὶ Ἀνσέλμος ἐν κεφαλαίῳ ΚΖῳ τοῦ κατὰ Ματθαῖον τὸν Χριστὸν τῇ ΙΔῃ τῆς σελήνης σταυρωθῆναι· καὶ τῇ δεκάτῃ τρίτῃ τῆς σελήνης παρὰ τὴν τάξιν τοῦ θείου νόμου ἑορτᾶσαι τὸ ἴδιον Πάσχα. Τοῦτο παρὰ τοῦ θείου Χρυσοστόμου καταμαθών· φάσκοντος τὸν Χριστὸν προλαβεῖν μίαν ἡμέραν ὅπως ἐν τῇ παρασκευῇ σταυρωθείη. "Οἴδατε γάρ, φησιν, ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίγνεται, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι." Σκέψαι δ' ὡς καὶ ὁ Ἰωάννης πρὸ τῆς ἑορταστικῆς τοῦ Πάσχα ἡμέρας τὸν Κύριον ἐκτελέσαι τὸ Πάσχα ἔφασκεν· εἰ δ' ἦν τότε ἡ τεσσαρεσκαιδεκάτη τῆς σελήνης, ἡμέρα ὑπῆρχε τοῦ Πάσχα, ἐπειδὴ ἡ κυρία εὐφημεῖτο τοῦ Πάσχα τότε ἡμέρα δι' ἣν ἑορταστικῶς καὶ αἱ λοιπαὶ ἤγοντο· πῶς οὖν πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα ὁ δεῖπνος ἐγένετο, εἴγε μετὰ τὴν ἑορτήν; Σκέψαι δ' ὡς καὶ τὸν Προδότην ἔδειξεν ὁ Κύριος εἰπών· "Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ ἐμβάψας τὸ ψωμίον ἐπιδώσω." Ψωμίον γὰρ πάντως ἐστὶν ὁ ἔνζυμος ἄρτος· πῶς γὰρ ἂν ψωμίον ἀποκληθείη ἡ ὄστια; Δεῖ γὰρ πάντως τὸ ψωμίον καὶ πάχος ἔχειν ὅπως ψωμίον προσαγορεύηται. Πῶς δ' ἂν καὶ οἱ τὰς λειτουργίας συνθέμενοι πρὸς ἐθνικὸν λαὸν μακάριοι ἄνδρες φάσκοιεν, ἄρτῳ χρῆσθαι ἀντὶ ἐνζύμου παρ' ἐκείνοις ἐκλαμβανομένῳ, μὴ διορίσαντες τὴν ὁμωνυμίαν, πλάνην δυναμένην ἀπογεννήσασθαι; Πῶς δ' ἂν οἱ Ἀπόστολοι μαθητεύ-

σαντες πάντα τὰ ἔθνη μὴ μέλλοιεν ἄρτῳ χρῆσθαι πρὸς τὴν εὐχαριστίαν ἐξ οὗ περ κατήσθιον· ἀλλὰ φύραμα ἄζυμον ἐσαεὶ πλάττειν;

Νῦν δ' ἐξηγείσθω καὶ τὰ ῥητά. Πρώτη γὰρ ἡμέρα τῶν Ἀζύμων ἦν κατὰ νόμον· ὅμως οἱ Ἰουδαῖοι οἷα τοῦ νόμου παραβάται ἐχρῶντο ἐνζύμοις, μέλλοντες ὕστερον τὸ Πάσχα ἑορτάσειν· ἢ καὶ Αη ἦν τῶν ἀζύμων ἡμέρα καθ' ὃν τρόπον ἐτέλεσε τὸ Πάσχα ὁ Ἰησοῦς· εἰ δὲ καὶ δοθείη τὸν Κύριον τοῖς Ἰουδαίοις συνεορτάσαι, ἴστω ὁ ἀντιτείνων, ὡς ὁ οἰκοδεσπότης παρ' ᾧ ὁ Κύριος τὸ Πάσχα ἔφαγε, καθὼς ἐν τῇ οἰκείᾳ ἐδέξατο, οὕτως οὐδὲ κατηγόρησε· μᾶλλον δὲ οὐ παρῆν, εἴ γε τότε κατὰ σὲ μετὰ τῶν ἄλλων Ἰουδαίων ἑόρταζεν· οὐ κατηγόρει (ἴσ. οὐκ ἐκατηγόρει) δ' ὁ Ἰούδας τὸν Ἰησοῦν οἷα πρὸ τῆς τεταγμένης ὥρας δειπνήσαντα καὶ χωρὶς ἱερέων Ἰουδαίων ἐπιστατούντων τῇ σφαγῇ τοῦ ἀμνοῦ ἑορτάσαντα, κἂν τῷ δείπνῳ καινοῖς ἔθεσι χρησάμενον, ἐπειδὴ μόνων χρημάτων ἦν ἐραστής· οὐδὲν οὖν ἦν ἄτοπον καὶ ἔνζυμον ἐπιτάγματι τοῦ Σωτῆρος ἐκεῖ τηρηθῆναι, ὅπως ἐκτελέσῃ τὴν καινὴν θυσίαν ὁ Ἰησοῦς. Ἐπιστῆσαι ἄρα χρὴ τινὰς μὲν τῶν διδασκάλων φάναι τὸν Ἰησοῦν προλαβεῖν τὸν τοῦ Πάσχα καιρὸν, ὡς καὶ Εἰρηναῖος βιβλίῳ Δῳ κεφ. ΚΓῳ ἔφασκε· τὸν Μωϋσῆν ἐν τῷ Ιϛῳ τοῦ Δευτερονομίου προειπεῖν τὸ τοῦ Χριστοῦ πάθημα, κατὰ μὲν τὸν τόπον ἐν Ἱερουσαλήμ· κατὰ δὲ τὴν ἡμέραν, ὅταν ἡμέραν τοῦ Πάσχα προσωνόμασε· κατὰ δὲ τὴν ὥραν ἐπειδὴ ἔλεγε πρὸς ἑσπέραν. Ἐντεῦθεν προφανῶς συνάγεται τὸν Ἰησοῦν τῇ ΙΔη παθεῖν. Ἐπειδὴ ὁ Μωϋσῆς διηγεῖται τὴν θυσίαν τοῦ ἀμνοῦ γίγνεσθαι ἐν τῇ ΙΔη. Καὶ ὁ ἱερὸς δ' Ἐπιφάνειος ἐν τῇ Νη τῶν αἱρέσεών φησιν· ὡς "ἐχρῆν τὸν Χριστὸν ἐν τῇ ΙΔη ἡμέρᾳ θυσιάζεσθαι κατὰ τὸν νόμον." Ἔφαμεν δὲ καὶ τὸν θεῖον Χρυσόστομον ὁμιλίᾳ ΠΓη τάδ' ἀποφήνασθαι· ὡς ὁ Ἰησοῦς προὔλαβε τὸν καιρὸν μιᾶς ἡμέρας ὅπως τηρείη (ἴσ. τηρήσῃ) τὸν ἴδιον θάνατον ἐν παρασκευῇ. Ἕτεροι δὲ τῶν διδασκάλων ἡγοῦνται τοὺς Ἰουδαίους μετὰ ταῦτα τὸ οἰκεῖον ἑορτᾶσαι Πάσχα· ἀμφοτέρα δὲ γνώμη ὑπὲρ ἡμῶν εἶναι φαίνεται. Οἱ δὲ σχολαστικοὶ νομίζουσι τὸν Κύριον τὴν θυσίαν ἐκτελέσαι ὅτε καὶ Ἰουδαῖοι κατήσθιον. Ἀλλ' ὡς

ἔφαμεν οἱ Ἀρχιερεῖς καὶ τὸ συνέδριον ὅλον καὶ σχεδὸν πᾶσα ἡ πόλις περὶ τὰς κατὰ Χριστοῦ μηχανὰς διέτριβον· οὐχ οἷόν τε δ' ἦν καιρὸν εἶναι τότε τοῦ Πάσχα ὅταν ἀπραξίαν ἦγον παντελῆ οἱ τῶν Ἰουδαίων παῖδες· οὔτε δὴ δοκεῖ τοὺς τῶν Ἰουδαίων προϊσταμένους ὑπὲρ φόνου μὴ ἑορτάσαι. Οὐκοῦν ἀκόλουθον ἂν εἴη τὸν Χριστὸν προλαβεῖν τὸν καιρὸν τῆς ἡμέρας εἴγε δὴ καὶ τὸν τῆς ὥρας παρέδραμεν. Εἰκὸς γὰρ ἦν θυσίαν ἄμωμον γενέσθαι τῷ Θεῷ ὑπὲρ τῆς κοινῆς γῆθεν πρὸς οὐρανὸν διαβάσεως· καὶ γὰρ τὸ Πάσχα ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς κατὰ τὸν Ἀπόστολον. Σκέψαι δ' ὡς καὶ Ἰωσὴφ σινδόνα ὠνήσατο, καὶ αἱ γυναῖκες ἀρώματα. Ἐν δὲ τῇ ἡμέρᾳ τοῦ Πάσχα οὐδεὶς ἦν ὁ πωλῶν ἢ ὁ ἀγοράζων παντελῶς· μείζων δ' ἂν εἴη περὶ τοῦ πωλοῦντος κοινῇ εἰ καὶ ἐθνικὸς ἦν ἡ ἀμφισβήτησις. Εἰ δὲ καὶ δοθείη ἀληθεύειν τὴν τῶν σχολαστικῶν δόξαν ἔφαμεν τοὺς Ἰουδαίους ἄχρι ἔνζυμα ταμιεύειν δύνασθαι· εἰ δὲ ὀλίγον μετὰ τὴν ἐκβολὴν τῶν ἀζύμων τὸν δεῖπνον ὁ Ἰησοῦς ἐποιήσατο, ἴσθ' ὡς οὐ παρῆν ὁ οἰκοδεσπότης· ᾗ δ' ἔφην τὴν πρώτην δόξαν τῶν ἄλλων προκρίνω· εἰ δὲ καὶ μὴ ἐγράφετο ὁ Ἰησοῦς ὡς παραβάτης τοῦ νόμου, οὐδὲν πρὸς τὸν λόγον· ἐπειδὴ οὐδ' ἐγράφετο ὡς τῆς ὥρας καὶ τῶν καινῶν ἐν δείπνῳ ἐθῶν. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, θεώρει ὡς ὁ Ἀπόστολος ἔφασκεν· "Ἀδελφοὶ, οἴδατε τὰς παραδόσεις ἃς παρελάβετε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς." Ἄμεινον οὖν εἰδοῖεν τὴν παράδοσιν οἱ ἄνωθεν ταῖς λειτουργίαις χρώμενοι τῶν μὴ χρωμένων ἐκείναις. Καὶ γὰρ αἱ μὲν λειτουργίαι τοῦ τε Ἰακώβου καὶ τοῦ Κλήμεντος, καὶ τοῦ Βασιλείου, καὶ τοῦ Χρυσοστόμου, ἦσαν πάλαι ἡμῖν ἐθάδες· ἡ δὲ λειτουργία ᾗ νῦν οἱ Λατῖνοι κέχρηνται, οὐκ ἔχει ἀρχαῖον τὸν συνταξάμενον. Μεταπεσούσης ἄρα τῆς Λειτουργίας, οὐδὲν ἄτοπον ἐν λήθῃ γενέσθαι καὶ τὴν παράδοσιν· ἡ δὲ παράδοσις ὀρθῇ κρίσει ἐκ τῶν ἄνωθεν διαγιγνώσκεται. Οὐ μόνον ὅτι οὐκ ἂν οἱ Ἀρχιερεῖς ἑορταζομένης τῆς τοῦ Πάσχα πανηγύρεως περὶ τῆς κατὰ Χριστοῦ ἀνεστρέφοντο ἐγχειρήσεις· ἀλλ' ἔτι γε, ἐπεὶ οὐκ ἂν οἱ κατὰ τόπον Ἰουδαῖοι χωρὶς Ἀρχιερέων τῇ σφαγῇ τοῦ ἀρνίου ἐπιστατούντων καὶ ἱερέων σφαζόντων τὸ Πάσχα ἔφαγον. Ἔμελλον γὰρ κοινῇ σφάζεσθαι οἱ ἀμνοὶ κατὰ τὴν Ἰουδαϊκὴν

παράδοσιν τοιάδε διαλαμβάνουσαν. Βεσαατοῦ ὁ τὸ κολκαὰλ ἀδὰθ Ἰσραὴλ ἤγουν σφαζέτω ἐκεῖνον πᾶσα ἡ συναγωγὴ τοῦ Ἰσραήλ. Τηνικαῦτα δὲ πᾶσα ἡ συναγωγὴ περὶ τὸν κατὰ Χριστοῦ φόνον διέτριβεν. Ἢ τοίνυν ὁ Ἰησοῦς προὔλαβε τὸν τοῦ Πάσχα καιρὸν, ὅπως ἐν τῇ ἡμέρᾳ τοῦ Πάσχα θύοιτο ὁ Κύριος ἀμνὸς παρὰ τῶν Ἰουδαϊκῶν ἀμνῶν εἰκονιζόμενος κατὰ τὸν Εἰρηναῖον· ἢ οἱ Ἰουδαῖοι τὸν νόμον κατεπάτησαν, εἰ καὶ χαλεπὸν τοῦτο πρὸς πίστιν εἶναι φαίνεται· ἐπειδὴ ὡς καὶ Συνέσιος ἐν τῇ Δῃ τῶν ἐπιστολῶν γράφει· ἀπρὶξ οἱ τῶν Ἰουδαίων παῖδες τοῖς οἰκείοις ἐγκαρτεροῦσι δόγμασι· καὶ οὐκ ἔνι ὑπὲρ φόνου τοῦ δυναμένου μεθ' ἡμέρας ἐγκατείργεσθαι τῶν οἰκείων ὀλιγωρεῖν νόμων· οὐκ ἦν δ' εἰκὸς καὶ τὰς γυναῖκας ὠνείσασθαι ἀρώματα καὶ τὸν Ἰωσὴφ σινδόνα χωρὶς εἰδήσεως τῶν Ἰουδαίων· ἔμελλον γὰρ οἱ προϊστάμενοι εἰδέναι εἰ ὁ ὠνούμενος ἀνάγκην εἶχε μεγίστην πρὸς τὸ ὠνεῖσθαι παρὰ τῶν φαρμακοπώλων φάρμακα ὑπέρ τινος ἄκρως ἐν τῷ νοσήματι κινδυνεύοντος· ἄλλως γὰρ οὐκ ἂν ταῖς γυναιξὶν ἐπέτρεπον ὑπὲρ ἀντιθέου κατ' ἐκείνους ὠνεῖσθαι ἀρώματα· μᾶλλον δ' ἂν ἐκείνας ἐνόχους ποιναῖς μεγίσταις ἠξίωσαν· ὅλως ἀπραξίαν ἀγόντων τῶν Ἰουδαίων κατὰ τὸν τοῦ Πάσχα καιρόν· ἢ ἴσως ῥητέον τοὺς τότε Ἀρχιερεῖς προεικονίσαι διὰ τῆς οἰκείας κατὰ τὸ Πάσχα παραβάσεως τὴν μετὰ ταῦτα τῶν Ἰουδαίων ἔξωθεν τῆς Ἱερουσαλὴμ κατὰ τὸ Πάσχα παράβασιν· οἵτινες οὐκ ἔτι κατ' ὄψιν τῆς σελήνης καὶ διὰ μαρτύρων, ἀλλὰ δι' ἀριθμοῦ καὶ διὰ τηρήσεως τινῶν ἡμερῶν ἔμελλον τὸ Πάσχα ἑορτάζειν καὶ οὐχ ὡς ὁ νόμος παρεκελεύετο· οὐδὲ γὰρ διττὰς ἑορταστικὰς ἡμέρας ἐνηγκαλίζοντο κατὰ συνέχειαν.

Λύσωμεν δ' ἤδη καὶ τὰς ὑπὸ Λατίνων προτεινομένας μαρτυρίας. Πρὸς μὲν οὖν τὴν μαρτυρίαν τοῦ Χρυσοστόμου ληφθεῖσαν ἐκ τῆς ΠΕης ὁμιλίας τοῦ κατὰ Ματθαῖον, καὶ φάσκουσαν τὸν Χριστὸν φαγεῖν τὸ Πάσχα ἐν τῇ ἡμέρᾳ καθ' ἣν ὁ νόμος διετάττετο, ἀποκρινόμεθα· δύνασθαι καὶ τοῦτο συγχωρεῖσθαι· ἐπειδὴ ὁ θεῖος Χρυσόστομος ἐν τῇ ΠΓῃ ὁμιλίᾳ διχογνωμεῖ· ὅμως ἐπειδὴ Ἰουδαϊκὸς ἦν ὁ οἶκος, μελλόντων ὕστερον τῶν Ἰουδαίων ἐκτελέσειν τὸ Πάσχα, οὐθὲν ἦν ἀνάρμοστον τὸν

οἰκοδεσπότην ἔχειν ἐκεῖ καὶ ἔνζυμον ἄρτον· οὐδὲ γὰρ ἔφαγεν ὁ οἰκοδεσπότης τὸ Πάσχα ἐπειδὴ ἔμελλεν ὕστερον μετὰ τῶν Ἰουδαίων ἐκεῖνο φαγεῖν. Τίνος δὲ χάριν οἱ Ἀρχιερεῖς τὸν νόμον κατεπάτησαν; Τοῦτο πρὸς τοὺς Ἰουδαίους ἀνήκει· ἢ γὰρ ἐξ ἐκείνων τῶν Ἀρχιερέων ἀρχὴν ἔλαβεν ἡ παράδοσις τῆς τῶν ἡμερῶν τηρήσεως· ἐπειδὴ οὐκ ἂν ἔξωθεν τῆς Ἱερουσαλὴμ ἡ τοιαύτη διαφυλάττοιτο τῶν ἡμερῶν τήρησις, μὴ ἐκ τῆς Ἱερουσαλὴμ λαβοῦσα ἀρχήν· ἢ ἴσως, ὥς φησιν ὁ Ἱερὸς Χρυσόστομος, οἱ πολλάκις καταφρονήσαντες τοῦ Θεοῦ Ἰουδαῖοι, καὶ κατὰ τοῦτο τοῦ νόμου ὀλιγώρησαν· εἰ γὰρ μὴ ὕστερον τὸ Πάσχα οἱ Ἰουδαῖοι ἐξετέλουν, οὐκ ἂν ὁ Ἰωάννης ἔφασκε· "πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα" καὶ "πρὸ τῆς ἡμέρας τοῦ Πάσχα·" καὶ γὰρ ἡ ἡμέρα τοῦ Πάσχα ἀρχὴν πρὸ τοῦ δείπνου ἔλαβεν ἂν καὶ δεκάτη πέμπτη ἂν προσωνομάσθη· οὐκ ἂν δὲ πάντες οἱ Ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον καὶ μὴ μερικοὶ ὡς φὴς ὁ Λατῖνος κατὰ τὸ παρὰ Ματθαίῳ ῥηθέν· "Διεκώλυον ἐν τῇ ἑορτῇ τοῦ Πάσχα τὸν τοῦ Κυρίου θάνατον· οἵτινες οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶσιν ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα." Πρὸς δὲ τὸν Κύριλλον φάσκοντα τὸν Κύριον ἀποθανεῖν τῇ διαβοήτῳ τοῦ Πάσχα ἡμέρᾳ καὶ τὸν Ἐπιφάνειον, ἀπολογούμεθα. Ὡς εἰ καὶ ὁ Κύριος τῇ δεκάτῃ τρίτῃ τὸ Πάσχα ἔφαγεν· ὅμως διαβόητος ἦν ἡ δεκάτη τετάρτη ἡμέρα. Ἐπειδὴ ὁ ἀμνὸς ἐθύετο μὲν ἐν τῇ ΙΔῃ, κατεσθίετο δὲ ἐν τῇ ΙΕῃ· ἢ ῥητέον δεκάτην τετάρτην εἶναι καθ' ὅσον ἡ ἡμέρα παρὰ τοῖς ἔθνεσιν ἐκλαμβάνεται. Εἰ δὲ πάλιν οἱ Ἰουδαῖοι παρέβησαν τὸν καιρὸν, οὐχ ἧττον ὑπὲρ ἡμῶν ἐστιν ἡ ὑπόθεσις. Εἰ γὰρ καὶ οἱ Ἰουδαῖοι φλυαροῦσι μετὰ τὴν καταφθορὰν τοῦ ναοῦ τῆς Ἱερουσαλὴμ διακωλύεσθαι ὑπὸ τῶν οἰκείων διδασκάλων μὴ ἑορτάζειν κατὰ τρίτην ἡμέραν καὶ πέμπτην καὶ παρασκευὴν ἵνα μὴ ὑπάρξωσιν ἑορταὶ δύο κατὰ συνέχειαν, ὅ περ οὐκ ἐγίγνετο οὐδὲ ξυνέβαινεν ἐν Ἱερουσαλήμ· ὅμως μᾶλλον δεῖ τῷ Εὐαγγελιστῇ Ἰωάννῃ πείθεσθαι διηγουμένῳ πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα τὸν Ἰησοῦν ἐκτελέσαι τὸν δεῖπνον. Οὐκ ἂν δ' ἔφασκεν ὁ Ἰωάννης πρὸ τῆς ἑορτῆς εἰ μὴ ἔμελλον οἱ Ἰουδαῖοι μετὰ Χριστὸν ἐκτελέσειν τὴν ἑορτήν. Ἔδει γὰρ κοινῇ ὑπὸ πάντων

τὴν ἑορτὴν ἀχθήσεσθαι· ἄλλως γὰρ οὐκ ἂν ἑορτὴ διὰ τοὺς Ἀρχιερεῖς μόνους ἁπλῶς ἑορτὴ προσονομάζοιτο. Οὐκοῦν πρόδηλον καὶ πρὸ τῶν παρ' Ἰουδαίοις ἀζύμων εὐφημῆσαι τὸ Πάσχα τὸν Ἰησοῦν· ἐπειδὴ διωκόμενος ὑπὸ τῶν Ἑβραίων οὐκ εἶχε τῇ κοινῇ τῶν Ἰουδαίων συναγωγῇ συντάττεσθαι· οὔτ' ἔδει τοῖς Ἰουδαίοις συνευφημεῖν τὴν ἑορτὴν τὸν Κύριον· ἐπειδὴ οὐκ ἑβδομὰς ἑορτῆς κατὰ Θεὸν ἀλλὰ κατὰ Διάβολον ἦν ἡ τότε ἑορτὴ τῶν μιαιφόνων Ἰουδαίων· καὶ διὰ τοῦτο ὁ Χρυσορρήμων Ἰωάννης ἐν τῇ κατὰ Ματθαῖον ὁμιλίᾳ· "μετὰ δὲ τὸ φαγεῖν, φησι, τὸ νομικὸν Πάσχα, παραδίδωσι τὸ μυστήριον λέγων· λάβετε φάγετε." Καὶ κατωτέρω· "Ἐπειδὴ λοιπὸν παύσασθαι ἔδει τὰ νομικὰ, καὶ τὸ κεφάλαιον τῶν νομικῶν ἑορτῶν, καὶ ἐφ' ἑτέραν μεταβαίνει τράπεζαν φρικωδεστάτην τὰ τῆς καινῆς." Καὶ πάλιν ἀλλαχοῦ φησιν, ὅτι μέχρι τῆς ἐσχάτης ἡμέρας, ἵνα μὴ ἐναντίος γένηται τοῦ νόμου, τὸ Πάσχα ἐπετέλει· ἡ δὲ ἐσχάτη ἡμέρα, ἡ ἐπὶ τοῦ σταυροῦ ἦν. Εἰ τοίνυν ἐπαύσατο τὰ νομικὰ, ἄρ' ἐπαύσατο καὶ τὸ ἄζυμον· ἐν γὰρ τοῖς μαργαρίταις ὁ αὐτὸς ἔφασκε πατήρ· "Ἐπειδὴ οὐκ ἔστιν ἀμνὸς, μὴ ζήτει ἄζυμα." Καὶ ὁ Δαμασκηνὸς δὲ τῷ αὐτῷ συνᾴδων, "ποιοῦμέν, φησι, τὸ μυστήριον ἐξ οὗ ἄρτου ἐσθίομεν." Ἡ δὲ αἰτία παραλαμβάνεται ἐξ ὧν ὁ αὐτὸς Δαμασκηνὸς ἐν τῷ ΚΔ᾽ κεφαλαίῳ τῶν θεολογικῶν φησιν, "ἐν τῷ ὑπερῴῳ τοίνυν τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν τὸ παλαιὸν Πάσχα μετὰ τῶν μαθητῶν αὐτοῦ φαγὼν καὶ πληρώσας πᾶσαν τὴν Παλαιὰν Διαθήκην, νίπτει τοὺς πόδας τῶν μαθητῶν." Συνῆκας ὡς τὴν Παλαιὰν Διαθήκην ἐπλήρωσεν ὁ Ἰησοῦς, καὶ οὐκ ἔξεστιν ἐν Χριστιανικῷ δείπνῳ προτίθεσθαι τὰ Ἰουδαϊκὰ ἔθη;

Τούτων μὲν τοιούτως προϋποκειμένων ἰστέον εἶναι καὶ ἄλλων πατέρων δόξαν μὴ φαγεῖν τὸν Κύριον τὸ Ἰουδαϊκὸν Πάσχα νομιζόντων· ὅ περ διὰ τῶν Δ' Εὐαγγελιστῶν δεῖξαι προάγονται. Καὶ γὰρ ὁ μὲν Ματθαῖος· "καὶ ἡτοίμασαν τὸ Πάσχα, φησὶν, ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς· ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ τῶν δώδεκα." Ἐννόησον ἄρα καλῶς, ὡς μετὰ τὸ ἑτοιμασθῆναι τὸ Πάσχα ἀνέκειτο μετὰ τῶν δώδεκα καὶ οὐκ ὀρθοστάδην ἐκεῖνο κατήσθιε μετὰ τῶν δώδεκα. Ὁ δὲ Λουκᾶς σαφέστερον· "Καὶ

ὅτε, φάσκει, ἐγένετο ἡ ὥρα ἀνέπεσε καὶ οἱ δώδεκα Ἀπόστολοι σὺν αὐτῷ· καὶ εἶπε πρὸς αὐτούς· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν προτοῦ με παθεῖν." Ἀκούεις ὅτι Πάσχα ἐπεκάλει τὸ τῶν ἀναπεσόντων καὶ μὴ τῶν ὀρθοστάδην ἱσταμένων. Πάντως γὰρ τὸ, τοῦτο ἐνδεικτικόν ἐστι τοῦ παρόντος καὶ οὐ τοῦ παρεληλυθότος. Ἔπειτα δὲ ποιεῖται διαφορὰν τὸ, τοῦτο πρὸς ἐκεῖνο· ὡσανεὶ ἔλεγεν ὁ Σωτήρ· τοῦτο τὸ Πάσχα ἐπεθύμησα φαγεῖν μεθ' ὑμῶν καὶ οὐ τὸ Ἰουδαϊκόν. Καὶ ὁ Μάρκος δὲ, "Ὀψίας, φησὶ, γενομένης ἔρχεται μετὰ τῶν δώδεκα, καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων·" ἀκούεις ὡς προσεδόκων τὴν ὀψίαν, "ὀψίας δὲ γενομένης ἔρχεται μετὰ τῶν δώδεκα," καὶ οὐκ ἐσθίει μετ' ἐκείνων ὀρθοστάδην, ἀλλ' ἐκείνοις συνανακείμενος ἤσθιε; Πάλιν δ' ὁ Ἰωάννης σαφέστατα, "πρὸ δὲ τῆς ἡμέρας τοῦ Πάσχα καὶ πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα," φησί.

Δέκατον καὶ πέμπτον, πᾶν τὸ ἐν τῷ Θεῷ οὐσίαν εἶναι διϊσχυρίζονται· ὅθεν καὶ νομίζουσι τοὺς ἁγίους ὁρᾷν τὴν οὐσίαν τοῦ Θεοῦ· καὶ οἱ πλείους αὐτῶν διὰ ταύτην τὴν αἰτίαν τὸ ἐν τῷ Θαβορίῳ ὄρει φῶς κτιστὸν εἶναι πρεσβεύουσι.

Δέκατον καὶ ἕκτον, ὁ Πάπας τῶν Ἰταλῶν, ἐπὶ ὑποδόματος, μᾶλλον τῶν λοιπῶν ἐνδυμάτων, εὐκαταφρονήτως τὸν Σταυρὸν διαγράφει, ὃν ὁ Κύριος ἐπ' ὤμων φέρεσθαι παρακελεύεται. "Εἴ τις γάρ, φησι, θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρόν." Καὶ αὐτὸς γὰρ ἐπὶ τῶν ὤμων αὐτὸν ἐβάστασεν, ἐπειδὴ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.

Δέκατον καὶ ἕβδομον, μίσθωμα παρὰ τῶν παλλακίδων ἐν τῇ Ῥώμῃ λαμβάνει σχεδὸν συγχωρῶν τῇ πλημμελήσει, κατὰ τῶν θεοτυπώτων παραδόσεων, αἷς καὶ ὁ θεωρητικώτατος μέγας Γρηγόριος συνᾴδων, "μίσθωμά, φησι, πόρνης ἁγνὸς οὐ μερίζεται."

Δέκατον καὶ ὄγδοον, νηστεύουσι τὰ σάββατα παρὰ τὴν θείαν παράδοσιν τῶν Ἀποστολικῶν κανόνων καὶ τοῦ μεγάλου Βασιλείου ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ "Παρακαλεῖτέ, φησιν, οἱ ἱερεῖς·" καὶ τοῦ Χρυσοῤῥήμονος Ἰωάννου ἐν τῇ ΙΑῃ ὁμιλίᾳ τῆς ἑξαημέρου· καὶ τῆς θείας καὶ οἰκουμενικῆς ϛῆς Συνόδου κωλυ-

οὔσης τῆς τοιαύτης νηστείας τοὺς Ῥωμαίους· καὶ τοῦ θείου Παυλίνου ἐν τῷ εἰς τὸν θεῖον Ἀμβρόσιον λόγῳ.

Δέκατον καὶ ἔννατον, κατεσθίουσιν ἐν τῇ παρασκευῇ ᾠὰ, καὶ κρέας ἐν τῇ τετράδι κατέδουσι παρὰ τὴν Ἀποστολικὴν παράδοσιν.

Μετέπειτα τῷ διαζευχθέντι ἀνδρὶ τῆς ἑαυτοῦ γυναικὸς διὰ πορνείαν δεύτερον γάμον οὐκ ἐπιτρέπουσι, τοῦ Κυρίου ἐν τῷ κατὰ Ματθαῖον προστάττοντος· "ἐξεῖναι τῷ διαλυθέντι ἀνδρὶ τῆς οἰκείας γυναικὸς κατ' αἰτίαν πορνείας ἑτέρᾳ συζεύγνυσθαι." Ἦν δ' ὁ λόγος τῷ Κυρίῳ περὶ παντελοῦς διαζεύξεως, ὡς σαφὲς ἐκ τῆς τῶν Ἰουδαίων ἐρωτήσεως γίγνεται· περὶ οὗ ἰστέον διττὴν εἶναι τὴν διάστασιν· τὴν μὲν κατὰ μόνην ἀπουσίαν· τὴν δὲ καὶ κατὰ λύσιν τοῦ γαμικοῦ δεσμοῦ. Καὶ κατὰ μὲν τὴν πρώτην διάστασιν οὐ συγχωρεῖται ὁ γάμος· κατὰ δὲ τὴν Β^{αν} οὐ συγχωρεῖται ἐνίοτε· ἀλλ' οὐκ ἀεί· τὸ γὰρ παρ' ἐκτὸς λόγου πορνείας, Κυριακὸν ὑπῆρξε διάταγμα, εἰ καὶ Γρηγόριος ὁ Διάλογος ἐν τῇ Γ^{η}' τῶν πρὸς Βονιφάτιον ἐπιστολῶν, συνεχώρησε δεύτερον γάμον ἀνδρὶ τινὶ διὰ νόσον τῆς προτέρας γυναικός. Καὶ Ζαχαρίας δὲ ἔν τινι τῶν ἑαυτοῦ κανόνων διατάττεται, "τὸν συγκατακοιμηθέντα τῇ ἀδελφῇ τῆς οἰκείας εὐνέτιδος, μηδεμίαν ἔχειν πλέον δύνασθαι· ὅμως τὴν ἐκείνου εὐνέτιδα δύνασθαι ἕτερον ἄνδρα λαμβάνειν." Καὶ Ἀμβρόσιος δὲ ἐν τῇ ἐξηγήσει τῆς Α^{ης} πρὸς Κορινθίους Κεφαλαίῳ Ζ^{ῳ} φησὶ τὸν Ἀπόστολον μὴ εἰπεῖν τῷ ἀνδρὶ μένειν χωρὶς γυναικός· κωλύεται γὰρ ἡ γυνὴ μετὰ τὸ διαζύγιον ἑτέρου γάμου, ἀλλ' οὐχ ὁ ἀνήρ. Ὁ γοῦν Γρατιανὸς καὶ Πέτρος Λομβάρδος νομίζουσι τὸν τόπον νοθεύεσθαι· ὅπερ οὐδεὶς ἕτερος ἔφη. Ὅμως ὁ Χρυσόστομος ἐν τῇ ἐξηγήσει τοῦ τόπου[1] τὴν πορνείαν μόνην, κατὰ Χριστὸν, οὐκ οἴεται ἐμποδίζειν δεύτερον γάμον. Ἀλλ' ἀντερεῖς ἐπειδὴ εὕρηνται καὶ θεῖοι ἄνδρες ἁπλῶς τὸν δεύτερον γάμον κωλύοντες, ἀποκρίνομαι· τὸ διάταγμα μὴ εἶναι ἀναγκαστικὸν, ἀλλὰ νουθετικόν· ὡς Γαϊτάνος καὶ Καταρῖνος οἴονται.

[1] Διττῶς ἔχει ἡ ἀνάγνωσις τῆς λέξεως ταύτης· ἀναγινώσκεται γὰρ καὶ τύπου καὶ τόπου.

ΣΗΜΕΙΩΣΕΙΣ.

(Α΄.)

" ΜΕΘΩΝΗ, πόλις Θρᾴκης εὐθηνοῦσα, ἀπὸ Μεθώνης Βορέου μὲν καὶ Ὀρειθύας θυγατρὸς, γυναικός δ' Εὔκλου τοῦ τῆς πόλεως οἰκιστοῦ, ὡς Διευχίδας φησὶν ὁ Λαρισσαῖος ἐν τῇ τετάρτῃ τῶν Θρᾳκικῶν. Ὅμηρος δὲ διὰ τοῦ ἦτα γράφει αὐτήν·

> ' Οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο'
>
> (Ἰλιάδ. β΄. στίχ. 716.)

Ὁ πολίτης Μεθωναῖος. Ἔστι καὶ Μακεδονίας ἐν ᾗ καὶ ἱερὸν Μεθωναίου Διονύσου, ὡς Ὑψικράτης φησὶν, ἥν περ καὶ Μεθύνην ἱστορεῖ καλεῖσθαί ποτε, ἀπὸ τοῦ Μέθυ· πολύοινος γάρ ἐστι. Τρίτη τῆς Λακωνικῆς, Μεθωναίων τῶν Θρᾳκῶν ἄποικος, ὧν ἡγεῖτο Δαρμάμενος, ταύτης τὸ ἐθνικὸν Μεθωναιεύς, ὡς Κορωναιεύς. Τετάρτη ἐν Περσίδι Σούσων πρὸς νότον. Πέμπτη Εὐβοίας ἀμφιθάλασσος· κεῖται γὰρ ἐπὶ τοῦ Ἱστιαίου ἰσθμοῦ· ἔστι δὲ αὕτη Ἀρχίτου κτίσμα ἐκ τῆς Μακεδονικῆς Μεθώνης ὁρμωμένου, ὡς Νυμφόδωρος ἐν τῇ πρώτῃ τῶν Εὐβοεικῶν. Ἕκτη Δολοπίας παρὰ τὴν Συνιάδα λίμνην."

Οὕτως ἔχει ἐν τῇ παρ' ἐμοὶ ἐν χειρογράφοις σωζομένῃ τῶν Ἐθνικῶν πολυτίμῳ συγγραφῇ Στεφάνου τοῦ Βυζαντίου· ἐν δὲ τῇ ἐπιτομῇ αὐτῆς, τῇ ὑπὸ Ἑρμολάου τοῦ γραμματικοῦ συνταχθείσῃ, ἔχει ὧδε.

> " Μεθώνη, πόλις Θρᾴκης. Ὅμηρος διὰ τοῦ ἦτα·
>
> " οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο,"

ὁ πολίτης Μεθωναῖος· ἔστι καὶ Μακεδονίας· ἐκλήθη ἀπὸ τοῦ μέθυ· πολύοινος γάρ ἐστι, καὶ τῆς Λακωνικῆς, ἧς τὸ ἐθνικὸν Μεθωναιεὺς, ὡς Κορωναιεὺς, τετάρτη ἐν Περσίδι, πέμπτη Εὐβοίας."

(Β΄.)

Ὁ ἐπ' ὀνόματι τῆς τοῦ Θεοῦ μητρὸς κοιμήσεως τιμώμενος ναὸς, ὃς ὕστερον Θεσσαλονικέων ἐπωνόμαστο, ᾠκοδομήθη τὸ πρῶτον ἐν τῇ Διοσκουριάδι κώμῃ ἐπὶ τῶν ἐρειπίων τοῦ ναοῦ τῶν Διοσκούρων ἐν ἔτει ΤΙ΄ συνδρομῇ τῶν αὐτοχθόνων· ἰδίως δὲ τῶν ἀρχόντων τῆς πόλεως Ἀθανασίου τε καὶ Ἀλεξάνδρου καὶ Παλλαδίου, ὥς φησιν Ἀμφιλόχειος ὁ Θεσσαλονικεὺς ἐν τῇ ἕκτῃ τῶν Χαλδαϊκῶν. Ἔκειτο δὲ ἥ τε κώμη καὶ ὁ ναὸς πρὸς δυσμὰς τοῦ Ἄθω παρὰ τὴν κοιλάδα Εὔλοχον, ἔνθα καὶ ναὸς Ἀφροδίτης Εὐλόχου, ἀφ' ἧς καὶ τῆς προσηγορίας ἡ κοιλὰς ἔτυχε. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ ἄλλα μὲν πλεῖστα ὅσα περὶ τούτου τεκμήρια, μάλιστα δὲ αἱ ἐν τῷ χώρῳ τούτῳ πρὸ ἐτῶν ἑπτὰ ἀνασκαφεῖσαι τέσσαρες παλαιόταται ἐπιγραφαὶ, αἵ περ μικρὸν ὕστερον τοῖς τῶν Τρωϊκῶν ἀναμφιβόλως χρόνοις ἐχαράχθησαν· ἀπαντᾶται γὰρ ἐν αὐταῖς οὐδαμῶς τὰ διπλᾶ τῶν γραμμάτων καὶ ὅρα ἐν τῷ τέλει τὸ ἔκτυπον αὐτῶν ὡς ἐν πρωτοτύπῳ ἔχει.

Ἡ πρώτη οὖν τῶν τεσσάρων τούτων ἐπιγραφῶν κλάσμα οὖσα ἀναμφιβόλως τοῦ βάθρου τοῦ τῆς Θεοῦ ἀγάλματος, ὥς περ καθορᾶται, ἔχει μὲν ὕψος πήχεων δύω, εὖρος δὲ πήχεως καὶ δακτύλων ἕξ· οὖσα δὲ γεγραμμένη βουστροφηδὸν, φράζει, δεξιόθεν ἀρχομένοις καὶ πρὸς τὰ ἀριστερὰ χωροῦσι, τάδε.

α΄.

ΘΕΑΝ ΕΥΛΟΚΗΟΝ	Θεὰν Εὔλοχον
ΕΠΟΙΕΕ ΜΕΓΑΣΘΕ	ἐποίεε Μεγασθέ
ΝΕΣ ΚΛΕΟΜΕΝΟΣ	νης Κλεομένους
Ο ΘΑΣΙΟΣ	ὁ Θάσιος.

Ἡ δὲ δευτέρα θραῦσμα οὖσα καὶ αὐτὴ κρηπῖδος καὶ ἔχουσα ὕψος μὲν πηχυαῖον, εὖρος δὲ τὸ ἴσον παρὰ δύω δακτύλους ἀναγινώσκεται ἐξ ἀριστερῶν πρὸς τὰ ἀριστερά· βουστροφηδὸν γὰρ ἔχει καὶ αὐτὴ τὴν γραφήν· τὸ δὲ αὐτῆς γράμμα ἔχει ὡς ἑξῆς.

β΄.

ΤΕΙΑΠΗΡΟΔΙΤΕΙΤΕΙ	Τῇ Ἀφροδίτῃ τῇ
ΕΥΛΟΚΗΟΙΜΑΝΕΤΗΕ	Εὐλόχῳ μ' ἀνέθη-
ΚΕΝΕΥΤΡΟΠΙΟΣΕΥ	κεν Εὐτρόπιος Εὐ-
ΤΡΟΠΙΟΑΡΚΗΙΕΡΕΥΣ	τροπίου Ἀρχιερεύς.

Ἡ δὲ τρίτη κλάσμα οὖσα κίονος, ὡς καθορᾶται, ἔχει μὲν ὕψος πήχεως καὶ τεσσάρων δακτύλων, περιφέρειαν δὲ πηχῶν τριῶν· οὖσα δὲ ἐγκε-

χαραγμένη βουστροφηδὸν, ἀναγινώσκεται ὥσπερ καὶ ἡ δευτέρα· φράζει δὲ αὕτη τάδε·

γ΄.

ΑΠΗΡΟΔΙΤΕΙΕΥΛΟΚΗΟΙ	Ἀφροδίτῃ Εὐλόχῳ
ΤΟΝΑΓΡΟΝΛΥΣΙΔΙΚΕΙ	τὸν ἀγρὸν Λυσιδίκῃ.

Ἡ δὲ τετάρτη θραῦσμα οὖσα βεβαίως ὑπερθυρίου, ἧς τὸ ὕψος πήχεώς ἐστι, τὸ δ᾽ εὖρος πήχεως καὶ δακτύλων ὀκτὼ, ὁ δὲ ὄγκος πήχεως πλέον ἢ ἑνὸς, ἀναγινώσκεται ἀπὸ δεξιῶν πρὸς ἀριστερὰ καὶ τἀνάπαλιν· ἔστι γὰρ καὶ αὕτη ἐγκεχαραγμένη ὥς περ καὶ ἡ πρώτη· τὸ δὲ γράμμα αὐτῆς ἔχει ὧδε·

δ΄.

ΘΕΟΙΝΠΟΛΙΟΚΗΟΙΝΠΥ	Θεοῖν πολιοῦχοιν πυ-
ΛΟΟΝΑΚΑΙΚΙΟΝΑΣ	λῶνα καὶ κίονας
ΗΟΔΕΕΜΟΣΔΙΟ	ὁ δῆμος Διο
ΣΚΟΡΙΑΔΟΣ	σκουριάδος.

Ἐκ τῶν τεσσάρων τοίνυν πολυτιμωτάτων ἐπιγραφῶν τούτων, ὧν ἡ γραφή ἐστι παρεμφερὴς τῇ τῶν Ἀμυκλῶν, Φλιοῦντος, Σιγείου, καὶ περὶ ἧς πάντῃ περιττὸν λεπτολογεῖν ἐνταῦθα, βεβαιούμεθα, ὡς ἐν Ἄθῳ ἦν πάλαι ποτὲ κωμόπολις Διοσκουρία καλουμένη, ἐν ᾗ ὑπῆρχε δύω ἱερὰ τὸ τῶν Διοσκούρων, τῶν καὶ πολιούχων ὄντων, καὶ τὸ τῆς Εὐλόχου Ἀφροδίτης, ὅ περ σαφηνίζει ἔτι μᾶλλον Στέφανος, ὁ τὰ Ἐθνικὰ συγγραψάμενος, γράφων ὧδε·

"Διοσκουριὰς, μία τῶν ἐν Λιβύῃ Λευκῶν νήσων, ἐν ᾗ καὶ Διοσκούρων ἱερὸν ἅγιον, ἀφ᾽ οὗ καὶ ἡ νῆσος, ἵδρυμα Θυέστου Λάκωνος, ὡς Δημοκράτης ὁ Ἀδραμυττηνὸς ἐν τῇ τρίτῃ τῶν περίπλων· ὁ νησιώτης Διοσκουρίτης. Ἦν δὲ καὶ πόλις περὶ Πόντον, Αἶα τὸ πάλαι καλουμένη, ἀπὸ Αἴου Εὐρυβάτου οἰκιστοῦ αὐτῆς, Σεβαστοπόλεως ἐγγὺς, ἣν ἐρημωθεῖσαν οἱ ἀστυγείτονες αὐτῆς, ὧν ἡγεῖτο Μελέαγρος ὁ Σεβαστοπολίτης, ᾤκησαν καὶ Σεβαστόπολιν ἐκάλεσαν. Μικρὸν δὲ ὕστερον ἐρημωθεῖσαν αὖθις αὐτὴν, ἐξ ἐπιδρομῶν τῶν περιοίκων βαρβάρων καὶ ἐμφυλίων στάσεων, Μιλήσιοι ἀνῴκησαν καὶ τείχεσι περιέβαλον, ὡς Νικάνωρ ἱστορεῖ. Τρίτη Καρίας, Καύνου ἐγγύς. Τετάρτη, κωμόπολις ἐν Ἄθῳ, ἐν ᾗ καὶ ἱερὸν Διοσκούρων περίπτερον, ἀφ᾽ οὗ καὶ ἡ κωμόπολις, καὶ Ἀφροδίτης Εὐλόχου, ὡς Κάστωρ ἐν τῇ τρίτῃ τῶν νόστων. Πέμπτη Κυλικίας ἐπὶ τὸν Καλύκαδνον ποταμὸν Ὑρίας ὕπερθεν, Ἑκαταῖος· ὁ Πολίτης Διοσκουριεύς. Ἔστι καὶ ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ νῆσος Διοσκουρίδου."

Τὸ χωρίον τοῦτο, τοῦ Ἐθνικογράφου Στεφάνου, ὅπερ ὁ ἐπιτομεὺς

αὐτοῦ διέφθειρεν ἐπιτέμνων, ὡς καὶ πᾶσαν τὴν συγγραφὴν, διευκρίνησεν, ὡς οἶμαι, ἀρκούντως, τὰ περὶ τῆς ἐν Ἄθῳ Διοσκουριάδος κώμης, ὥς γε καὶ τὰ περὶ τῶν ἱερῶν Διοσκούρων τε καὶ Ἀφροδίτης Εὐλόχου· πρὸς τούτοις δὲ ἔστω ὡς ἐπίμετρον καὶ ἕτεραι τρεῖς ἐπιγραφαὶ πολὺ τῶν πρώτων νεώτεραι, ἥ τε πέμπτη φημὶ καὶ ἡ ἕκτη καὶ ἡ ἑβδόμη, ἀνασκαφεῖσαι καὶ αὗται ὅπου καὶ αἱ πρῶται· ἔχει δὲ τούτων, ἡ πέμπτη, ἣ καὶ δίπηχύς ἐστι τὸ ὕψος, τὸ δ' εὖρος τετράπηχυς, ὡς ἑξῆς.

ε΄.

"Οἱ Θουριμάχου παῖδες Κυνόρτας, Δῶρος, Κύλλων,
Κραναὸς, Περδίκκας, Φῶκος, Μοιραγέτης, Γελέων, Βίτων,
Δράκων, Δίορφος, Λαοδάμας, Νέστωρ, Οἰνεὺς τὸ περίστυλον
Ἀφροδίτῃ Εὐλόχῳ ὑπ (ὲρ) τῆς μητρὸς αὐτῶν Λανάσης."

Ἡ δὲ ταύτης ἀκόλουθος, ἡ ἕκτη, ἥ περ ἔχει ὕψος μὲν πηχυαῖον, εὖρος δὲ τριπηχυαῖον, φράζει ὧδε.

ς΄.

"Διοσκούροιν θεοῖν μεγάλοιν Ἀνδραίμων τὸ ἀέτωμα."

Ἡ δὲ ἑβδόμη θραῦσμα οὖσα, ὡς ἔοικε, στήλης καὶ ἔχουσα ὕψος πηχυαῖον εὖρος δὲ διπλάσιον λέγει τάδε.

ζ΄.

"Διοσκουριέων ἡ βουλὴ καὶ ὁ Δῆμος
Νέστορα Πλάτωνος ἥρωα."

Αὗται οὖν ἅπασαι ἐν μιᾷ καὶ τῇ αὐτῇ κοιλάδι ἀνεκαλύφθησαν διεσπαρμένως, ἢ μερικώτερον εἰπεῖν εὐκρινείας χάριν· ἡ μὲν πρώτη καὶ δευτέρα καὶ τρίτη καὶ πέμπτη πρὸς ἕω τῆς τοῦ Ῥοσοῦ παλαιᾶς μονῆς, ὡσεὶ βήματα δισχίλια μακρὰν αὐτῆς· αἱ δὲ λοιπαὶ τρεῖς, ἐν τοῖς ἐρειπίοις τῆς αὐτῆς μονῆς. Ἔστι δὲ ἡ κοιλὰς αὕτη Εὔλοχος, ἥ περ Παλαιομονάστηρον καλεῖται ἤδη κοινῶς, ἀπὸ τῆς ἐν αὐτῇ ἐρημωθείσης μονῆς, ἧς τὰ ἐρείπια εἰσέτι σῴζονται, λίαν εὔφορος καὶ βαθύδενδρος πάνυ. Ἔχει δὲ καὶ τὴν ἔκτασιν μεγάλην καὶ τὴν θέαν καλλίστην· καὶ πρὸς οἴκησιν ἀγαθὴ σφόδρα. Δι' ὃ καὶ Μυρκίνιοι ἐκβληθέντες ποτὲ τῆς χώρας αὐτῶν ὑπὸ τῶν Σαπαίων, ᾤχοντο ὅποι ἕκαστος ἔτυχε· καὶ δὴ καὶ εἰς Ἄθω προσέφυγον πολλοὶ Διοσκούρου Μελάνδου ἡγουμένου τῶν προσπεφευγότων, ὃς ἐπισκεψάμενος τὴν χώραν καὶ τὴν κοιλάδα εὔλοχον οἰκήσιμον εὑρὼν, ᾤκησε σὺν τοῖς ὧν ἡγεῖτο, καὶ Διοσκουριάδα ἀφ' ἑαυτοῦ ἐκάλεσεν, ὥς φησιν Ἐχέμβροτος ὁ Θρᾷξ παρὰ Ἀμφιλοχείῳ τῷ τὰ τῶν Χαλδαίων συγγραψαμένῳ.

Ἐν τῇ κοιλάδι οὖν ταύτῃ οἰκοδομηθεὶς ὁ ναὸς τῆς Ἀειπαρθένου, ὡς ἐῤῥέθη, ἐλαμπρύνθη μετὰ χρόνον (τῷ ΤΜψ) τῷ καλάμῳ Θεοδωρήτου τοῦ Βυζαντίου. Ἀλλὰ κατασκαφεὶς ὕστερον ὑπὸ Ἀνδροκλείδου Τοπάρχου τῆς πόλεως Διοσκουριάδος, διαταγῇ τοῦ Αὐτοκράτορος Ἰουλιανοῦ τοῦ Παραβάτου, Θεοδόσιος ὁ νεώτερος ἀνεκαίνισεν αὐτὸν ἐκ βάθρων τῷ ΥΜϛψ ἐπὶ τῆς πατριαρχείας Φλαβιανοῦ τοῦ ἀοιδίμου ἐκείνου καὶ σοφωτάτου Πατριάρχου, αἰτήσει Ἀρσενίου τινὸς Ἀθωνίτου, πνευματικοῦ δὲ πατρὸς χρηματίσαντος τοῦ αὐτοῦ Αὐτοκράτορος, πρὸς δὲ καὶ τοῦ Φλαβιανοῦ, ὃς μάλιστα καὶ εἰς ἡσυχαστήριον μετεποίησε μοναστῶν τείχεσί τε καὶ δωματίοις εἰς ἀνάπαυσιν τῶν μοναζόντων περιβαλὼν τὸν ναόν· τῆς κωμοπόλεως κενωθείσης μετὰ μικρόν. Ἐκάλλυναν δὲ γραφαῖς αὐτὸν ἱεραῖς ὅ τε Σωκρατίσκος καὶ Εὐάγριος οἱ Κεδραῖοι τῷ ΥΝΓψ. Μετὰ δὲ ταῦτα ἀνεκαινίσθη αὖθις ταῖς γραφαῖς τῷ ΧΟψ, δαπάνῃ μὲν τοῦ Αὐτοκράτορος Κωνσταντίνου Εου τοῦ Πωγωνάτου υἱοῦ Κώνστα, καλάμῳ δὲ Φιλίππου τοῦ Ἑρυμναίου. Μετὰ χρόνον δὲ πολὺν ἐρημωθέντος τοῦ ἡσυχαστηρίου τούτου ἐξ ἐπιδρομῆς καὶ τοῦ ναοῦ πεσόντος, Εὐδοκία ἡ βασιλὶς, ἡ σύζυγος Κωνσταντίνου ΙΑου τοῦ Δούκα ἐγείρει μονὴν μεγαλοπρεπεστάτην τῷ ͵ΑΞΗψ εἰς μνήμην τοῦ μεγαλομάρτυρος Παντελεήμονος μηνὶ Αὐγούστῳ τῇ τοῦ πνευματικοῦ αὐτῆς θείου Ἀνατολίου, μοναχοῦ Ἀθωνίτου προτροπῇ, τοῦ ἐν τοῖς ἐρειπίοις τῆς αὐτῆς κατεσκαμμένης μονῆς ἡσυχάσαντός ποτε, καὶ τὸν βίον ἀγνώστου ἐν τοῖς ὕστερον καταλύσαντος ἐν τῇ αὐτῇ μονῇ μετὰ τὴν οἰκοδομὴν ἐν ὁσιότητι μέχρι τελευτῆς. Ἐκάλλυνε δὲ καλάμῳ Πανσέληνος[1] Καλλιστράτου ὁ γος, Συμαῖος

[1] "Τρεῖς παρέδωκαν ἡμῖν γεγονέναι ἐπιφανεστάτους Πανσελήνους οἱ βιογράφοι, Διονύσιος ὁ Χαλκιδεὺς, Εὐστάθιος ὁ Ἀμφιπολίτης, Μελέτιος ὁ Χῖος, Κοσμᾶς ὁ Τριπολίτης, Φιλάραιτος ὁ Κάσιος, Παρθένιος Ἁγιοπαυλίτης ὁ ἐξ Ἰθάκης, Εὐπύλαρος ὁ Κεφαλλήν. Πέντε δὲ αἱ παραδόσεις τῶν πατέρων ἡμῶν, ὧν ὀνομαστότερος ὑπῆρξεν ὁ Σίμωνος πατρόθεν Συμαῖος, μητρόθεν Θεσσαλονικεύς· ἀνὴρ οὐ μόνον κατὰ τὸ γένος ἐπιφανὴς, καὶ τὴν Ἁγιογραφίαν περιβόητος, καὶ τὴν χυμίαν διάσημος, δι' ἧς καὶ τὴν Ἡλιοτυπίαν ἐξεῦρεν, ἀλλὰ καὶ κατὰ τὴν ἱερὰν Θεολογίαν καὶ τὴν θύραθεν φιλοσοφίαν ἤκμασεν εἰς ἄκρον. Ἐγεννήθη δὲ ὁ μέγας οὗτος ἀνὴρ τῷ ε,ϡμθψ καὶ ἐτελεύτα τῷ ϛ,κθψ σωτηρίῳ ἔτει καταλειπὼν ἡμῖν πολλὰ τῆς αὐτοῦ μνήμης ἄξια, ἐν οἷς καὶ τὰς εἰκονικὰς παραστάσεις τοῦ Προφητάνακτος Δαυΐδ, καὶ τὰς τῆς Ἁγιογραφίας διδασκαλίας. Μετὰ δὲ τοῦτον ὁ Καλλιστράτου ἔρχεται πατρόθεν καὶ μητρόθεν Συμαῖος γεννηθεὶς τῷ ϛ,φμψ ἐφάμιλλος τοῦ πρώτου κατὰ τὴν Ἁγιογραφίαν, πολὺ δὲ ὑπερέχων ἐκείνου κατὰ τὴν κηρογραφίαν, περὶ ἧς μάλιστα καὶ πολλὰ ἐν βιβλίῳ ἐσημείωσε, καθὼς καὶ περὶ τῆς Ἁγιογραφίας. Ἐτελεύτα δὲ οὗτος τῷ ϛ,φϟϛψ. Μετὰ δὲ τοῦτον ὁ τοῦ Ἐμμανοήλου Ἰώλκιος τὴν πατρίδα, ὃ γεννηθεὶς τῷ ϛ,ψμηψ, ἐτελεύτα τῷ ϛ,ωλψ· Ἐθαυμάσθη δὲ οὗτος ταμάλιστα ἐπὶ τῇ Ἁγιογραφίᾳ. Τέταρτος δὲ, ὁ τοῦ Εὐσταθίου Προυσαεὺς τὴν πατρίδα γεννηθεὶς τῷ ϛ,ψϟεψ, ἐτελεύτα τῷ ϛ,ωξβψ· ἦν δὲ οὗτος τὴν μὲν σοφίαν πολὺς, τὴν δὲ τῆς Ἁγιογραφίας τέχνην μιμητὴς τῶν πρὸ αὐτοῦ. Πέμπτος ὁ Θεοδοσίου γεννηθεὶς μὲν ἐν Ζακύνθῳ τῷ ϛ,ϡπζψ, τελευτήσας δὲ ἐν Ἄθῳ τῷ ϛ,ϡλϛψ, ὃς καὶ κατέλειπεν ἡμῖν

τὸ γένος (τῷ ΑΟΒῳ). Ἐπὶ δὲ τῆς βασιλείας Μιχαήλου ϛου τοῦ Παραπινακίου υἱοῦ Δούκα, ἤτοι τῷ ΑΟϚῳ καταστραφείσης ἐξ ὁλοκλήρου ὑπὸ πυρὸς, ἀνεκαίνισαν τὸν ναὸν καὶ μικρὸν μέρος τῆς λοιπῆς οἰκοδομῆς Ἀντώνιος, καὶ Σάββας, καὶ Δωρόθεος οἱ Θεσσαλονικεῖς, τέκνα ἀγαπητὰ Δημητρίου καὶ Ἀναστασίας τῷ ΑΟΖῳ, δι' ἣν αἰτίαν καὶ Θεσσαλονικέων μονὴ ἐκλήθη, ἀπὸ τοῦ ὀνόματος τῆς πόλεως ἐξ ἧς κατήγοντο οἱ κτίστορες λαβοῦσα τὴν ἐπίκλησιν· καθωράϊσε δὲ γραφαῖς ἱεραῖς Γερμανὸς Ἱερομόναχος, ὁ Κασσανδρεὺς, τῷ ΑΟΗῳ, ἐν μηνὶ Σεπτεμβρίῳ. Τῷ δὲ Αϡϛῳ κατοικισθεῖσα ὑπὸ Σέρβων καὶ εὐαρίθμων Ῥώσσων, μοναχῶν τῆς μονῆς τοῦ Ξυλουργοῦ, οὕτω τὸ πάλαι καλουμένης, ὕστερον δὲ Εὐογοροδίσσης, καὶ Βουγοροδίσσης τανῦν (ἀνακαινισθείσης τὸ τέταρτον ὑπὸ Ἀλεξάνδρου καὶ Ἰωάννου τὸ γένος Ντολεγορούσσων, ἤγουν μακροχειρῶν), τῇ διαταγῇ τοῦ αὐτοκράτορος Ἀλεξίου Κομνηνοῦ τοῦ πρώτου αἰτήσει τῶν Σέρβων, διὰ τῶν πληθυσμὸν, καὶ μάλιστα τοῦ ἀοιδίμου Λαζάρου Ἄρχοντος Σερβίας, Ῥοσοῦ τὸ ἐπίθετον, εὔνου ὄντος τῷ Αὐτοκράτορι Ἀλεξίῳ, ἐκτελέσει δὲ τοῦ Παύλου, Πρώτου τότε ὄντος (τὸ ἀξίωμα) ἐν τῷ Ἄθῳ ἀνεκαίνισαν καὶ τὸν ναὸν (τῷ ΑΡΙῳ) κατὰ τὴν ἰδίαν αὐτῶν ἀρέσκειαν, καθάπερ καὶ τὴν λοιπὴν οἰκοδομὴν, ἐρημωθεῖσαν σχεδὸν μετὰ θάνατον τῶν Θεσσαλονικέων κτιστόρων· ἐκάλλυνε δὲ αὐτὴν γραφαῖς Μανουὴλ ὁ Θεσσαλονικεὺς (τῷ ΑΡΙΖῳ)· ἡ δὲ μονὴ Ῥοσοῦ ἐκλήθη ἀπὸ τοῦ κτίσαντος αὐτὴν Λαζάρου Ῥοσοῦ· μετὰ δὲ Ῥόσων μονὴ καὶ Ῥοσικὸν ἔλαβε τὴν ἐπωνυμίαν, ἣν φέρει μέχρι τῆς ἡμέρας ταύτης[1]. Ἀλλ' ἀνεκαινίσθη πάλιν καλάμῳ (τῷ ΑΣΚΘῳ) ἐπὶ τῆς βασιλείας Ἰωάννου Δούκα τοῦ Βατάζη, δαπάνῃ μὲν Γερμανοῦ τοῦ βου πατριάρχου Κωνσταντινουπόλεως, τοῦ ἐν λόγοις καὶ εὐσεβείᾳ διασημοτάτου, τέχνῃ δὲ Παύλου τοῦ Σμυρναίου. Καὶ πάλιν ἀνεκαινίσθη τῷ ΑΤΞΒῳ συνδρομῇ τοῦ Αὐτοκράτορος Ἰωάννου τοῦ παλαιολόγου σχεδὸν ἐξολοκλήρου, τῶν Σέρβων καὶ Ῥώσσων ἀναχωρησάντων πρὸ τεσσάρων ἐτῶν τῆς οἰκοδομῆς· καθωράϊσε δὲ γραφαῖς ἡ χεὶρ Ἀνθεμίου τοῦ Βαργασηνοῦ (τῷ ΑΤΞΘῳ). Τῷ δὲ ΑΥΛΘῳ ὅτε αὖθις ὁ Γεώργιος, καὶ Παῦλος, καὶ Ἀνδρέας, καὶ Ἰωάννης ἄρχοντες Σερβίας σὺν ἄλλοις Σέρβοις ἐκοινοβίασαν ἐν αὐτῇ ὑποταγέντες τῷ τότε

σὺν ἄλλοις λίαν ἐπωφελέσι συγγράμμασι καὶ τὴν περιγραφὴν οὐκ ὀλίγων λειψάνων τῶν πρὸ αὐτοῦ ἀκμασάντων συνωνύμων αὐτῷ." Οὕτω Στέφανος ἱερομόναχος ὁ Ἀθηναῖος ἐν τῇ περὶ τῶν ἐνδόξων ἀνδρῶν τοῦ Ἄθω τρίτῃ βίβλῳ. Ὅρα περὶ τοῦ Στεφάνου τούτου ἐν σελίδι 116.

Περὶ Πανσελήνων ἔγραψαν καὶ ἄλλοι τῶν Ἀθωνιτῶν σοφῶν, ὧν τὰς μαρτυρίας παρατρέχω ἐπὶ τοῦ παρόντος, ὅτι εἰσὶ πολλαὶ καὶ ἐν τῷ παρόντι ἄσκοποι ὅλως.

[1] Οἱ σήμερον παράγοντες τὸ ὄνομα ἐκ τοῦ ἐθνικοῦ ὀνόματος Ῥῶσσος γράφουσί τε καὶ προφέρουσι τὴν μὲν μονὴν Ῥωσσικὴν, τὸν δὲ ταύτης κάτοικον Ῥῶσσον· ἀλλὰ λανθάνονται οἱ ἄνθρωποι· οὐ γὰρ Ῥῶσσοι ἔκτισαν τὴν μονὴν ἐκείνην, ἀλλ' ὁ Ῥοσός.

ἡγουμενεύοντι Μεθοδίῳ, ἀνεκαινίσθη γραφαῖς καὶ ὁ ναὸς ὑπὸ Σίμωνος τοῦ Ἀντανδρίου τῷ ͵ΑΥΜΔῳ. Μετὰ δὲ παρέλευσιν ΡΙΒ ἐτῶν ἤτοι τῷ ͵ΑΞΓῳ Μαρτίου ΚΕῃ τῇ ἑορτῇ τοῦ Εὐαγγελισμοῦ ὥρᾳ Γῃ μμ πυρὶ παραδοθεὶς ἀπετεφρώθη οὐχὶ μόνον ὁ ναὸς, ἀλλὰ καὶ τὰ περὶ τὸν ναὸν, τά τε ἐντὸς καὶ ἐκτὸς τοῦ τείχους οἰκήματα τῶν μοναχῶν, σὺν τοῖς βαρέως ἀσθενοῦσιν. Ἔκτοτε δὲ οὐδεὶς ἀνήγειρεν αὐτὴν, ἀλλὰ μένει μέχρι σήμερον σωρὸς λίθων. Ἐν δὲ τοῖς μεταγενεστέροις χρόνοις ἤτοι τῷ ͵ΑΨΠΖῳ Σάββας ὁ Πελοποννήσιος ἤγειρεν ἐκ θεμελίων μονίδριον παρὰ τὴν θάλασσαν ἀπέχουσαν τῆς παλαιᾶς, μίαν καὶ ἡμίσειαν ὥραν, πρὸς δυσμᾶς τοῦ Ἄθω, ἐπὶ τοῦ Ὑακινθίου χώρου δαπάνῃ τοῦ ἀοιδίμου Αὐθέντου Σκαρλάτου τοῦ Καλλιμάχου· ἀλλὰ ταύτης ἀφεθείσης διὰ τὴν σμικρότητα, ἄλλη ἐγείρεται παρ' αὐτῇ, τῷ ͵ΑΩΙΔῳ, μεγαλοπρεπεστέρα, ἡ νῦν ἀκμάζουσα, δαπάνῃ τοῦ αὐτοῦ ἡγεμόνος Σκαρλάτου.

Συνήργησαν δὲ εἰς τὴν νέαν ταύτην οἰκοδομὴν οὐκ ὀλίγον καὶ αἱ προτροπαὶ Σάββα τοῦ ἱερομονάχου, τοῦ καὶ καθηγουμένου χρηματίσαντος μικρὸν μετὰ τὴν οἰκοδομὴν, καὶ πρὸ πάντων αἱ τοῦ ἀοιδίμου διδασκάλου Προκοπίου τοῦ Δενδρινοῦ Ἱεροκήρυκος τῆς Μεγάλης Ἐκκλησίας, τοῦ ἐπ' ἀρετῇ καὶ σοφίᾳ καὶ εὐσεβείᾳ διασήμου (ἐκδημήσαντος πρὸς Κύριον τῷ ͵ΑΩΜΗῳ Αὐγούστου ΙΔῃ ἐν τῇ αὐτῇ μονῇ). Ἐν αὐτῇ δὲ καὶ ὁ σοφὸς καὶ ἐνάρετος Βενέδικτος ὁ Συμαῖος τῷ ͵ΑΩΜῳ Μαΐου ΚΘῃ, ὁ καὶ τὴν μονὴν ἀνακαινίσας κατὰ τὸ πλεῖστον τὸ κοινὸν ἐπλήρωσε χρέος. Ἦλθε δὲ οὗτος τὸ δεύτερον εἰς τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθω μετὰ τὸν θάνατον τοῦ ἀοιδίμου Κυβερνίτου τῆς Ἑλλάδος Καποδιστρίου, πρὸς ὃν καὶ οἰκειότητα καὶ παῤῥησίαν εἶχε μεγάλην[1]. Μετὰ δὲ τὸν θάνατον τοῦ Βενεδίκτου ἐκοινοβίασαν καὶ Ῥῶσοι πολλοὶ, ἐν ᾧ πρὶν τῆς τελευτῆς ἐκείνου οὐδεὶς ὑπῆρχε. Νῦν δὲ ὑπερβαίνουσι κατὰ τὸν ἀριθμὸν καὶ τοὺς Ἕλληνας. Ἵδρυσαν δὲ οὗτοι καὶ ναὸν τοῦ ἁγίου Μητροφάνους ἐν τῇ αὐτῇ μονῇ μικρὸν μὲν, κομψὸν δὲ, ἐν ᾧ Ῥωσσιστὶ ἱερουργοῦσι. Δι' ὃ καὶ πολλοὺς ἔχει τοὺς ἐνοικοῦντας, ὧν εἷς ὑπῆρχε καὶ ὁ πρὸ δεκαπέντε ἐτῶν τελευτήσας Παντελεήμων ὁ τὴν τράπεζαν τῆς αὐτῆς μονῆς καθωραΐσας

[1] Ἐν Ὀδησσῷ εὑρισκόμενος, καὶ ὑπὸ τὴν κηδεμονείαν τοῦ ἀοιδίμου Ἀλεξάνδρου Στούρτζα τοῦ κλεινοῦ ἐκείνου διατελῶν, καὶ λόγου γενομένου περὶ Βενεδίκτου, ἤκουσα αὐτοῦ λέγοντος τάδε· Ἰωάννης ὁ Καποδιστρίας, ὁ θεῖος ἐκεῖνος ἀνὴρ, ἔγραψέ μοι πολλάκις ταῦτα .... "Οὐδένα εὗρον ἐν Ἑλλάδι μέχρι τῆς ἡμέρας ταύτης παιδείαν ἔχοντα ἀληθῆ, πλὴν τοῦ γηραιοῦ Βενεδίκτου τοῦ Συμαίου, ᾧ μάλιστα καὶ τὴν ἄρτι συσταθεῖσαν ἐν Πόρῳ δογματικὴν σχολὴν ἐνεπιστευσάμην" .... Περὶ δὲ τῆς σοφίας τοῦ ἀνδρὸς τούτου καὶ ἀρετῆς λεγέτωσαν, ὅ τε κλεινὸς Γρηγόριος ὁ ϛ', ὁ πρῴην Κωνσταντινουπόλεως, καὶ Σαμουὴλ ὁ διδάσκαλος, ὁ ἐπ' ἀρετῇ καὶ σοφίᾳ διάσημος, καὶ Ἀνδρέας ὁ Μάμουκας, καὶ ἄλλοι πολλοί· πρὸς δὲ καὶ αἱ πόλεις ἐν αἷς ἐδίδαξε Κυδωνίαι, φημὶ, Σύμη, Ῥόδος, Κύθηρα, Σπέτζαι, Πόρος, καὶ ἐπὶ τούτοις Ἄθω τῶν μοναστῶν τὸ καύχημα.

γραφαῖς τῷ ΑΩΜΓῳ. Ὁ δὲ νῦν πατρικῶς, καὶ σοφῶς ἡγουμενεύων, καὶ ἐπὶ τῶν δύω φυλῶν Γεράσιμός ἐστι Σέῤῥαῖος ὁ κλεινὸς, ἀνὴρ δραστήριος, καὶ ἐπ' ἀρετῇ διασημότατος. Καὶ ταῦτα μὲν περὶ τῆς μονῆς τῶν Θεσσαλονικέων ἢ Ῥόσων τῆς κατὰ τὸν Ἄθων, παροδικῶς χάριν τῶν Λαυριωτῶν Μελχισεδὲκ καὶ Διονυσίου, οἵ περ οὐδὲν ἴσασιν, εἰ μὴ τὸ διαστρέφειν τὴν ἀλήθειαν, ὅπως τὴν ἑαυτῶν μονὴν ἀρχαιοτάτην πασῶν ἀναδείξωσι, κενὰ καὶ κοῦφα πολλὰ λέγοντες. Τὰ δὲ καθ' ἕκαστα μιᾶς ἑκάστου τῶν μονῶν τῶν ἐν τῷ Ἄθῳ ὁράτω ὁ βουλόμενος ἐν τῇ ὁσονούπω ἐκδοθεισομένῃ Ἀθωνιάδι, ἐν ᾗ πάντα τὰ τοῦ Ἄθω λεπτομερῶς περιέχονται.

(Γ'.)

Ὁ κλεινότατος οὗτος Στέφανος γεννηθεὶς ἐν Ἀθήναις τῷ ΑΧΛΒῳ ὑπὸ πατρὸς μὲν Ἀθηναίου Γεωργίου τοὔνομα, μητρὸς δὲ Μεγαρίδος Ἀναστασίας καλουμένης, ἐτελεύτα ἐν Ἄθῳ τῷ ΑΨΕῳ ἐν τῇ τοῦ Ξενοφῶντος μονῇ. Ἔγραψε δὲ οὗτος οὐκ ὀλίγα περὶ παντοίας ὕλης σοφὰ συγγράμματα, ἅπερ δυστυχῶς ἐν χειρογράφοις εἰσέτι ἄγνωστα κεῖνται, ἐν οἷς μάλιστα καὶ ἡ περὶ ἐνδόξων ἀνδρῶν τοῦ Ἄθω πεντάβιβλος συγγραφή· περὶ ὧν πάντων ἐν καιρῷ τῷ δέοντι λεπτομερῶς ἐροῦμεν. Ἐπὶ δὲ τοῦ παρόντος ἀρκεῖτο, ὡς οἶμαι, πρὸς βεβαίωσιν τῶν εἰρημένων, ἅ περ Δημήτριος ὁ Μοσχόπουλος παρὰ Φαβρικίῳ περὶ τοῦ σοφοῦ Στεφάνου περιληπτικῶς ἱστορεῖ λέξεσιν αὐταῖς.

" Στέφανος Ἀθηναῖος Ἱερομόναχος, ἀνὴρ πεπαιδευμένος ἱκανῶς τήν τε ἱερὰν θεολογίαν, καὶ τὴν θύραθεν φιλοσοφίαν· Συνέγραψε διάφορα συγγράμματα, οἷς οὔπω ἐνετύχομεν." (ὅρα Φαβρ. τόμ. ια'. ἔκδ. β'.)

(Δ.)

Ἡ κατὰ τὸν Ἄθω μονὴ τοῦ Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, ᾠκοδομήθη τὸ πρῶτον ἐν τῇ πόλει Δίῳ ἐπὶ τῶν ἐρειπίων τοῦ ἱεροῦ τοῦ Ζωοδότου Διὸς τῷ ΣΜΒῳ. Καθωραΐσθη δὲ γραφαῖς ὑπὸ Νικολάου Ἀκανθίου ἐν ἔτει ΣΝῳ. Ταύτην ἐκ βάθρων ἀνήγηρε Κωνσταντῖνος ὁ Μέγας ἐπὶ τὸ μεγαλοπρεπέστερον τῷ ΤΚΒῳ κατὰ μῆνα Αὔγουστον χάριν τινὸς πεπαιδευμένου ἱερομονάχου, Πρόκλου καλουμένου, καὶ πνευματικοῦ πατρὸς χρηματίσαντος ποτὲ τοῦ αὐτοῦ Αὐτοκράτορος, καὶ ἐν τῷ Ἄθῳ τελευτήσαντος τῷ ΤΜΖῳ· ἐλάμπρυνε δὲ γραφαῖς αὐτὴν Ἀνατόλιος ὁ Κνίδιος τῷ ΤΚΘῳ ἀλλὰ κατασκαφείσης ὑπὸ Ἀνδροκλίδου καὶ αὕτη κατὰ τὴν τοῦ Ἰουλιανοῦ τοῦ παραβάτου ἐπίσημον διαταγὴν, ὡς καὶ ἄλλαι τοσαῦται, Θεοδόσιος ὁ Νεώτερος ἀνήγειρεν ἐκ βάθρων τῷ ΥΛΘῳ· καθωραΐσε δὲ γραφαῖς αὐτὴν τῷ ΦΜῳ Ἱερόθεος ὁ Θεσσαλονικεὺς δαπάνῃ

Μηνᾶ τοῦ Θεσπεσίου ἐκείνου Πατριάρχου τῆς Κωνσταντινουπόλεως, ἀλλ' ἀνεκαινίσθη πάλιν ἥ τε μονὴ καὶ αὐτὸς ὁ ναὸς τῷ ΧΝΒ^ῳ δαπάνῃ Κώνστα (ἀφ' οὗ καὶ τῆς ἐπωνυμίας ἔτυχε Κώνστα μονὴ καὶ κοινῶς Κασταμονίτη) υἱοῦ Κωνσταντίνου τοῦ Δ^{ου}· ἐκάλλυνε δὲ γραφαῖς Μανουὴλ ὁ Περναῖος. Χρόνου δὲ γενομένου πολλοῦ ἤτοι τῷ ΩΟΒ^ῳ ἀνεκαίνισαν αὐτὴν χειρὶ Μητροφάνους ὅ, τε Κύριλλος καὶ Μεθόδιος, οἱ Θεσσαλονικεῖς, υἱοὶ τοῦ Στρατηλάτου Λέοντος, οἱ ἐπ' ἀρετῇ καὶ σοφίᾳ διασημότατοι, οἱ τῶν Σλάβων ἀοίδιμοι ἐκεῖνοι ἀπόστολοι, οἱ καὶ τὰ Σλαβικὰ γράμματα, ἢ Κυρίλλεια κάλλιον εἰπεῖν, πρῶτοι εὑρόντες (ὁ Κύριλλος) καὶ εἰς τὴν Σλαβονικὴν γλῶσσαν εἰσαγαγόντες, καὶ τὰς Γραφὰς Παλαιάν τε καὶ Νέαν μεθερμηνεύσαντες, οἱ καὶ παρὰ Ῥώσσοις, καὶ Βουλγάροις, καὶ Βοημοῖς, καὶ Κροάταις, καὶ Μοραυοῖς, τὸν εὐαγγελικὸν λόγον κηρύξαντες. Τῷ δὲ ϡΞΕ^ῳ πυριφλέκτου γενομένης, Γρηγόριος ὁ Παφλαγὼν, ἀφ' οὗ καὶ τῆς προσηγορίας ἔτυχε Παφλαγῶνος μονὴ ἀνεκαίνισεν ἐκ βάθρων, ἰδίᾳ δαπάνῃ· ἐκάλλυνε δὲ γραφαῖς Ἰωσὴφ ὁ Δαριδναῖος τῷ ϡΟΗ^ῳ. Τῷ δὲ ͵ΑΣΞΗ^ῳ ὁ βασιλεὺς Μιχαὴλ ὁ Παλαιολόγος ἀνακαινίσας σχεδὸν αὐτὴν καὶ προικίσας ποικίλως, αἰτήσει Νικηφόρου τινὸς ἱερομονάχου, παῤῥησίαν ἔχοντος πρὸς τὸν βασιλέα καὶ οἰκειότητα μεγάλην. Ἐκάλλυνε δὲ τὸν ναὸν τῷ ͵ΑΣΟΓ^ῳ χειρὶ Στεφάνου τοῦ Συμαίου. Τούτου δὲ ὕστερον Πανσέληνος ὁ Ζακύνθιος ἀνεκαίνισε καλάμῳ τὸν ναὸν, δαπάνῃ τοῦ βασιλέως Μανουὴλ τοῦ Παλαιολόγου καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου. Ἀλλὰ μετὰ ταῦτα πυριφάτου γενομένου τοῦ ναοῦ, πάλιν ἀνεκαινίσθη γραφαῖς τῷ ͵ΑΧΟΒ^ῳ δαπάνῃ μὲν Νικάνδρου τοῦ Ἀλυζαίου, τέχνῃ δὲ Φιλίππου τοῦ Κρητὸς, τοῦ καὶ τὸν ἐν Ἀλεξανδρείᾳ ναὸν τοῦ ἁγίου Σάββα[1] καθωραΐσαντος. Ἡ μονὴ αὕτη πλουσία οὖσα καὶ εὐδαίμων τὸ πάλαι, σήμερον στερεῖται καὶ τοῦ ἀναγκαίου καὶ ἀναποφεύκτου ὅλως ἐλαίου καὶ θυμιάματος· ἓν μόνον ἔχει ἤδη τὴν πέριξ ζωοφόρον καλλονὴν καὶ ὡραιοτάτην ἀρχιτεκτονικήν· ἐν αὐτῇ πολλοὶ διέπρεψαν ἄνδρες σοφοὶ καὶ ἐνάρετοι, ὧν τὰ ὀνόματα παρ' ὀλίγον ἀπωλέσθη κατὰ τὸ μέγα ναυάγιον τοῦ Ἑλληνικοῦ Ἔθνους· περὶ τούτων ὅλων καθὼς καὶ περὶ ἄλλων πολλῶν διασήμων Ἀθωνιτῶν διελάβομεν ἐν τῷ τετάρτῳ τόμῳ τῆς Ἀθωνιάδος. Καὶ ταῦτα παροδικῶς, περὶ τῆς τοῦ Κώνστα μονῆς χάριν τῶν ἀπὸ σκοποῦ διαστρεφόντων τὴν ἀλήθειαν Λαυριωτῶν.

Ἡ δὲ πόλις Δῖον μία οὖσα τῶν κατὰ τὸν Ἄθων πρωτευουσῶν πέντε πόλεων, ὧν μάλιστα καὶ Θουκυδίδης μνημονεύει, ἦν διάσημος τὸ πάλαι παρὰ τοῖς πέριξ λαοῖς διὰ τὸ ἐν αὐτῇ ἱερὸν τοῦ Ζωδότου Διός· συμμίκτοις δὲ ἔθνεσιν οἰκισθεῖσα βαρβάρων διγλώσσων, ὥς περ καὶ αἱ λοιπαὶ πᾶσαι πλὴν Σάνης, καθάγε ὁ αὐτὸς Θουκυδίδης φησὶν, ἀνεσκά-

[1] Ὅρα τὸ ἱστορικὸν τοῦ ναοῦ τούτου ἔμπροσθεν.

φησαν καὶ ἐπιγραφαὶ διττὴν ἔχουσαι τὴν γραφὴν, αἵ περ κυροῦσι μάλιστα τὰ τοῦ ἱστορικοῦ ἱστορούμενα· λέγει γὰρ οὗτος τάδε·

"Τοῦ δ' αὐτοῦ χειμῶνος Μεγαρεῖς τά τε μακρὰ τείχη, ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, κατέσκαψαν ἑλόντες εἰς ἔδαφος· καὶ Βρασίδας μετὰ τὴν Ἀμφιπόλεως ἅλωσιν ἔχων τοὺς ξυμμάχους, στρατεύει ἐπὶ τὴν Ἀκτὴν καλουμένην. Ἔστι δὲ ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προὔχουσα, καὶ ὁ Ἄθως αὐτῆς ὄρος ὑψηλὸν τελευτᾷ εἰς τὸ Αἰγαῖον πέλαγος. Πόλεις δ' ἔχει, Σάνην μὲν, Ἀνδρίων ἀποικίαν, παρ' αὐτὴν τὴν διώρυγα, ἐς τὸ πρὸς Εὔβοιαν πέλαγος τετραμμένην· τὰς δὲ ἄλλας, Θύσσον, καὶ Κλεωνὰς, καὶ Ἀκροθώους, καὶ Ὀλόφυξον, καὶ Δῖον· αἳ οἰκοῦνται ξυμμίκτοις ἔθνεσι βαρβάρων διγλώσσων. Καί τι καὶ Χαλκιδικὸν ἔνι βραχὺ, τὸ δὲ πλεῖστον Πελασγικὸν, τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν οἰκησάντων, καὶ Βισαλτικὸν, καὶ Κρηστωνικὸν, καὶ Ἤδωνες· κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσι. Καὶ οἱ μὲν πλείους προσεχώρησαν τῷ Βρασίδᾳ, Σάνη δὲ καὶ Δῖον ἀντέστη· καὶ αὐτῶν τὴν χώραν, ἐμμείνας, τῷ στρατῷ ἐδῄου." (βιβλ. δ'. § 109.)

Καὶ ταῦτα μὲν τὰ τοῦ Θουκυδίδου· αἱ δὲ ἐπιγραφαὶ δύω οὖσαι ἀνεκαλύφθησαν τῷ ΑΩΝΑΨ ἐν ᾧ χώρῳ καὶ ὁ ναὸς τοῦ πρωτομάρτυρος Στεφάνου ἤδη ἵδρυται· ὧν τὸ πιστὸν ἔκτυπον ὁράτω ὁ ἀναγνώστης ἐν τῷ τρίτῳ πίνακι.

Τούτων οὖν ἡ η' (κατὰ τὴν ἐν τοῖς πίναξιν ἀρίθμησιν), δίγλωσσος οὖσα, ὡς καθορᾶται, φράζει, τὰ τῆς Ἑλληνικῆς φωνῆς, ἀπὸ δεξιῶν ἀναγινώσκοντες τάδε.

η'.

ΔΙΙ ΣΔΟΟΟΔΟΤΕΕΙ ΑΚΡΟΤΗΟΟΟΙ Διῒ Ζωοδότῃ Ἀκρόθωοι.

Τὰ δὲ μὴ Ἑλληνικὰ, τί λέγει; καὶ τί ταῦτα; Ταῦτα μὲν, κατ' ἐμὴν γνώμην, ἔστι Πελασγικὰ, ὅτι τὸ πλεῖστον τῶν κατοίκων Πελασγοὶ ἦν καθὰ Θουκυδίδης παραδίδωσιν ἡμῖν, λέγει δὲ ὅ, τι καὶ τὰ Ἑλληνικά· καὶ γὰρ τὸ μὲν πρῶτον γράμμα (ἀπὸ δεξιῶν ἀρχόμενοι) ἔστιν ἴσον τῷ ἡμετέρῳ Δ, τὸ δὲ β' = τῷ Ι· τὸ δὲ γ', ἔστι μὲν καὶ τούτῳ ἴσον τῷ ἰῶτα, προφέρεται δὲ βαρέως, ὡς δεχόμενον τόνον βαρὺν ἐν ᾧ τὸ πρῶτον προφέρεται λίαν βραχέως· τὸ δὲ δ', ἐπέχει μεν θέσιν ζῆτα, ἔστι δὲ σῖγμα καὶ προφέρεται συριγματωδῶς πως· τὸ δὲ ε' = τῷ Ο, ἐπέχει δὲ τόπον Ω· τὸ δὲ ς', ἔστιν = τῷ Ο· τὸ δὲ ζ', ἔστιν ὅμοιον τῷ πρώτῳ· τὸ δὲ η', ἔστιν Ο' μὲν, προφέρεται δὲ ὀξέως, δι' ὃ καὶ διάφορον τοῦ ἁπλοῦ ἔχει τὴν γραφὴν πρὸς διάκρισιν· τὸ δὲ θ' = τῷ Τ· τὸ δὲ ι', ἔστιν = τῷ Ε· ἐπέχει δὲ τόπον Η· τὸ δὲ ια' = τῷ Ἀ· τὸ δὲ ιβ', ἔστιν = τῷ Κ· τὸ δὲ ιγ', ἔστιν = τῷ Ρ· τὸ δὲ ιδ', ἔστιν ὅμοιον τῷ Η'· τὸ δὲ ιε', ἔστι μὲν ὅμοιον τῷ

τετάρτῳ γράμματι τῷ σῖγμα, ἐπέχει δὲ τόπον Θ, ὥσπερ καὶ τὸ ἐχόμενον τοῦτου τόπον Ω, ἂν καὶ ὄμικρον ὄν· τὸ δὲ τελευταῖον, ἔστιν ἡ καθ' ἡμᾶς δίφθογγος ΟΙ· εὕρηται γὰρ ἐν πάσαις ταῖς ἐπιγραφαῖς, ἅς περ ἀνέσκαψα ἐν Λήμνῳ τε καὶ Ἄθῳ, αἱ δίφθογγοι πᾶσαι ἑνωμέναι, πλὴν τῶν δεχομένων πνεῦμά τι ἢ τόνον τινά.

Λέγει τοίνυν ταῦτα πάντα τάδε·

ΔΙΙ ΣŌΟΔΟΤĒ ΑΚΡΟΣŌΟΙ.

Καὶ δὴ ἐκ ταύτης καὶ τῆς ἀκολούθου, καθάπερ καὶ ἐξ ἑτέρων πολλῶν, βεβαιούμεθα, ὡς οἱ Πελασγοὶ καὶ ἐλάλουν τὴν Ἑλληνικὴν καὶ ἔγραφον αὐτὴν ἰδίοις γράμμασιν, ἅ περ Ἐ μ μ ά ν ι α ἰδίᾳ ἐκάλουν ἀπὸ τοῦ πρώτου ἐπινοήσαντος αὐτὰ προγόνου αὐτῶν Ἐμμάνου προτοῦ τὸν Κάδμον γεννηθῆναι· καὶ γὰρ Ἕλληνες ἰθαγενεῖς ἦσαν καὶ οὗτοι ἐξ Ἀρκαδίας ὁρμώμενοι, ὥς περ καὶ πρὸ πολλοῦ ἔγραφον συνοπτικῶς ἔν τε τῷ Αἰῶνι καὶ Ἀμαλθείᾳ, καὶ ἤδη ἐκτενέστερον ἐν τῷ περὶ Πελασγῶν καὶ τῆς γλώσσης αὐτῶν συγγράμματι ἐξέθεσα, ὅπερ, θεοῦ συνάρσει, ἐκδοθήσεται κατ' αὐτάς.

Ἔχει δὲ ὕψος ὁ λίθος οὗτος, ἐν ᾧ ἡ διττὴ ἐπιγραφὴ ἀναγινώσκεται πήχεως ἑνὸς παρὰ πέντε δακτύλους, τὸ δὲ εὖρος τριπλάσιον τοῦ ὕψους. Ἡ δὲ ἐννάτη τῶν ἐπιγραφῶν διττὴν φέρουσα καὶ αὕτη γραφὴν καὶ μάλιστα βουστροφηδὸν ἔχει μὲν ὕψος δίπηχες καὶ δακτύλων τεσσάρων, εὖρος δὲ πήχεων δύω· φράζει δὲ, ἀπὸ δεξιῶν ἀρχόμενοι, τάδε.

θ΄.

" Η ΔΙΕΩΝ ΠΟΛΙΣ ΚΑΙ ΣΑΝΑΙΩΝ	ἡ Διέων πόλις καὶ Σαναίων
ΕΤΙΜΗΣΑΝΜΑΛΚΑΝΔΡΟΝΚΑΛ	ἐτίμησαν Μάλκανδρον Καλ-
ΛΙΜΑΧΟΥΑΘΗΝΑΙΟΝΕΠΑΝΔ	λιμάχου Ἀθηναῖον ἐπ' ἀνδ-
ΡΑΓΑΘΙΑΙ."	ραγαθίᾳ.

Καὶ οὕτω μὲν ἔχει τὰ τῆς Ἑλληνικῆς γραφῆς· τὰ δὲ τῆς Πελασγικῆς ἔχει ὥς περ καὶ τὰ τῆς Ἑλληνικῆς· ἔστι δὲ αὕτη πολὺ τῆς πρώτης νεωτέρα, ὅτι ἀπαντᾶται ἐν ἀμφοτέραις ταῖς γραφαῖς τινὰ τῶν διπλῶν γραμμάτων. Καὶ ἐν μὲν τῇ Πελασγικῇ τὸ δασυνόμενον Ἡ, καθά γε καὶ τὸ ἁπλοῦν, πρὸς δὲ καὶ τὸ Χ, καὶ τὸ Θ, ἅ περ προφέρονται ἄγαν δασέως· Ἡ δὲ Ἑλληνικὴ, τότε Η καὶ Ω, καὶ τὸ Θ καὶ τὸ Χ. Καὶ τοσαῦτα μὲν καὶ περὶ τούτων ἐν τῷ παρόντι. Πρὸς ταύταις δὲ ταῖς δυσὶν ἐπιγραφαῖς ἀνεκαλύφθησαν καὶ δύω ἕτεραι, ἥ τε δεκάτη καὶ ἑνδεκάτη κλάσματα οὖσαι ἀμφότεραι στηλῶν, καὶ ἔχουσαι ὕψος ἡ μὲν ι΄, δώδεκα δακτύλων, εὖρος δὲ ὀκτωκαίδεκα, ἡ δὲ ια΄, ὕψος μὲν πήχεως ἑνὸς πλέον, εὖρος δὲ πήχεως· λέγουσι δὲ αὗται τάδε·

ι΄.

" Κοινῇ τοῦ Δήμου
ψήφῳ
'Αγαθοκλέα 'Αρχιερέα
λαμπρῶς ἀρχιερατεύ
σαντα ἡ πόλις Διέων
τὸν ἑαυτῆς εὐεργέτην."

ια΄.

" 'Ο Δῆμος Διέων
'Ελλάδιον Πραξι
τέλους ἐτίμησεν
ἥρωα ἀγαθῶν ἔργων
ἕνεκα."

'Εγγὺς δὲ τούτων ἀνεκαλύφθη καὶ νόμισμα ἀργυροῦν φέρον ἀφ' ἑνὸς μὲν τὸ σύμβολον τοῦ Διὸς, τὸν ἀετὸν, κρατοῦντα τοῖς ὄνυξιν αὐτοῦ τὸν κεραυνὸν, ἀφ' ἑτέρου δὲ τὸ ἐθνικὸν μονόγραμμα τῶν ἐν τῷ Δίῳ ἐνοικούντων ΔΙΕΩΝ, οὗ τὸ διάγαμμά ἐστιν, ὡς ἐν τῷ δ΄ πίνακι διαγράφεται.

(Ε΄.)

'Υπογραμμὸς τῆς ὄντως μοναδικῆς πολιτείας καὶ μάλιστα τῆς κοινοβιακῆς ζωῆς ἐν Ἄθῳ ἐστιν ἡ μονὴ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἡ καὶ Διονυσίου προσαγορευομένη, ἐγερθεῖσα τῷ Υ^ῳ ἐπὶ τῶν ἐρειπίων τοῦ βωμοῦ τοῦ Εὐρυγενείου Κρόνου. 'Ο δὲ Βωμὸς ἔκειτο ἐν τῇ κορυφῇ τῆς ὁμωνύμου ἀκτῆς πρὸς νότον τοῦ Ἄθω ἐγγὺς τῆς Καλλιπλοκάμου προσαγορευομένης παραλίας, ἀπὸ τοῦ ναοῦ τῆς Καλλιπλοκάμου Δήμητρος λαβούσης τὴν ἐπίκλησιν, ὥς περ φησὶν 'Αθηνόδωρός τε καὶ 'Αθανάσιος ἐν ταῖς ἱστορίαις αὐτῶν, τοῦ ἐπὶ τὴν θάλασσαν ἱδρυμένου, ἔνθα νῦν ὁ ναΐσκος τοῦ ἁγίου Δημητρίου. Τὸν ναὸν οὖν τοῦτον τοῦ Προδρόμου ἐγερθέντα δαπάνῃ τοῦ Αὐτοκράτορος 'Αρκαδίου, Χαρίτων ὁ Πάτμιος καθωράϊσε ψηφίοις τῷ Υ?Γ^ῳ. Μετὰ δὲ ταῦτα ἀνακαινισθεῖσα ὑπὸ Κωνσταντίνου τοῦ Πωγωνάτου υἱοῦ Κώνστατῷ ΧΟΗ^ῳ καλλύνεται γραφαῖς τῷ ΧΠΒ^ῳ ὑπὸ 'Αντωνίου τοῦ Σαμίου. Πυριβρώτου δὲ γενομένης τῷ ΨΙΒ^ῳ ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Φιλιππικοῦ, τοῦ καὶ Βαρδάνη προσαγορευομένου, καὶ ἐρημωθείσης ἐξ ὁλοκλήρου, 'Αλέξιος ὁ Κομνηνὸς σὺν τῇ συζύγῳ αὐτοῦ Θεοδώρᾳ ἀνῳκοδόμησαν αὐτὴν ἐκ θεμελίων τῷ ΑΤΠ^ῳ αἰτήσει τοῦ ἁγιωτάτου Διονυσίου, ἀφ' οὗ καὶ τῆς προσηγορίας ἡ μονὴ ἔτυχεν, ὡς ὁ χρυόβουλλος[1] λόγος τοῦ αὐτοῦ 'Αλεξίου, ἐν τῇ αὐτῇ μονῇ διατηρούμενος, μέχρι τῆς δεῦρο, ὡς μέγα χρῆμα, σὺν ἄλλοις διαλαμβάνει· ἔχει δὲ τὰ τοῦ χρυσοβούλλου ὧδε.

" ✠ 'Εν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

[1] Τὸν χρυσόβουλλον τοῦτον λόγον ἰδὼν ὁ Κύριος Φίνλαϊ, ἐκθιάζει, δικαίως, ἐν τῇ ὑπ' αὐτοῦ ἐκδοθείσῃ Βυζαντινῇ 'Ιστορίᾳ.

"Ἀλέξιος ἐν Χριστῷ τῷ Θεῷ, πιστὸς Βασιλεὺς καὶ Αὐτοκράτωρ πάσης Ἀνατολῆς, Ἰβήρων καὶ Περατείας, ὁ μέγας Κομνηνός. Θεοδώρα Χριστοῦ χάριτι εὐσεβεστάτη Δέσποινα, μεγάλη Κομνηνή· σύζυγος δὲ τοῦ εὐσεβοῦς βασιλέως Κυρ[ίου] Ἀλεξίου τοῦ μεγάλου Κομνηνοῦ· πᾶσιν, οἷς καὶ τὸ παρὸν ἡμῖν εὐσεβὲς ἐπιδείκνυται σιγίλλιον.

"Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· καὶ ὁ ἀγαπῶν ὑμᾶς ἐμὲ ἀγαπᾷ, τοῖς ἱεροῖς Ἀποστόλοις ὁ Κύριος ἐνετείλατο· εἰ οὖν ὁ Χριστὸς μαθηταῖς, μαθηταὶ δὲ διδασκάλοις, καὶ κήρυξι κήρυκες, καὶ διδάσκαλοι ἀρχιερεῦσι, καὶ λοιποῖς ποιμέσι καὶ ἐναρέτοις αὐτοῖς, κατὰ διαδοχὴν παρέπεμψάν τε καὶ ἐπηγγείλαντο, πρεπόντως ἄρα προσήκει τοῖς θεοφόροις πατράσι τοῖς κόσμου καὶ τὰ ἐν κόσμῳ ἀποταξαμένοις, καὶ ἰδίους καὶ ἴδια ἀρνησαμένοις, καὶ τὸν σταυρὸν ἐπ' ὤμων ἀραμένοις, καὶ ὀπίσω αὐτοῦ ἑπομένοις, ἀναδοχῆς ἀξιοῦν ἁρμοζούσης, καὶ τιμῆς ἐνδεχομένης ἀφοσιοῦν· ἡ γὰρ πρὸς αὐτοὺς τιμὴ καὶ διάθεσις εἰς αὐτὸν διαβαίνει τὸν κοινὸν Δεσπότην, καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τοῖς δέ γε ἐξ ἁπαλῶν ὀνύχων ἀφιερωθεῖσι Θεῷ καὶ γραφεῖσιν ὀνομαστῶς ἐν οὐρανοῖς καὶ πέτραν ἐνδυομένοις εἰς στέγην, καὶ εἰς τὴν τοῦ Ὄρους ἀκρώρειαν τῶν ἀρετῶν ἀνάβασιν ὅθεν ἠνέγκαντο τὴν βοήθειαν, ὡς ἐκ Θεοῦ ἥκουσι, δέον εἰσδέχεσθαι, καὶ τὴν ὀφειλομένην ἀπονέμειν τιμὴν καὶ οἰκείωσιν· ὁ γὰρ τούτους ἀγαπῶν καὶ ἀποδεχόμενος, ὅλον αὐτὸν ξεναγωγεῖ καὶ οἰκειοῦται Χριστόν· καὶ αὐτὸν τοῦτον δέχεται μὲν τὸν τούτοις ἐξαποστείλαντα. Δι' ὃ καὶ εὐαγγελικῶς εἰπεῖν ἀγαπηθήσεται δι' αὐτοῦ παρὰ τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς, οἷος ἐφάνη ἄρτι καὶ ὁ καθ' ἡμᾶς, ὁ καλὸς πατὴρ καὶ Θεοῦ λειτουργὸς ὁ ἐν ἱερομονάχοις αἰδεσιμώτατος Κύρ[ιος] Διονύσιος· ἐλθὼν γὰρ ἤδη, τοῦ ἁγίου Ὄρους ἀπάρας, εἰς τὸ τὸν ἐμὸν καὶ τῆς εὐδαίμονος μεγαλοπόλεως Τραπεζοῦντος ἀρχιποίμενα, αὐτοῦ δὲ ὁμαίμονα, Κύρ[ιον] Θεοδόσιον καθορᾶν· φιλεῖ γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, καὶ τῇ βασιλείᾳ μου ἐς ὄψιν παραστὰς ῥακενδύτης, ἥσυχος, ὑποχαλῶν ὡς ἔθος τοῖς ἀναχωρηταῖς τὴν ὀφρῦν· ὀλίγα λαλῶν, ὡς ἔθισται τοῖς ἐγκλείστοις, ἀλλὰ ψυχωφελῆ καὶ σωτήρια, καὶ ταῦτα συντετριμμένῃ καρδίᾳ, καὶ πνεύματι ταπεινώσεως, ἄγγελός μοι πρὸς Θεοῦ σταλεὶς ἐλογίσθη, σωτηρίαν εὐαγγελιζόμενος· οὐ γὰρ αὐτὸς ἑαυτὸν ἐμαρτύρει Χριστὸν μιμούμενος· ἀλλ' ἐκεῖνον μὲν πατὴρ, τοῦτον δ' ἡ ἐνοῦσα σιγὴ, καὶ τὸ τοῦ ἤθους ἱλαρὸν, καὶ τὸ τῶν ἀρετῶν ἀπαράμιλλον· εἶπες ἂν, Ἀθανάσιον μὲν ἐκ Τραπεζοῦντος τῷ Ἄθῳ ἄρτι δοθῆναι, Διονύσιον δ' ἐκ τοῦ Ἄθω τῇ Τραπεζοῦντι ἀναδοθῆναι· ὃς ἤδη τῇ βασιλείᾳ μου ὁμιληκὼς, οὐ χρημάτων ἑσμὸν, οὐδ' ὅσα τινὲς εἰς ἀπολαύσεις πορίζονται, ἀνεζήτησεν, ἀλλ' ἐκ Θεοῦ καθωδήγει καὶ προυξένει τὴν πρὸς σωτηρίαν ἄγουσαν ὁδόν· πάντες μὲν γάρ, φησιν, ὅσοι βασιλεῖς, ὅσοι ῥηγικῶς, ὅσοι ἀρχικῶς διαφημίζονται ἐν τῷ ἁγίῳ Ὄρει,

μονὰς καὶ σεμνεῖα εἰς ἀναφαίρετον μνήμην ἐδείμαντο, δέον ἔστι καὶ σοὶ, ἐπεὶ πολλὰς ὑπεραίρεις κατὰ λόγον προσήκοντα ποιεῖν προσθήκην τινὰ, ἵν' ἕξῃς κατὰ τοὺς πολλοὺς μνήμην διηνεκῆ, καὶ ψυχικὴν ἀπόλαυσιν ἀτελεύτητον· ἔφθασε γὰρ καὶ ὁ ἡγούμενος οὗτος πατὴρ, φρούριον ἀνεγεῖραι, ἐν τῷ κατὰ ἀλήθειαν ἁγίῳ θεοσυλλέκτῳ Ὄρει· κάτω μὲν τοῦ μικροῦ Ἄθω· ἐν δὲ τῷ καταρέοντι ἐκεῖσε ἀεροπότμῳ· ὅπου καὶ Βουλευτήρια πλησίον ὁ τόπος ὀνομάζεται· σκοπὸς δ' ἦν τούτῳ τῷ γέροντι καὶ μονὴν ἐν τῷ αὐτῷ ἀνιστᾷν, εἰς ὄνομα τοῦ τιμίου καὶ πανενδόξου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, καὶ περιτείχισμα ὀχυρῶσαι, καὶ κελλία εἰς διαμονὴν τοῖς περὶ αὐτὸν ἀσκουμένοις ἀποτάσσειν, ἀλλὰ τὸ μὲν φρούριον ἀπαρτήσας, τῆς μονῆς δ' οὔπω ἀρξάμενος, τῶν ᾧδε κατὰ συγκαιρίαν ἐλήλυθε, διηγούμενος τὰ περὶ αὐτὴν καὶ τὴν βασιλείαν μου διερεθίζων, ὡς προερέθη μοι. Ἡ βασιλεία μου γοῦν τὸ τοῦ ἀνδρὸς κατιδοῦσα σεμνὸν, τὸ χάριεν, τὸ ἁπλοῦν, τὸ περίεργον, τὸ καθόλου καὶ καθ' ὑπερβολὴν ἱλαρὸν, ἐδέξατό τε τοῦτον καὶ ὑπερηγάπησε, καὶ ἠσπάσατο καὶ ὡς ἐκ Θεοῦ πεμφθέντα ἐδεξιώσατο, καὶ τὰ παρ' αὐτοῦ ῥηθέντα, ὥς τινα δρόσον ψυχωφελῆ, εἰσωκίσατο· πόθον γὰρ θεῖον καὶ ἔρωτα, καὶ ζῆλον θεάρεστον εἰσῆξε μου τῇ ψυχῇ, καὶ ὅλος πρὸς τοὖργον παρακεκίνηκεν, ὅθεν καὶ προστάσσει τὸ γαλήνιον κράτος τῆς βασιλείας μου διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς, καὶ παραλαμβάνει τὴν καθόλου οἰκοδομὴν τῆς εἰρημένης τοῦ τιμίου Προδρόμου μονῆς, καὶ ὑπισχνεῖται καὶ στοιχεῖ, ἵνα ἀνεγείρῃ καὶ ἀπαρτήσῃ τὸν ναὸν ἐξ οἰκείων ἀναλωμάτων αὐτῆς, καὶ περιτειχίσῃ πέριξ, ὡς ἐφικτὸν, καὶ κελλία τοῖς μοναχοῖς ἀποτάξῃ ἀνάλογα, καὶ τὴν διεξαγωγὴν εἰσφέρῃ τοῦ ὕδατος καὶ μονὴν ὁλόκληρον ἀπεργάσηται, καὶ ἔχῃ ἐν αὐτῇ τὸ ταύτης μνημόσυνον καὶ τὴν ἀναφορὰν ἀνεξάλειπτον. Τοιγαροῦν ἐντέλλεται καὶ ἐπαφίησιν ἡ βασιλεία μου τῷ παρόντι καθηγητῇ καὶ ἱερομονάχῳ Κυρ[ίῳ] Διονυσίῳ, καὶ τοῖς περὶ αὐτὸν ἱερομονάχοις πᾶσι καὶ μοναχοῖς, ἵνα τοὺς μὲν προπάτορας αὐτῆς καὶ καθ' αἷμα συγγενεῖς καὶ γεννήτορας τοὺς ἀοιδίμους ἐκείνους βασιλεῖς καὶ ἥρωας, τοὺς μεγάλους δηλαδὴ Κομνηνοὺς, συγχωρῶσι καὶ μακαρίζωσιν ἀκαταπαύστῳ φωνῇ, ὑπὲρ δὲ τῆς βασιλείας μου καὶ τῶν ὑψηλοτάτων δεσποινῶν, τῆς τε ἁγίας μητρὸς αὐτῆς καὶ τῆς συζύγου μου καὶ τῶν παίδων ἡμῶν, καὶ πάντων τῶν εἰσέπειτα ἐλευσομένων, καὶ παντὸς τοῦ καθ' ἡμᾶς κράτους ὑπερεύχωνται ἔν τε ταῖς ἑσπεριναῖς δοξολογίαις, καὶ ὀρθριναῖς λιταῖς, καὶ καθημεριναῖς εὐχαῖς· καὶ αὐταῖς δὴ ταῖς φοβεραῖς καὶ ἀναιμάκτοις λειτουργείαις, ἵνα συγχωρήσεως καὶ ἀναπαύσεως τύχοιμεν, καὶ μετὰ τῶν σωζομένων ταχθείημεν, καὶ ἐν βιβλίῳ ζωῆς ἐγγραφείημεν· οἱ δέ γε προσγιγνόμενοι ἐκεῖσε, καὶ τὴν ὁδοιπορίαν ποιοῦντες χριστιανοὶ καὶ αὐτοὶ συγχωρῶσιν ἡμῖν, καὶ μακαρισμὸν

ἀπονέμωσιν, καὶ ὡς κτίστορα σχεδὸν οἱ πάντες διαφημίζωσι, καὶ τὴν τοῦ μεγάλου Κομνηνοῦ μονὴν ὀνομάζωσι. Κατὰ γοῦν τὰ στοιχηθέντα ἄνωθεν, συνεφωνήθη τῷ τοιούτῳ αἰδεσιμωτάτῳ γέροντι, Κυρ[ίῳ] Διονυσίῳ, διδόναι τούτῳ ἡ βασιλεία μου σώμια ἑκατὸν, ἐξ ὧν κατεβάλετο ἀρτίως ἐν ταῖς χερσὶν αὐτοῦ τὰ πεντήκοντα, τὰ δὲ λοιπὰ ἵν᾽ ἀποδῷ τούτῳ ἐπὶ χρόνοις τρισίν· ἤγουν τὰ πεντήκοντα σώμια· αὐτὸς δ᾽ ἵνα ἀποκτίζῃ καὶ πληρῇ τὴν μονὴν ὁλοκλήρως, ὡς δεδήλωται, καὶ οὕτως ἵν᾽ ᾖ τῆς βασιλείας μου ἡ μονὴ, καὶ τὸ ταύτης μνημόσυνον ἐν αὐτῇ εἰς τὸ διηνεκὲς ἀκατάλυτόν τε καὶ ἀκατάπαυστον. Μετὰ γοῦν τὸ συμπληροῦσθαι τὴν μονὴν καὶ ἀποσωθῆναι τὰ σώμια, ἐπὶ τριετίᾳ, ὡς εἴρηται, προστάσσει καὶ διατυποῖ ἡ βασιλεία μου, καὶ ὑπὲρ ἀδελφοῦ αὐτῆς διδόναι ἐν αὐτῇ ἐτησίως ἄσπρα θεοσυντηρήτου χαραγῆς αὐτῆς, τὰ δὴ λεγόμενα κομνηνάτα χίλια, ἅτινα ὀφείλει ὁ ἱερώτατος Κύρ[ιος] Διονύσιος, καὶ οἱ μετ᾽ αὐτὸν προϊστάμενοι τῆς μονῆς στέλλειν καὶ λαμβάνειν ἑκάστῳ χρόνῳ ἐκ τοῦ θεοφρουρήτου Βεστιαρίου τῆς βασιλείας μου, σῶα πάντῃ καὶ ἀνελιπῆ. Παρεγγυᾶται οὖν ἡ βασιλεία μου καὶ ἐπαφίησι τοῖς παισὶ, καὶ κληρονόμοις, καὶ διαδόχοις αὐτῆς, τοῖς τὴν βασίλειον περιοπὴν σὺν Θεῷ διαδεξομένοις, πάγιον καὶ ἀῤῥαγῆ διατηρεῖν τὸν παρόντα Χρυσὸν λόγον τῆς βασιλείας μου, εἰς τὸ μὴ καθυστερεῖν τὴν μονὴν τὰ τοιαῦτα χίλια ἄσπρα· ἀλλὰ τελεῖν καὶ καταβάλλειν ταῦτα ἀνεγκρατήτως μέχρι παντὸς, ὑπὲρ τοῦ ἀδελφάτου ἡμῶν, ὡς δεδήλωται, ἵνα και αὐτοὶ σὺν ὑμῖν τὸν μισθὸν ἐξίσου ἀπολαμβάνωσιν, ὁπόταν ἥξῃ Χριστὸς ὁ Θεὸς ἀποδιδόναι τὰ γέρα, τοῖς τοὺς ἐλαχίστους ἀδελφοὺς αὐτοῦ ξεναγωγίσασι. Καὶ εἴπερ τινὲς τῶν Τραπεζουντίων τυχὼν παραβάλλωσιν ἐν αὐτῇ κατὰ πάροδον, εἰ μὲν διὰ θεωρίαν καὶ ἱστορίαν καὶ προσκύνησίν ἐστι τοῦ τόπου καὶ τῆν μονῆς καὶ τοῦ Ὄρους, ὀφείλουσιν οἱ μοναχοὶ ἀσπασίως δέχεσθαι τούτους, καὶ ξεναγωγεῖν ὡς ἐφικτόν· εἰ δὲ δι᾽ ὑποταγὴν κόσμου, καὶ ζῆλον ἀσκήσεως, καὶ ἔρωτα ἀναχωρήσεως, ὡς συναρίθμους τῶν ἀδελφῶν ἀγκαλίζεσθαι, καὶ παραλαμβάνειν ἐντὸς, εἴπερ θελήσωσι τὸν κανόνα καὶ τὸν τύπον καὶ τὴν ὑποταγὴν καὶ τὸ κοινόβιον τῆς μονῆς διατηρεῖν ἀπαράβατον οἱ ἐρχόμενοι. Ἐπὶ τοῦτο γὰρ καὶ ὁ παρὸν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἀπελύθη δι᾽ ἐμφάνειαν αἰωνίζουσαν, ἐν ᾧ καὶ τὸ ταύτης εὐσεβὲς καὶ θεοπρόβλητον κράτος, τὰ συνήθη συνήθως ὑπεσημήνατο κατὰ τὸν παρόντα Σεπτέμβριον μῆνα Ἰνδικτιῶνος ιγ^η. τοῦ ͵ϛ^{ου}. ω^{ου}. π^{ου}. γ^{ου}. ἔτους.

"✠ Ἀλέξιος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς, καὶ Αὐτοκράτωρ Ῥωμαίων, πάσης Ἀνατολῆς, Ἰβήρων, καὶ Περατείας, ὁ Νέος Κομνηνός."

Καὶ ταῦτα μὲν ὁ χρυσόβουλλος τοῦ Ἀλεξίου λόγος διαλαμβάνει, ὅν περ κατ᾽ αἴτησιν τινῶν ἀρχαιολόγων ἐκδίδομεν.

Ἀποπερατωθέντα οὖν τὸν ναὸν Δημήτριος Ἱερομόναχος ὁ Μολυνδεὺς καθωραΐζει γραφαῖς τῷ ͵ΑΤΠΖῳ, δαπάνῃ Ἑλένης Δεσποίνης Ῥωμαίων, συζύγου δὲ Μανουὴλ τοῦ Παλαιολόγου. Μεταξὺ δὲ τῶν πολλῶν ἄλλων δώρων καὶ κειμηλίων δι᾽ ὧν ἡ ἀείμνηστος αὕτη ἐκόσμησε τὴν ἱερὰν τοῦ Διονυσίου μονὴν ἀριθμεῖται καὶ εἷς σταυρὸς ἐκ τοῦ τιμίου ξύλου, ἐφ᾽ οὗ ὁ Σωτὴρ ἡμῶν ἥλοις προσηλώθη. Φέρει δὲ ὁ σταυρὸς καὶ ταύτην τὴν ἐπιγραφὴν, γράμμασι μὲν κεφαλαίοις, ἀλλ᾽ ἐπισεσυρμένοις "Ἀνάθημα Ἑλένης δεσποίνης Ῥωμαίων, τῆς Παλαιολογίνης, συζύγου βασιλέως Μανουὴλ τοῦ Παλαιολόγου, θυγατρὸς τοῦ Δράδγα αὐθεντὸς Σερβίας." Μετὰ δὲ χρόνον τινὰ ἤτοι τῷ ͵ΑΦΚῳ ἀνακαινίζονται αὖθις τὰ πρὸς ἀνατολὰς τῆς μονῆς τείχη, καταπεσόντα ὑπὸ σεισμοῦ σὺν τῷ πύργῳ, ὑπὸ Νεάγκου τοῦ αὐθεντὸς κατὰ τὴν ἀκόλουθον ἐπιγραφήν.

"Ἀνηγέρθη ἐκ βάθρων οὗτος ὁ πύργος διὰ συνδρομῆς καὶ ἐξόδου τοῦ εὐσεβεστάτου αὐθέντου, τοῦ Νεάγκου Βοεβόδα τῆς Βλαχίας, ἐν ἔτει Ζ͵ΚΗῳ."

Ἐν τῷ αὐτῷ δὲ ἔτει ἀνεκαινίσθη καὶ ὁ ναὸς γραφαῖς ἱεραῖς, δαπάνῃ μὲν τοῦ αὐτοῦ αὐθέντου, χειρὶ δὲ Ἀναστασίου τοῦ Καλαρναίου. Ἀλλὰ τῷ ͵ΑΦΛΕῳ πυριφάτου γενομένου καὶ πάλιν τοῦ ναοῦ, καὶ τοῦ δυτικοῦ τείχους τῆς μονῆς, τὸν μὲν ναὸν Ἰωάννης ὁ ἡγεμὼν ἀνεκαίνισε καὶ Πέτρος τῷ ͵ΑΦΜΖῳ ὡς φαίνεται ἐν τῇ ἐπιγραφῇ τῇδε

"Ἀνηγέρθη ἐκ βάθρων, καὶ ἀνιστορήθη (χειρὶ Ζέρζη τοῦ Κρῆτος) ὁ θεῖος καὶ πάνσεπτος ναὸς οὗτος τοῦ τιμίου καὶ ἐνδόξου Προφήτου καὶ Βαπτιστοῦ Ἰωάννου, διὰ συνδρομῆς Ἰωάννου ἡγεμόνος πάσης Μολδοβλαχίας καὶ Πέτρου Βοεβόδα, ἡγουμενεύοντος κυρίου Ματθαίου ἱερομονάχου ἐν ἔτει τῷ Ζ͵ΝΕῳ. Ἰνδικτιῶνος Εη."

Τὸ δὲ δυτικὸν τεῖχος Ἀλέξανδρος (ὁ ὕστερον Παχώμιος ἐν τῇ κουρᾷ) ὁ Πέτρου τοῦ αὐθέντου γαμβρὸς σὺν τῇ γυναικὶ αὐτοῦ Ῥοξάνδρᾳ ἀνήγειραν (τῷ ͵ΑΦΜΒῳ) σὺν τῷ νοσοκομείῳ καὶ τῇ τραπέζῃ τῆς μονῆς. Καθωραΐσε δὲ τὴν τράπεζαν γραφαῖς Ἰωακεὶμ ὁ Ἀντιοχεύς, ἀδελφὸς ὢν τῆς αὐτῆς μονῆς τῷ ͵ΑΦΜΕῳ· ἀλλὰ τῷ ͵ΑΨΛῳ ἐπὶ τῆς ἡγουμενείας Σεραφεὶμ ἐν μηνὶ Μαΐῳ, Ἰωακεὶμ ὁ Τραπεζούντιος ἐφαίδρυνε καλάμῳ, δαπάνῃ Νήφωνος τοῦ Θηραίου, καὶ ταῦτα ἔγραψεν ἐπὶ τοῦ ἄμβωνος τῆς τραπέζης·

"Ἶθι προφητῶν ἀκρέμων τε καὶ κλέος
Ἀστὴρ φαεινὲ μακρόφρων Ἠσαΐα
Πληθὺν ἀγείρων τῶν μοναζόντων γένος

῞Απας ὁ διψῶν ἐκβοῶν μακρὸν ἔπος
῎Ιτω τρυγάτων, δαψιλῶς δ' ὁρῶν μέγα,
Τιμῆς τ' ἀργύρου ἐμφορούμενος ἅ τε·
Πᾶσι γὰρ Χριστὸς προῖκα τουτὶ παρέχει
Αὕτη ἡ μονὴ τοῦ σεβαστοῦ Προδρόμου,
Μεσίτου ὄντος Παλαιᾶς τε καὶ Νέας,
Σεμνεῖον ὄντος μεστὸν ἁγιασμάτων,
Οὗ περ μέρος φέριστον οὗτος ὁ ἄμβων,
῝Ον περ ἀνεστήσατο Θεοῦ εἰς δόξαν
Πόθῳ καὶ ζήλῳ εὐσεβεῖ, ἐξ οἰκείων
Πόνων, ὁ κλεινὸς προηγούμενος Νήφων
᾿Εκ Σαντορίνης καὶ ἀγχιστεὺς τοῦ πάνυ
Σκευοφύλακος ᾿Ιωακεὶμ πρὸ χρόνων,
Τέρμα τε Χριστὸν καὶ χαιροῖν τοῦ ζωγράφου,
Καλλύνας τοῦτον εὐφυῶς πῶς ἂν φθάσης
Λέλοιπεν ἡμῖν κόσμον λαμπρὸν καὶ μέγαν,
῟Ωι καὶ παρέσχοις ἀγγέλων ξυναυλίαν,
Χριστὲ βασιλεῦ, πανδερκὲς Παντοκράτωρ.
" ΑΨΛ$^{\underline{\varphi}}$ ἐν μηνὶ Μαΐῳ ιβ' ῾Ηγουμενεύοντος
Κυρίου Κυρ [ίου]Σεραφείμ."

Καὶ πάλιν παρακατιών·

"῎Αμβων αἰσθητῆς τραπέζης τετυγμένος
Τεχνούργημα πέφυκε εὐφυῶς ἄμφω,
Δαπάνη καὶ σπούδασμα ἑνὸς τῶν ὧδε
Νήφωνος ἀνδρὸς τοῦ προκαθηγουμένου
Εὐνομούσης γόνου τε τῆς Σαντορίνης."

῾Η τράπεζα πρὸς τοὺς καθημένους·

"῎Εσθον τι τρῶγε τὰ προκείμενει φίλε
Καὶ ἀθόρυβον σεαυτὸν πάντα τήρει·
᾿Ωτὶ δὲ τρέφε τὰς ψυχικὰς αἰσθήσεις,
Τὸ βλέμμα κάτω, τὸ πνεῦμα δ' ἔχων ἄνω,
Μηδόλως φθέγγου τῶν πάλ' ἀκούων
᾿Εν παντὶ ἔργῳ, ἐν δὲ τραπέζῃ πλέον·"

Καὶ ταῦτα ἐπὶ τοῦ ἄμβωνος, τοῦ ὑπὸ Μιχαήλου τέκτονος τοῦ Χίου τεχνουργηθέντος τῷ ͵ΑΨΚΖ$^{\varphi}$ καὶ καθωραϊσθέντος μετὰ τρία ὅλα ἔτη ὑπὸ ᾿Ιωακεὶμ ἁγιογράφου τοῦ Τραπεζουντίου, τοῦ καὶ τὸ ἔνδον τῆς τραπέζης, καθὰ προεῤῥέθη, καλάμῳ φαιδρύναντος δαπάνῃ Νήφωνος τοῦ Θηραίου. Τὸν δὲ πρόναον τῆς μονῆς ᾿Ιωάννης ὁ Τραπεζούντιος ἀνεκαίνισε καλάμῳ τῷ ͵ΑΞΙΕ$^{\varphi}$ κατὰ τήν δε τὴν ἐπιγραφήν.

"Ἱστορήθη ὁ νάρθηξ δι' ἐξόδου τοῦ πανοσιωτάτου προηγουμένου κυρίου Ἀντωνίου Ἱερομονάχου, ἐκ Μπογδανίας, ἐν ἔτει Ζ,ΡΚΓ΄. διὰ χειρὸς Ἰωάννου Τραπεζουντίου."

Καὶ ταῦτα παροδικῶς καὶ περὶ τῆς μονῆς τοῦ Διονυσίου.

Ὅτι δὲ ἡ μονὴ αὕτη ἠγέρθη ἐν ᾧ χώρῳ ὁ τοῦ Εὐρυγενείου Κρόνου βωμὸς ἔκειτο, ἀπόδειξις ἔστω ἡμῖν αἱ ἑξῆς τέσσαρες ἐπιγραφαὶ παρ' αὐτῇ τῇ μονῇ ἀνασκαφεῖσαι τῷ ΑΩΝΑ΄. περιέχουσι δὲ αὗται τάδε.

ιγ΄.

"ΚΡΟΝΟΟΙ ΕΥΡΥΓΕΝΕΙΟΟΙ ΘΕΟΟΙ ΜΕΓΑΛΟΟΙΟΙ	"Κρόνῳ Εὐρυγενείῳ Θεῷ μεγάλῳ οἱ
ΚΑΡΙΟΠΟΛΙΤΑΙ ΟΙΔΙΚΤΙΔΙΟΙΟΙ-ΔΙΟΣΚΟΥΡΙΕΙΣ	Καριοπολῖται οἱ Δικτίδιοι οἱ Διοσκουριεῖς
ΟΙ ΟΛΟΦΥΞΙΟΙ ΤΟΝ ΒΩΜΟΝ ΑΝΕΘΕΕΚΑΝ"	οἱ Ὀλοφύξιοι τὸν βωμὸν ἀνέθηκαν."

ιδ΄.

"Κρόνῳ Εὐρυγενείῳ
Φιλοκράτης Φειδίου
ὁ Νεωκόρος ἀνέθηκεν."

ιε΄.

"Κρόνῳ τῷ Εὐρυγενείῳ
Ἕρμιππος Φόρβαντος
ὁ Ἀθηναῖος."

ιϛ΄.

"Τυφάων Ὑψύνορος ὁ Θύσσιος καὶ Τέρπανδρος
Ἡγηάνδρου ὁ Κλεονεὺς ἐκ τῶν ἰδίων τὸ περίστυλον."

Αὗται οὖν (ὧν τὸ ἔκτυπον ὅρα ἐν τοῖς πίναξι δ΄ καὶ ε΄) ἐν ἑνὶ καὶ τῷ αὐτῷ χώρῳ ἀνεκαλύφθησαν πρὸς ἕω τῆς μονῆς ὡσεὶ βήματα δέκα μακρὰν αὐτῆς· ἔχει δὲ τούτων ἡ πρώτη ὕψος μὲν πήχεως, εὖρος δὲ δίπηχες. Ἡ δὲ δευτέρα ὕψος, δακτύλων ἕξ, εὖρος δὲ διπλάσιον. Ἡ δὲ τρίτη ἔχει ὕψος δακτύλων ἑπτὰ, εὖρος δὲ δέκα. Ἡ δὲ τετάρτη εὖρος μὲν πηχῶν δύω, ὕψος δὲ δακτύλων ὀκτώ. Καὶ τοσαῦτα μὲν καὶ περὶ τούτων· τὰ δὲ καθ' ἕκαστα τῶν ἐπιγραφῶν ἐν τῇ περὶ τούτων τρίτῳ ἡμῶν βίβλῳ ἐγράφησαν. Αἱ δὲ πόλεις αἱ ἐν τῇ ιγ΄. ἐπιγραφῇ ἀναφερόμεναι ἔκειντο πᾶσαι ἐπὶ τοῦ Ἄθω· καὶ ἡ μὲν Καριάπολις ἔκειτο ἔνθα νῦν αἱ Καριαί. Τὸ δὲ Δικτίδιον, ὅ περ μάλιστα καὶ Θουκυδίδης ἀναφέρει ἐν τῇ ε΄ συγγραφῇ αὐτοῦ (§ 35) ἐν τῇ θέσει τῇ καλουμένῃ τανῦν Ἀμολιανὴ ἀντὶ Αἱμονιανῆς· ἐκλήθη δὲ οὕτως αὕτη ἀπὸ Αἵμονος ἑβδόμου καὶ δεκάτου ἀπογόνου Αἵμονος Χλώρου τοῦ Πελασγοῦ τοῦ κατασχόντος ποτὲ τὴν χώραν ταύτην καὶ ταφέντος ἐν αὐτῇ, καθά φησιν Ἀμφιλόχειος ὁ Θεσσα-

λονικεὺς ἐν τῇ ἕκτῃ τῶν Χαλδαϊκῶν, καὶ μάλιστα Στέφανος ὁ Ἐθνικογράφος, ὃς καὶ τὰ τοῦ Ἀμφιλοχείου διασαλπίζει, ἐν τῇ παρ' ἐμοὶ ὁλοσχερεῖ αὐτοῦ συγγραφῇ. Ἡ δὲ Διοσκουριὰς ἔνθα νῦν τὸ Ῥοσικὸν παλαιομονάστηρον, καθὰ ἐῤῥέθη. Ἡ δὲ Ὀλόφυξος ἔνθα νῦν ἡ μεγαλοπρεπὴς μονὴ τοῦ Βατοπαιδίου. Ἡ δὲ ἐν τῇ ἑβδόμῃ ἐπιγραφῇ ἀναφερομένη πόλις τῶν Ἀκροθώων ἔκειτο ὅπου ἤδη ἡ Κερασά· αὕτη δὲ ἀκρόπολις οὖσα τῆς τῶν Ἀκροθώων πόλεως ἐκαλεῖτο τὸ πάλαι γῆ Καρυβάντων ἢ Κερβάνων ποιητικῶς· ἐκλήθη δὲ οὕτως ἀπὸ τῶν ἐν αὐτῇ τελουμένων δὶς τοῦ ἐνιαυτοῦ Κορυβαντίων τῆς Ῥέας μυστηρίων. Εἶτα δὲ καὶ Κερασφόρος μετωνόμασται ἀπὸ βωμοῦ τινὸς τῆς Κερασφόρου Ἀρτέμιδος λαβοῦσα τὴν ἐπίκλησιν· νῦν δὲ Κερασὰ καλεῖται παρὰ τοῖς μοναχοῖς τοῦ Ἄθω τῆς λέξεως βαρβαρωθείσης. Ἡ δὲ Ἄθωσα κωμόπολις, ἀφ' ἧς καὶ ἡ Ἄθωσα ἀκτὴ, ἔκειτο ἔνθα νῦν ἡ τῆς Λαύρας μονή. Ἡ δὲ Σάνη, ἡ καὶ ἐν τῇ ἐννάτῃ ἀπαντωμένη ἐπιγραφῇ, ἔκειτο ὅπου ἤδη ὁ Πρόβλακας. Ἡ δὲ Θύσσος ὅπου ἤδη ἡ τοῦ Ξηροποτάμου μονὴ κεῖται. Αἱ δὲ Κλεωναὶ, αἱ καὶ ἐν τῇ ἑκκεδεκάτῃ ἀναφερόμεναι ἐπιγραφῇ, ὥς περ καὶ ἡ Θύσσος, ἔκειντο ἔνθα νῦν ὁ λιμὴν Δάφνη, ἐν αἷς, καθὰ ἱστορεῖται, καὶ ἱερὸν Δάφνης ἦν ποτὲ, ἀφ' οὗ μάλιστα καὶ ὁ λιμὴν τῆς προσηγορίας ἔτυχεν, ἥν περ καὶ μέχρι τῆς σήμερον σώζει λιμὴν Δάφνης καλούμενος. Τὸ δὲ Δῖον ἔκειτο ὅπου ἤδη ἡ τοῦ Κώνστα μονὴ ἢ Κασταμονήτη κοινῶς καθὰ γέγραπται. Καὶ ταῦτα μὲν ἐν παρόδῳ. Σὺ δὲ, ὦ ἀναγνῶστα, ὅρα καὶ Ἡρόδοτον εἰ βούλῃ, καὶ Θουκυδίδην, καὶ Στράβωνα, καὶ Στέφανον τὸν Βυζάντιον καὶ ἄλλους. Ἱστοροῦσι γὰρ καὶ οὗτοι τὰ περὶ αὐτῶν. Ὑμεῖς δὲ πρὸς τοῖς μαρτυρίοις τῶν ἀνδρῶν τούτων καὶ ἄλλα πλείῳ ἀνακαλύψαντες ἐν τῇ Ἀθωνάδι κατεχωρήσαμεν πάντα. Ἐκοινώσαμεν δὲ καὶ τῷ καθηγῇ Ῥουδολφίῳ Ἀγγέρῳ τέσσαρας ἐπιγραφὰς τήν τε ιζ' φημὶ καὶ ιη', καὶ ιθ', καὶ κ', ἃς ὅρα ἐν τῷ ε' πίνακι· ἐκοινώσαμεν δὲ αὐτῷ αὐτὰς διὰ τῆς πρὸς αὐτὸν περὶ τῆς ἀνακαλύψεως τοῦ Ἑρμᾶ ἱστορικῆς ἡμῶν ἐπιστολῆς, ἥ περ ἔχει ὧδε·

Τῷ σοφῷ Ἀγγέρῳ Σιμωνίδης εὖ πράττειν.

Ἐρώτησιν ἀπέτεινάς μοι, ὦ σοφώτατε ἄνερ, ἐν τῇ τῆς Ἀκαδημίας βιβλιοθήκῃ, ὅτε αἴφνης ἄλλων τε παρόντων καὶ τοῦ βιβλιοφύλακος καὶ αὐλικοῦ συμβούλου κυρίου Γερστορφίου, εἰς χεῖρας ἐδέξω καὶ ἠσπάσω τὸν Ποιμένα τοῦ Ἀποστολικοῦ καὶ θείου πατρὸς Ἑρμᾶ, καὶ πάντα τὰ κατὰ τὴν ἀνακάλυψιν τοῦ πολυτιμωτάτου τούτου συγγράμματος ἀκριβῶς ἐζήτεις μαθεῖν. Τότε μὲν οὖν ζώσῃ φωνῇ καὶ ἐπὶ ποδὸς ἐν ὀλίγοις τὰ περὶ αὐτοῦ ἐνωτίσω, ἤδη δὲ καὶ γραφῇ μανθάνεις λεπτομερέστερον· πόθεν, καὶ πῶς καὶ πότε τοῦτο τὸ παρὰ πολλῶν μὲν, καὶ ἐπὶ πολὺν χρόνον μάτην ἀναζητηθὲν, μηδέποτε δὲ εὑρεθὲν περίκροτον σύγγραμμα

τοῦ Μακαρίου Ἑρμᾶ περιῆλθεν εἰς χεῖρας ἡμῶν. Ἔχει τοίνυν ἡ διήγησις ὧδε.

Πρὸ τεσσάρων ἤδη ἐνιαυτῶν τὰς διατριβὰς ἐν Ἄθῳ ποιούμενος καὶ τὰς ἐκεῖ ἀναδιφῶν βιβλιοθήκας, φιλολογίας ἕνεκα, ἄρας ἀπὸ Καριαπόλεως [1] εἰς τὴν τοῦ Διονυσίου κοινοβιακὴν μονὴν, τὴν πρὸς δυσμᾶς τοῦ Ἄθω κειμένην, καὶ ἐπὶ τῶν ἐρειπίων τοῦ Εὐρυγενείου Κρόνου ἀναγειγερμένην (καθὰ βεβαιοῖ τοῦτο πάμπολα ἀδιαφιλονείκητα μαρτύρια, περὶ ὧν ἐν τῇ Ἀθωνιάδι διελάβομεν) ἑπτάωρος ἐγενόμην πεζῇ τὸ δεύτερον, ἅμα τῷ ἁγιογράφῳ Γενναδίῳ, ἐν ᾗ μῆνα ὅλον κατέτριψα τὴν αὐτῆς πολύβιβλον βιβλιοθήκην ἀναδιφῶν, τοῦ καθηγουμένου τῆς μονῆς Εὐλογίου ἐπιτρέψαντος· καὶ δὴ πάντα ἐπιμελῶς ἐξετάσας, πολλὰ ἐν αὐτῇ ἀνεκάλυψα ἀξιόλογα συγγράμματα, ὅλως ἄγνωστα, ἐν οἷς μάλιστα καὶ τὰ λίαν τὴν ὑπόθεσιν τοῦ Ἑρμᾶ ἐνδιαφέροντα δύω συγγράμματα τάδε.

α′.

"Ἀρσενίου Ἱερομονάχου καὶ Ἁγιογράφου τοῦ Δαυσαρινοῦ εἰκονικῶν παραστάσεων εἰς τὰς Ὁράσεις τοῦ Ἑρμᾶ βιβλία δύω."

β′.

"Μητροφάνους Μυτιληναίου εἰκονικὴ ἑρμηνεία εἰς τὰς δυωκαίδεκα τοῦ Ἑρμᾶ ἐντολάς."

Καὶ ταῦτα μὲν τὰ δύω συγγράμματα γέγραπται ἐπὶ διφθέρας πρὸ

[1] Οὕτω τὸ πάλαι προσηγορεύετο ἡ τανῦν Καριαὶ ἐν Ἄθῳ κωμόπολις. Καὶ ὅτι μὲν οὕτως ἔχει, τεκμαίρεται ἐξ ἐπιγραφῆς τυχαίως ἀνακαλυφθείσης ἐν τῇ αὐτῇ τῆς κωμοπόλεως χώρᾳ παρὰ τὴν ὁδὸν τὴν ἄγουσαν εἰς τὴν τοῦ Σταυρονικήτα μονήν. Ἰδοὺ δὲ καὶ τὰ τῆς ἐπιγραφῆς.

ιζ′.

" ΟΔΕΕΜΟΣΟΚΑΡΙΑΠΟΛΙΤΟΟΝ	" Ὁ Δῆμος ὁ Καριαπολιτῶν
ΑΓΕΣΤΡΑΤΟΟΙΕΥΡΥΛΟΚΗΟΕΥΕΡΓ	Ἀγεστράτῳ εὐρυλόχου εὐεργ
ΕΤΕΕΙΚΟΙΝΟΟΙΚΑΙΠΡΟΠΗΕΕΤΕΕΙ	έτῃ κοινῷ καὶ προφήτῃ
ΤΕΕΣΑΡΚΗΙΓΕΝΕΤΗΛΟΚΗΑΡΙΣΤΕΕ	τῆς Ἀρχιγενέθλου, χαριστή
ΡΙΟΝ "	ριον."

Ἐν δὲ τῷ Ἐθνικογράφῳ Εὐλύρῳ, οὗ τὰ συγγράμματα ἄγνωστα ὅλως ἐστὶ, καθάγε καὶ τοὔνομα· (οὐδαμοῦ γὰρ ἐν τοῖς γνωστοῖς ἀπαντᾶται συγγραφεῦσι) ταῦτα περὶ αὐτῆς ἀναγινώσκεται.

"Καριάπολις, κωμόπολις ἐν Ἄθῳ μεσόγειος πρὸς Ἀπηλιώτην, ἐν ᾗ Καρίου Διὸς ἱερὸν, καὶ Γοργοφόνου Ἀθηνᾶς, ὧν τὸ μὲν Ὀρσοβίου κτίσμα, τὸ δὲ Μητιάδου ἀμφοτέρων ἐπιχωρίων. Ἔστι δὲ Καρῶν ἄποικος, ἀφ᾽ ὧν καὶ τῆς προσηγορίας ἔτυχε. Τὸ Ἐθνικὸν Καριαπολίτης." Ὁ δὲ Εὔλυρος Κεφαλλὴν ὢν τὸ γένος ἐγεννήθη τῷ τπϛʹ μ. χ. καὶ ἐτελεύτα τῷ υπδʹ, καθὰ φησὶν ὅ τε Νικηφόρος ὁ Κερκυραῖος καὶ ὁ Λυβίης Διονύσιος. Ἔγραψε δὲ οὗτος Ἐθνικῶν βιβλία κδ′ καὶ Ἀνθρωπίνων βιβλία λβ′, ἅ περ ἐν χειρογράφοις σώζονται πάντα· (ὅρα "Γεωγραφικά τε καὶ Νομικὰ τὴν Κεφαλληνίαν ἀφορῶντα." Ἀθήνῃσι, τύποις Φ. Καραμπίνου καὶ Βάφα 1850).

ἑπτακοσίων περίπου ἐτῶν, ἐν ἑνὶ τεύχει, ὑπὸ μιᾶς καὶ τῆς αὐτῆς χειρός· τὴν δὲ γραφὴν λίαν καθαρὰν ἔχει· ὁ δὲ ἀπογραφεὺς αὐτοῦ Ἀβράμιός τις ἐστὶν ἐξ Ἀκάνθου τῆς κατὰ Καρίαν ὁρμώμενος. Ἐν τούτοις τοίνυν τοῖς δυσὶ συγγράμμασι τάς τε Ὁράσεις καὶ Ἐντολὰς τοῦ θείου Ἑρμᾶ Ἀρσένιος καὶ Μητροφάνης ἀρχαῖοι ἁγιογράφοι, εἰκονικῶς ἡρμήνευσαν, καὶ τοῖς παρ' αὐτοῖς μαθητευομένοις παρέδωκαν, ὥς περ ἄλλοι τε παλαίτεροι τούτων τὰς Γραφὰς Παλαιάν τε καὶ Καινὴν, τὸ Τριώδιον καὶ τὴν Ὀκτώηχον, καὶ ὕμνους Τριαδικοὺς καὶ ἐπιλυχνίους, καὶ ἕτερ' ἄττα τῆς Ἀνατολικῆς Ἐκκλησίας συγγράμματα εἰκονικῶς ἡρμήνευσαν (περὶ ὧν οὐδὲν κατεπεῖγον νῦν γράφειν). Καὶ γὰρ ἔθος ἦν παρὰ τοῖς ἀρχαίοις Χριστιανοῖς (ὅ περ καὶ νῦν κατὰ μέρος ἐπικρατεῖ) πάντα τὰ ἐν ταῖς Γραφαῖς ἀναφερόμενα εἰκονίζειν τῇ γραφῇ ἐν τοῖς ναοῖς πρὸς πλείονα τῶν ἁπλουστέρων κατάληψιν, καὶ κόσμον τῆς Ἐκκλησίας.

Ὡς δὲ ἅπασαν τὴν τῆς μονῆς ἐκείνης ἰδικὴν βιβλιοθήκην, ὅσον ἔνεστι, προσεκτικῶς ἐρευνήσας, καὶ τὰς πρὸς τὸν ἡμέτερον σκοπὸν τεινούσας σημειώσεις λαβὼν, εἰς τὴν ἐγγὺς μονὴν, τοῦ Γρηγορίου προσαγορευομένην, ἐπ' ὀνόματι δὲ τοῦ ἁγίου Νικολάου τιμωμένην, δι' ἀκατίου μετέβην, τῇ πέμπτῃ τοῦ ἱσταμένου μηνὸς Δεκεμβρίου, προσκληθεὶς ὑπό τε τοῦ κλεινοῦ πρῴην Μητροπολίτου Τραϊανουπόλεως Ἀνθίμου, καὶ τοῦ ἐπὶ παιδείᾳ θαυμαζομένου παντοίᾳ γηραιοῦ Νεοφύτου, τοῦ Λεσβίου, τοῦ καὶ πρῴην ἡγουμένου τῆς αὐτῆς μονῆς χρηματίσαντος, καὶ διὰ γῆρας παραιτηθέντος, φίλων ὄντων παλαιῶν, ὅπως κᾀγὼ μεθέξω τῆς ἑορτῆς (ἐπετέλει γὰρ ἡ μονὴ τὴν μνήμην τοῦ ἁγίου Νικολάου)· ἀποβὰς δὲ τοῦ ἀκατίου ἐπὶ τῆς προκυμαίας, καὶ δεξιωθεὶς ὑπὸ τῶν ἀναμενόντων με πρὸς ἀπάντησιν μοναχῶν, ὡς ἐκ προσώπου τοῦ τε Ἀρχιερέως καὶ Νεοφύτου, ἀνέβην εἰς τὴν μονὴν μικρὸν ἀπέχουσαν τῆς θαλάσσης, ἐπὶ τῆς κορυφῆς τῆς Ποσειδωνίου ἀκτῆς (ἐν τῷ αὐτῷ ἴσως χώρῳ, ὅπου καὶ Ποσειδῶνος ἱερὸν ἔκειτο, ἀφ' οὗ καὶ ἡ ἀκτὴ Ποσειδῶνος ὠνόμασται[1]). Ὡς δὲ

[1] Ἅπασαι σχεδὸν αἱ ἐν τῷ Ἄθῳ μοναὶ ἐπὶ ἐρειπίων ἱερῶν ἀρχαίων ᾠκοδόμηνται, περὶ ὧν τὰ πάντα ἐν τῇ Ἀθωνιάδι ἡμῖν δεδήλωται· ὅτι δὲ ἡ περὶ ἧς μονὴ τοῦ Γρηγορίου ἐπὶ τοῦ ἱεροῦ Ποσειδῶνος ἀνίδρυται, βεβαιοῦται μὲν καὶ ἐξ ἄλλων πολλῶν τεκμηρίων, καὶ ἐκ τῶν ἑξῆς ἐπιγραφῶν, τῶν παρὰ τῇ αὐτῇ μονῇ ἀνακαλυφθεισῶν πρὸς ἕω αὐτῆς.

ιη'.

"Καλχίων ἀ[πὸ] δε[κάτ]ης τῶν λαφύρ[ων τὸ]ν
ὀπισθόδομον τῷ Θεῷ."

ιθ'.

"ΕΝΝΟΣΙΓΑΙΟΟΙ ΤΕΕΝ
ΝΑΥΝΟΙΜΕΓΑΚΛΕΟΥΣ
ΠΑΙΔΕΣ"

"Ἐννοσιγαίῳ τὴν
ναῦν οἱ Μεγακλέους
παῖδες."

κ'.

"Ἀγήτορος Δηϊνοῦ
εἰ[μὶ ἀ]νάθη[μα]."

Καὶ αὗται μέν εἰσιν αἱ τῷ Ἀγγέρῳ κοινωθεῖσαι, ὧν ἡ μὲν ιζ'. ἔχει ὕψος μὲν

ἐγενόμην ἐν τῇ μονῇ, εἰσῆλθον εἰς τὴν αἴθουσαν ὅπου ὁ Ἀρχιερεὺς καὶ οἱ καθηγούμενοι σὺν τοῖς λογάσι τῆς μονῆς ἐκαθέζοντο, περὶ σπουδαίων διαλεγόμενοι. Ἐγὼ δὲ τὸ χαῖρε αὐτοῖς προσειπὼν, προσῆλθον τῷ Ἀρχιερεῖ, καὶ τὴν δεξιὰν αὐτοῦ ἠσπασάμην· ὁ δὲ εὐλογήσας με, καὶ τῆς δεξιᾶς λαβόμενος χαῖρε κατ' ἄμφω, ὦ τέκνον, ἐφώνησε, καὶ σὺν αὐτῷ πάντες· καθήσας δὲ παρ' αὐτῷ κἀγὼ τῆς ὁμιλίας μετέσχον· μετὰ δὲ μικρὸν ἐσήμαναν οἱ κώδωνες, καὶ πάντες ἀνέστημεν (ἦν γὰρ ὥρα ἑσπερινοῦ)· καὶ εἰς τὴν Ἐκκλησίαν ἀπῆλθον· πλὴν ἐμοῦ τε καὶ τοῦ γηραιοῦ Νεοφύτου, πρὸς ὃν ἄλλα τε καὶ τὰς ἐν τῇ βιβλιοθήκῃ τοῦ Διονυσίου ἀνακαλύψεις ἐδήλωσα· ὁ δὲ ταῦτ' ἀκούσας, πλήρης χαρᾶς λέγει μοι· ἴσως, ὦ τέκνον, ἀνακαλυφθήσεταί τι καὶ ἐν τῇ παρ' ἐμοὶ

πήχεως ἑνὸς καὶ ἡμίσεως, εὖρος δὲ δύω καὶ ἡμίσεως· ἡ δὲ ιη', ἔχει μὲν ὕψος σπιθαμῶν τριῶν, εὖρος δὲ δέκα· ἡ δὲ ιθ', ἡ καὶ τὸ ἐπίθετον τοῦ Θεοῦ Ποσειδῶνος φέρουσα, ἔχει ὕψος πηχυαῖον καὶ μικρόν τι πρὸς, περιφέρειαν δὲ πήχεων δύω. Τῆς δὲ κ', τὸ ὕψος ἐστὶ πήχεως ἑνὸς παρὰ δύω δακτύλους, τὸ δὲ εὖρος δίπηχες ἔχει· εἰσὶ δὲ αἱ τελευταῖαι δύω κρηπῖδες ἐφ' ὧν τὰ ἀναθήματα ἔκειντο· ἡ δὲ ιη', ὑπερθύριον ἦν ὡς ἔοικεν, ἡ δὲ ιζ', κλάσμα στήλης.

Πρὸς ταύταις δὲ καὶ ἡ ἑξῆς ἀνεσκάφη λίαν περίεργος ἐπιγραφή.

Ι	Μ	Ι	Ǝ	Σ	Ο	Φ	Α	Τ	Α	Φ	Ο	Σ	Ε	Ι	Μ	Ι
Μ	Ι	Ǝ	Σ	Ο	Φ	Α	Τ	Σ	Τ	Α	Φ	Ο	Σ	Ε	Ι	Μ
Ι	Ǝ	Σ	Ο	Φ	Α	Τ	Σ	Ο	Σ	Τ	Α	Φ	Ο	Σ	Ε	Ι
Ǝ	Σ	Ο	Φ	Α	Τ	Σ	Ο	Τ	Ο	Σ	Τ	Α	Φ	Ο	Σ	Ε
Σ	Ο	Φ	Α	Τ	Σ	Ο	Τ	Ν	Τ	Ο	Σ	Τ	Α	Φ	Ο	Σ
Ο	Φ	Α	Τ	Σ	Ο	Τ	Ν	Ο	Ν	Τ	Ο	Σ	Τ	Α	Φ	Ο
Φ	Α	Τ	Σ	Ο	Τ	Ν	Ο	Ǝ	Ο	Ν	Τ	Ο	Σ	Τ	Α	Φ
Α	Τ	Σ	Ο	Τ	Ν	Ο	Ǝ	Λ	Ε	Ο	Ν	Τ	Ο	Σ	Τ	Α
Φ	Α	Τ	Σ	Ο	Τ	Ν	Ο	Ǝ	Ο	Ν	Τ	Ο	Σ	Τ	Α	Φ
Ο	Φ	Α	Τ	Σ	Ο	Τ	Ν	Ο	Ν	Τ	Ο	Σ	Τ	Α	Φ	Ο
Σ	Ο	Φ	Α	Τ	Σ	Ο	Τ	Ν	Τ	Ο	Σ	Τ	Α	Φ	Ο	Σ
Ǝ	Σ	Ο	Φ	Α	Τ	Σ	Ο	Τ	Ο	Σ	Τ	Α	Φ	Ο	Σ	Ε
Ι	Ǝ	Σ	Ο	Φ	Α	Τ	Σ	Ο	Σ	Τ	Α	Φ	Ο	Σ	Ε	Ι
Μ	Ι	Ǝ	Σ	Ο	Φ	Α	Τ	Σ	Τ	Α	Φ	Ο	Σ	Ε	Ι	Μ
Ι	Μ	Ι	Ǝ	Σ	Ο	Φ	Α	Τ	Α	Φ	Ο	Σ	Ε	Ι	Μ	Ι

Αὕτη οὖν οὕτως ἔχουσα τὴν διάθεσιν, τὸ δὲ ὕψος δίπηχες, πηχυαῖον δὲ τὸ εὖρος, πολλαχῶς καὶ πολυτρόπως ἀναγινώσκεται· καὶ κλιμακηδὸν δηλονότι, καὶ καθέτως, καὶ ἐκ δεξιῶν, καὶ ἐξ ἀριστερῶν· ἄρχεται δὲ ἡ ἀνάγωσις ἀπὸ τοῦ κέντρου καὶ φράζει τάδε· "ΛΕΟΝΤΟΣ ΤΑΦΟΣ ΕΙΜΙ." Ἀπαντᾶται δὲ ταῦτα δὶς καὶ τριάκοντα. Τοιαύτης δὲ διαθέσεως ἐπιγραφαὶ ἀνεκαλύφθησαν καὶ ἀλλαχοῦ. Ἐν δὲ Ῥόδῳ τῇ νήσῳ μεταξὺ τῶν ἐρειπίων τῆς πόλεως Καμίρου πρὸς Ζέφυρον ἀνεσκάφη ἐπιγραφή τις ἀξιολογωτάτη· ἀναγινώσκεται γὰρ ἐν αὐτῇ ἡ πολύτιμος λίαν ἐπιγραφὴ ἥδε·

"ΔΩΣΙΑΔΟΥ ΑΠΟΛΛΟΦΑΝΟΥΣ ΤΟΥ ΚΑΜΙΡΕΩΣ ΒΩΜΟΙ ΔΥΩ."

Τῇ ἐπιγραφῇ δὲ ταύτῃ, ἥ περ μάλιστα ὀγδοηκοντάκις ἀναγινώσκεται, ἕπονται καὶ οἱ βωμοί. (ὅρα ἐν τῇ περὶ Δωσιάδου (Ι') σημειώσει.)

ἰδίᾳ βιβλιοθήκῃ. Δι' ὃ δέομαί σου, ἀνάστηθι καὶ ἀκολούθει μοι· καὶ ἀναστάντες εὐθὺς εἰσήλθομεν εἰς τὸ δωμάτιον αὐτοῦ, καὶ ἅ περ εἶχε βιβλία, εὐάριθμα μὲν, πολύτιμα δὲ ἅπαντα δείξας, λέγει μοι· ἐρεύνησον καὶ ἰδὲ, τί ταῦτα· ἦσαν δὲ τὰ πάντα ἑκατὸν περίπου τὸν ἀριθμὸν, τὰ μὲν ἐπὶ διφθέρας, τὰ δὲ ἐπὶ χάρτου Παμβακίνου, ἐν οἷς καὶ τὸ τοῦ Ἑρμᾶ ὑπῆρχε διαλελυμένον καὶ ἀτημέλητον· καὶ τὰ μὲν πολλὰ τούτων, εὐανάγνωστα ὄντα, εὐκόλως διέκρινα, τὸ δὲ τοῦ Ἑρμᾶ, καὶ ἕτερα ἑπτὰ, τό τε μὲν παρῃτησάμην, τὴν δὲ τρίτην μετὰ τὴν ἑορτὴν, ὅσον ἔνεστι, καλῶς ἐξηκρίβωσα.

Ἦσαν δὲ τὰ μὲν γεωγραφικὰ, ἀγνώστων συγγραφέων, τὰ δὲ ἱστορικὰ, περὶ ὧν ἐν ἄλλοις τὰ εἰκότα ἐροῦμεν. Αὐτὸ δὲ τὸ τοῦ Ἑρμᾶ τὴν ὑστεραίαν ἐπιστατικῶς ἐθεώρησα καὶ ἐπληροφορήθην, ὅτι ὁ Ποιμήν ἐστι τοῦ μακαρίου ἐκείνου καὶ μυσταγωγικωτάτου πατρός· πρότερον γὰρ οὐκ ἐγίνωσκον τί τὸ ἀνακαλυφθὲν τοῦτο· ὡς δὲ ἔγνων ἐκ τῆς ἐπιγραφῆς, ἔλαβον μετὰ χεῖρας τήν τε Ἑκατονταετερίδα τοῦ ἀοιδίμου Εὐγενείου τοῦ Βουλγάρεως, ἥτις ἔκειτο καὶ αὕτη ἐν τῇ βιβλιοθήκῃ τοῦ γηραιοῦ [1]. πρὸς δὲ καὶ τὸν τέταρτον τόμον τῆς περὶ τῶν ἑβδομήκοντα τοῦ σοφοῦ Οἰκονόμου, ἣν ἐκόμιζον ἀεὶ μετ' ἐμοῦ, διὰ τὸ μνημονεύειν πλείστους τῶν ἐκκλησιαστικῶν συγγραφέων, καὶ ὅσα οὗτοι συνέγραψαν, σωζόμενά τε καὶ μή. Ἐκ τούτων οὖν τὰ κατὰ τὸν Ἑρμᾶν ἀκριβῶς πληροφορηθεὶς, καὶ ἰδὼν ὅτι καὶ αὐτὸς κατὰ τὸ πρωτότυπον οὐ περιεσώθη, καὶ μόνον ἡ Λατινικὴ μετάφρασις μετὰ μικρῶν Ἑλληνικῶν τεμαχίων ὑπάρχει· ἠναγκάσθην, ἵνα τὸ ὅλον κατὰ παράκλησιν τοῦ γηραιοῦ ἀντιγράψω [2].

Καὶ τοίνυν τῆς ἀντιγραφῆς ἀρξάμενος, καὶ ἄχρι τέλους τῆς δωδεκάτης ἐντολῆς προελθὼν, καὶ μικρόν τι πρὸς, ἰδὼν αἴφνης ὅτι ἡ συνέχεια διεκόπτετο παρῃτησάμην εὐθύς. Διὰ δὲ τὰς παρακλήσεις τοῦ γηραιοῦ Νεοφύτου ἀντέγραψα καὶ τὸ λοιπὸν μέρος, ὅ περ καὶ ἀνέγνωσα αὐτῷ τε καὶ τῷ Ἀρχιερεῖ δίς. Μετὰ δὲ ταῦτα καὶ τοῖς λοιποῖς πατράσι τῆς μονῆς μεθ' ἡμέρας ἑπτὰ, ἐν τῇ αἰθούσῃ τῆς ὑποδοχῆς, κατὰ παράκλησιν αὐτῶν· καὶ πάντες ἥσθησαν ἐπὶ τοῖς γεγραμμένοις πολύ· ἓν δὲ καὶ μόνον ἐλύπει ἡμᾶς, ὅτι οὐχὶ τὸ ὅλον εὑρέθη. Τρεῖς δὲ μετὰ τὴν ἀνάγνωσιν ἡμέρας ὁ μὲν γηραιὸς λαβὼν τό τε πρωτότυπον καὶ τὸ καθαρὸν ἀντίγραφον, ἀπῆλθεν εἰς τὸ ἐκτὸς τῆς μονῆς ἡσυχαστήριον αὐτοῦ· ἐγὼ δὲ

[1] Τοῦτο ἐποίησα ἐν τῇ τῆς μονῆς τοῦ ἁγίου Διονυσίου βιβλιοθήκῃ, ὁπότε τὸ ἀπόγραφον τοῦ Ἀβραμίου ἀνεκάλυψα, ἀλλ' ἵνα μὴ δώσω νύξιν τινὰ τῷ Ἀγγέρῳ περὶ ὑπάρξεως ἑτέρου ἀπογράφου ἐσιώπησα τὴν λεπτομέρειαν τῶν συμβεβηκότων, καὶ ἀπέδωκα τῷ Γρηγοριανῷ τὰ γεγονότα πάντα.

[2] Τὸ τοῦ Ἀβραμίου ἀπόγραφον, τὸ καὶ ὑπὸ τοῦ Τισσενδορφίου ἐκδοθὲν δείξας τῷ γηραιῷ Νεοφύτῳ ἤκουσα· Ἀβραμίου πολυμαθείας (ἀντὶ ἀμαθείας) γέμει τοῦτο, ὦ φίλτατε.

μείνας ἐπὶ πολλὰς ἔτι ἡμέρας ἐν τῇ μονῇ, καὶ τὴν εἰρημένην βιβλιοθήκην ἀναδιφῶν ἀνεκάλυψα καὶ ἕτερα τρία φύλλα ἐκ τῆς τοῦ Ἑρμᾶ συγγραφῆς ἐντὸς βιβλίου τινὸς Ἀνδρέου τοῦ Σαλοῦ ἐπιγεγραμμένου, ἀνεκδότου καὶ αὐτοῦ ὄντος· ἅ περ λαβὼν καὶ ἀναγνοὺς, ἀπελθὼν εὐθὺς εὗρον τὸν γηραιὸν, καὶ τὰ περὶ εὑρέσεως εἶπον· ὁ δὲ πλήρης χαρᾶς λέγει μοι· εὗρε ἤδη, τέκνον, καὶ ὅπου τὰ τρία ταῦτα φύλλα κατατακτέον, καὶ ποίησον, εἰ βούλῃ, καὶ τούτων ἀντίγραφον ὅπως ἕξῃς τὸν μισθὸν ὁλοσχερῆ παρὰ τοῦ Θεοῦ. Ὑπήκουσα αὖθις τῷ σεβασμίῳ ἀνδρὶ καὶ τὰ τρία φύλλα λαβὼν (ἐπειδὴ ἄλλης ὑποθέσεως ἕνεκα κατεπηγούσης, ὤφειλον εὐθὺς ἐπανελθεῖν εἰς Καριάπολιν) καὶ ἀντιγράψας, αὐτῷ μὲν τὸ ἀντίγραφον ἔπεμψα, ἐγὼ δὲ αὐτὸ ἐκράτησα τὸ πρωτότυπον, ὅπερ παρὰ τοῦ αὐτοῦ ὡς δῶρον ἔλαβον αἰτησάμενος. Ἔκτοτε τοίνυν κύριος γενόμενος τούτων παρῃτησάμην τῆς μεταγραφῆς, τοῦ καιροῦ μὴ διδόντος, καὶ ἔφερον αὐτὰ μετ' ἐμοῦ σὺν τῷ ἀπογράφῳ τῶν πρώτων ἓξ φύλλων, ὅπως ποτὲ εὐκαιρίας λαβόμενος τοῦτο κᾀκεῖνα καθαρῶς ἀπογράψω[1]· ὃ δὴ καὶ ἐγένετο ἐπ' ἐσχάτων ἐνταῦθα, ὅτε καὶ ἡ ἔκδοσις ἀπεφασίσθη, μετὰ πολυήμερον παρ' ἡμῶν τε καὶ τοῦ σοφωτάτου Κυρίου Γουλιέλμου Δινδορφίου ἐξέτασιν. Καὶ τὰ μὲν τρία τοῦ Ἑρμᾶ φύλλα (μετὰ καὶ τοῦ ἀπογράφου) τὰ ὑπὸ τοῦ γηραιοῦ ἐκείνου δωρηθέντα μοι ἀπεθησαύρισα, ὡς οἶσθα ἐν τῇ καθ' ἡμᾶς Ἀκαδημαϊκῇ βιβλιοθήκῃ μετὰ λύπης ἀποξενώσας πολλῆς. Ἤθελον γὰρ, ἤθελον ἐκ καρδίας (εἰ καὶ πλεῖστα παρὰ τῶν ἐν Ἀθήνῃσι

[1] Τὸ δὲ ἀληθὲς ἦν, ὅτι ἀνακαλύψας καὶ ἕτερα δύω ὕστερον ἐν τῇ τοῦ ἁγίου Παύλου μονῇ τῇ κατὰ τὸν Ἄθων, καὶ τρίτον ἔτι ἐν τῇ τοῦ Καρακάλου, καὶ τέταρτον ἐν τῇ τῆς ἁγίας Ἄννης σκήτῃ, καὶ πέμπτον ἐν τῇ κατὰ τὸ Σίναιον ὄρος (ὅρα Μέμνονα), μετὰ δὲ, καὶ τὰς δώδεκα ἐντολὰς μόνας ἐπὶ λίθου ἐν τοῖς ἐρειπίοις τῆς τῶν Μυρέων μητροπόλεως· ἠμέλησα ὅλως τὴν ἀντιγραφὴν αὐτοῦ· ἠρξάμην δὲ τῆς τοῦ Σιναίου χειρογράφου ἀπογραφῆς, ὅτι τοῦτό ἐστι τὸ παλαιότατον πάντων· ἐγράφη γὰρ ἐν τῷ πρώτῳ αἰῶνι καὶ μάλιστα ἐπὶ παπύρου Αἰγυπτιακοῦ· εἶπον δὲ τῷ Ἀγγέρῳ περὶ τούτων οὐδὲν, ὡς, οὐδὲ τῷ Λυκούργῳ· μνησθεὶς τὸ τῆς παροιμίας ἐκεῖνο, τὸ λέγον·

"εὐήθει δάκτυλον μὴ δείξῃς, ἵνα μὴ καὶ τὴν παλάμην σου καταπίῃ."

Μικρὸν δὲ πρὸ τῆς ἐκδόσεως τοῦ Ἑρμᾶ ἐκοίνωσα τῷ Λυκούργῳ τὴν ὕπαρξιν καὶ ἑτέρου χειρογράφου τοῦ ἑρμαίου κειμένου ἐν παλιμψήστοις σωζόμενον· τὰ αὐτὰ δὲ εἶπον καὶ τῷ Ἀγγέρῳ ὕστερον, ὅ περ κομισθὲν μετὰ τὴν ἔκδοσιν τοῦ Ἑρμᾶ εἰς Λειψίαν ἀπὸ Ἀλεξανδρείας τῇ ἐπιμόνῳ παρακλήσει τοῦ τε Ἀγγέρου καὶ Δινδορφίου ὑπέστην ἐν τῇ ἀθωώσει μου τὰ πάνδεινα, τῇ ῥᾳδιουργίᾳ τοῦ Τισσενδορφίου καὶ τῆς μιαρᾶς αὐτοῦ ὁμάδος· ὁ δὲ λόγος ἦν, ὅτι οὐκ ἔδωκα αὐτῷ τὸν Ἑρμᾶν καταγινόμενον τότε ἐν τῇ ἐκδόσει τῶν Ἀποστολικῶν πατέρων· ἀλλ' ἐπροτίμησα τοὺς ἐχθροὺς αὐτοῦ Ἄγγερον καὶ Δινδόρφιον· οὕτω διέδοσαν οἱ οἰκεῖοι αὐτοῦ, καὶ τὰ αὐτὰ σχεδὸν εἶπε καὶ τῷ Ἀγγέρῳ ὁ αὐτὸς Τισσενδόρφιος ἐν τῇ αὐλῇ μάλιστα τῆς Ἀκαδημίας, ὡς ὁ αὐτὸς Ἄγγερός μοι ἐκοινοποίησεν· ἀλλὰ ταῦτα μὲν πάντα καὶ τὰ τούτοις ὅμοια ἐν τῇ κατ' ἔκτασιν ἱστορίᾳ τῆς ὑποθέσεως ταύτης, ὁ Συκοφάντης Λυκοῦργος ἐπιγεγραμμένῃ ἐξιστορήθησαν. Δι' ὃ παρατρέχω ἐν τῷ παρόντι πάντα· ἐκδοθήσεται γὰρ τὸ σύγγραμμα τοῦτο μετ' ὀλίγον Ἀγγλιστί.

λογίων ἀναξίως παθὼν) χάριν τοῦ φιλτάτου μοι ἔθνους, ἵνα καὶ ταῦτα τὰ φύλλα, εἰ καὶ ὀλίγα, κοσμῶσιν ὅμως τὴν βιβλιοθήκην αὐτοῦ.

Ἰδοὺ ἀπέχεις, ὦ σοφὴ κορυφὴ, ἀπ' ἀρχῆς μέχρι τέλους τὸ ἱστορικὸν τῆς ἀνακαλύψεως, τοῦ περὶ οὗ ὁ λόγος χειρογράφου, σύντομον μὲν, ἀλλ' ἱκανὸν ὅπως διαναπαύσῃ τὸν πόθον ἡμῶν.

Ἤδη δὲ τελευτῶν, καὶ μυρίας τῇ σοφῇ ὑμῶν κορυφῇ ἐκφράζων τὰς χάριτας ἐπὶ τῇ προθυμίᾳ καὶ τοῖς πόνοις, οἷς κατεβάλετε πρὸς τὴν τῆς ἐκδόσεως διευκόλυνσιν, ἐξαιτοῦμαι κἀγὼ παρ' ὑμῶν χάριν μίαν, ὅπως δηλονότι, εἰ δυνατόν ἐστιν, ἀφιερωθῇ τὸ σύγγραμμα τῇ ἐνταῦθα θεολογικῇ σχολῇ· ὁ δὲ λόγος ἁπλοῦς· τὸ μὲν σύγγραμμα, ἱερὸν, θεολογικόν· τόπος δὲ, ἐν ᾧ πρῶτον βλέπει τὸ φῶς ἡ Λειψία, κἀγὼ δὲ νῦν ἀποξενιζόμενος ἐν Λειψίᾳ. Ἀλλὰ καὶ ὁ ἐπιστατήσων τῆς ἐκδόσεως, θεολόγος ἅμα καὶ καθηγητὴς τῆς ἐν Λειψίᾳ κλεινοτάτης Ἀκαδημίας. Δικαία ἄρα ἡ ἀνάθεσις καὶ καθήκουσα, ὅπως εἰ κἀξ ἄλλου τινὸς, κἀντεῦθεν δὴ ἡ βίβλος μέγα τὸ αἰδέσιμον ἔχῃ, ὅτι προσηνέχθη τῇ χορείᾳ τῶν σοφῶν τῆς θεολογικῆς σχολῆς διδασκάλων. Ἔῤῥωσο.

Ἐν Λειψίᾳ τῇ $\frac{9}{21}$ Σεπτεμ. 1855.

Καὶ οὕτω μὲν ἔχει τὰ τῆς ἐπιστολῆς, ἣν μάλιστα ἐγὼ αὐτὸς τῷ Ἀγγέρῳ ἐνεχείρησα. Μετὰ δὲ ταῦτα καὶ δευτέραν ἔγραψα αὐτῷ ἀπὸ Βιέννης συμβουλεύων αὐτὸν ἵνα ἀπέχει ὅλως τοῦ Ἀβραμείου ἀπογράφου, ἀπῄτουν δ' ἐν ταὐτῷ καὶ τὴν ἀπόδοσιν ἑνὸς ἐκ τῶν δύω ἀπογράφων, οἷου βούλεται· οὐ γὰρ δίκαιον, ἔλεγον, δύω ἀνθ' ἑνὸς λαβεῖν ἀπόγραφα [1]. Καὶ τρίτην δὲ καὶ τετάρτην ἀπὸ Μονάχου ἔγραψα διαμαρτυρούμενος, κατὰ τῆς ἁρπαγῆς, ἅς περ καταχωρήσω ἐν οἰκείῳ τόπῳ. Ἔγραψα δὲ καὶ πέμπτην αὐτῷ τε καὶ τῷ Γερσδορφίῳ ὅτε τὰ διαφιλονεικούμενα τοῦ Ἑρμᾶ χωρία πανομοιωτύπως ἐν τῷ Μέμνονι ἐξετυπώθησαν, καὶ τὸ πιστὸν

[1] Ἀντὶ τοῦ Ἀγγέρου ἔγραψεν ἡμῖν ὁ Γερσδόρφιος τάδε·

"Herrn *Konstantin Simonides*.
"Wien.

"Ihr Schreiben an Herrn Professor Dr. Anger vom 23 April d. J. ist mir mitgetheilt worden, und behalte ich mir eine bestimmte Erklärung in Betreff Ihres Verlangens bis dahin vor, wo über die in Ihrer Händen befindlichen übrigen Blätter der Handschrift des Hermas eine genauere Auskunft uns zugekommen ist. Herr Prof. Dr. Anger hat einen der Sache kundigen Professor in Wien gebeten, die betreffenden Handschriften bei Ihnen einzusehen, und ersuche ich Sie dieselben ihm, wenn er Sie besucht, vorzulegen. Die Auffindung jenes Hermasblätter würde ja leicht jede weitere Frage über die beiden Abschriften und deren Verhältniss beseitigen.

"Ergebenst.
"Leipzig, 2 Mai, 1856." "GERSDORF.

τούτων ἐκμαγεῖον ἅμα τῇ ἐπιστολῇ τούτοις ἀπέστειλα· ἔχει δὲ αὕτη ὡς ἑξῆς.

Σιμωνίδης Γερσδορφίῳ καὶ Ἀγγέρῳ χαίρειν.

Σοφοὺς καὶ πείρας πλήρεις ἄνδρας ἀνάξιόν ἐστιν εὐαλώτους τῇ εὐπιστίᾳ γίγνεσθαι· τοιγαροῦν ὑμεῖς, δοκεῖ μοι πῶς, οὐ τῇ πρώτῃ τάξει τῶν τοῦ Ἡσιόδου ἀρίστων προσνεμηθήσεσθε, ἅ τε θρασέσι διαβόλοις τὸ εὔπιστον ὑμῶν ὅλως εὐάλωτον γενέσθαι εἴξαντες. Καίτοι οὖν ἔγωγε τοσαῦτα καὶ τηλικαῦτα ἕνεκα τοῦ εὐπίστου ὑμῶν ὑποστὰς οὐδὲν μέντοι ὑμῖν μνησικακῶν, ἐπὶ δὲ μόνην τὴν οὐρανίαν δικαιοσύνην πεποιθὼς, ἔτι διατελῶ ὑμᾶς σεβόμενος, ἐφ' ᾧ καὶ πέμπω ὑμῖν τὸ ἐκμαγεῖον τῶν διαφιλονεικουμένων χωρίων, ὅ περ εὖ οἶδ' ὅτι ὑμῖν γε βαρύτιμον ἔσται· Ἔῤῥωσθε.

Ἐν Μονάχῳ τῇ $\frac{1}{13}$ Μαρτίου ͵αωνζ'.

Πρὸς ταῦτα μὲν οὗτοι ἀπήντησαν οὐδὲν αἰσχυνόμενοι, οὐ μόνον δι' ἣν ἐτεχνεύσαντό μοι ἁρπαγὴν, ἀλλὰ καὶ δι' ἄλλων αἰτιῶν ἕνεκα, ἅπερ πάντα ἀλλαχοῦ δηλώσω· τὰ δὲ ἀποσταλέντα αὐτοῖς ἀπεθησαύρισαν ἐν τῇ Ἀκαδημαϊκῇ βιβλιοθήκῃ ὡς μέγα χρῆμα καὶ τὸν Τισσενδόρφιον ἐχλεύαζον ὡς πρῶτον ὑπὸ τοῦ Λυκούργου ἀπατηθέντα· οὗτος δὲ ὁ μέγας τῆς Σαξωνίας Ἑλληνιστής!!! μὴ ὑποφέρων τὸ ἄλγος καὶ τὰ ἐπακόλουθα φοβούμενος, ἔγραψεν ἡμῖν ἀπηλῶν τὰ ἀληθῶς Τισσενδορφικὰ σκαλαθύρματα τάδε·

"Σιμώνιdες·

"Λυκοῦργος Μέμνωνα ἀνέγνω Μετὰ Τίσσ. βουλεύεται επίβουλην σου τῶν πρoύσιακων καὶ σαξωνικων καταλοιdοροῦντοσ αρκοντων ιδιῶταστε ὑβριζοντοσ· προβουλευσαι μελλόντων κακῶν."

Ἐλήφθη τῇ έ (ε. ν.) Ἀπριλλίου 1857.

Τίς δὲ ταύτην ἔγραψε; καὶ ἵνα τί ἀνυπόγραφόν τε καὶ ἀχρονολόγητον ἀπέστειλεν; Ὁ Σοφὸς!!! Τισσενδόρφιος λέγομεν καὶ πάλιν ἀδιστάκτως, ὅτι καὶ τὴν φωνὴν αὐτοῦ, οἴσμεν καὶ τὴν γραφήν· ἔγραψε δὲ αὐτὴν ἡμῖν ὅτε τὸ δόλιον τοῦ ἀνδρὸς τούτου κατεδείχθη· τὸν δὲ τῆς δευτέρας ἐρωτήσεως λόγον αὐτὸς οἶσθα καὶ οἱ νουνεχεῖς καλῶς ἐννοοῦσιν.

(ϛ'.)

Ἡ εὐαγεστάτη τοῦ Βατοπαιδίου μονὴ ἐπ' ὀνόματι τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου τιμωμένη κεῖται ἐπὶ τῶν ἀρχαίων ἐρειπίων τοῦ ἱεροῦ τῆς Ἀνυμφεύτου Ἀθηνᾶς, ἐν τῇ πόλει Ὀλοφυξίων λατρευομένης. Αὕτη δὲ ἡ πόλις ἦν μία τῶν κατὰ τὸν Ἄθων ἐπισήμων πόλεων,

ἥτις καὶ τὴν εἰς Χριστὸν ἐδέξατο πίστιν παρὰ τῶν ἀμέσων μαθητῶν τοῦ Ἀποστόλου Παύλου, τῶν ἐν Φιλίπποις τῆς Μακεδονίας παραλαβόντων τὸ κήρυγμα, Ἀγαθονίκου τε καὶ Εὐθυκλέους τέκνων τῆς Λυδίας ἐκείνης τῆς Πορφυροπωλίτιδος, ἣ καὶ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων μνημονεύεται· "Καί τις γυνὴ ὀνόματι Λυδία Πορφυρόπωλις πόλεως Θυατείρων, σεβομένη τὸν Θεὸν, ἤκουεν· ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν, προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου· ὡς δὲ ἐβαπτίσθη, καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε, λέγουσα, Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε· καὶ παρεβιάσατο ἡμᾶς" κτλ. (κεφ. ιϛ΄. § 14—16). Ὑπὸ δὲ τούτων καὶ ἄλλων Φιλιππέων τε καὶ Θεσσαλονικέων εἰς τὸν Ἄθων καταφυγόντων τὴν εἰς Χριστὸν Ὀλοφύξιοι κατηχήθησαν πίστιν, ὡς καὶ αἱ λοιπαὶ πόλεις τοῦ Ἄθω βαθμηδόν. Ὁ δὲ ἐν τῇ πόλει περίστυλος ναὸς τῆς Ἀνυμφεύτου Ἀθηνᾶς καθιερώθη μετὰ χρόνον τινὰ τῇ Ἀειπαρθένῳ Μαρίᾳ. Τὰ δὲ ἐν αὐτῷ εἰδωλεῖα εἰς λεπτὸν συνετρίβη, ὡς Ἀθηνόδωρος, καὶ Ἀθανάσιος οἱ Ὀλοφύξιοι ἱστορήκασιν. Ἐγένετο δὲ τοῦτο ἐν ἔτει ΣΚΒ῾ ἀπὸ τῆς σωτηρίου ἐνσαρκώσεως. Μετὰ δὲ ταῦτα τῷ ΣΚΕ῾ ὁ ναὸς γραφαῖς καλλωπίζεται ὑπὸ Λεάνδρου τοῦ Κνιδίου· καὶ τῷ ΤΛΒ῾ Κωνσταντῖνος ὁ μέγας, αἰτήσει τῶν πολιτῶν, ἀνεκαίνισε τὸν ναὸν, Ἑρμογένης δὲ ὁ Ἀθυμβρεὺς τῷ ΤΛΗ῾ γραφαῖς ἱεραῖς καθωραΐσεν. Ὑπὸ Ἰουλιανοῦ δὲ τοῦ Παραβάτου κατασκαφέντα, ἀνεκαίνισε πάλιν ἐκ βάθρων τῷ ΤΠΖ῾ Θεοδόσιος ὁ Μέγας Πρόκλου τοῦ Κνιδίου ποικίλοις ψηφίοις κοσμήσαντος. Ἀλλὰ μετ' οὐ πολὺ σεισμοῦ φοβεροῦ τὸ πλεῖστον τοῦ ναοῦ διαφθείραντος, Φλαβιανὸς ὁ τηνικάδε πρεσβύτερος ᾐτήσατο τῷ ΥΛΖ῾ παρὰ τοῦ Αὐτοκράτορος Θεοδοσίου τοῦ Νεωτέρου τὴν ἀνέγερσιν τοῦ θείου τεμένους· καὶ τοῦ αἰτήματος οὐκ ἀπέτυχεν. Ἔστι δὲ ὁ Φλαβιανὸς οὗτος ὁ αὐτὸς καὶ ὁ μετὰ ταῦτα Κωνσταντινουπόλεως Πατριάρχης, ὃν ἐν τῇ λῃστρικῇ τῆς Ἐφέσου συνόδῳ ἰδίᾳ χειρὶ ἔκτανε Διόσκουρος ὁ Ἀλεξανδρείας, ὡς μαρτυρεῖ Εὐάγριος, λέγων· "Ἀναιρεθῆναι πρὸς Διοσκούρου ὠθούμενόν τε καὶ λακτιζόμενον" (Εὐάγ. σχόλ. Ἐκκλησ. Ἱστορ. β΄. 2. Καὶ Γρηγορᾶς ι΄. 5. Ὅρα καὶ Πρακτ. τῆς Δ΄ Συνόδου, πράξ. Α΄.). Γεραίρει δὲ τούτου τὴν μνήμην ἡ τῶν Ὀρθοδόξων Ἐκκλησία τῇ ιϛ΄ Φευρ. Ἐκάλλυνε δὲ ταῖς γραφαῖς Πανσέληνος Κωνσταντίνου ὁ Θεσσαλονικεὺς τῷ ΦΙΒ῾. Φθαρέντα δὲ καὶ πάλιν ὑπὸ πυρκαϊᾶς Ἰουστινιανὸς μὲν ἐκεῖνος, ὁ μέγας ἐν βασιλεῦσιν, ἀνήγειρεν αὐτὸν σχεδὸν ἐκ βάθρων τῷ ΦΝΘ῾. ἐκαλώπισε δὲ τῇ τέχνῃ τῶν γραφῶν Εἰρήναρχος ὁ Κνίδιος τῷ ΦΞΘ῾, συνδρομῇ τοῦ σοφωτάτου καὶ θειοτάτου Πατριάρχου Κωνσταντινουπόλεως Ἰωάννου τοῦ Γ^ου^. Λεηλατηθέντα δὲ καὶ πυρὶ παραδοθέντα ὑπὸ τῶν Ἀράβων καὶ Σαρακινῶν τῷ ΩΞΒ῾ οἱ ὅσιοι

Αθανάσιος, Νικόλαος, Ἀντώνιος οἱ Ἀδριανουπολῖται ἀνορθοῦσι τῷ ͵ΑΒ^ῳ κατὰ τὴν τοῦ πνευματικοῦ αὐτῶν πατρὸς ἁγίου Ἀθανασίου συμβουλὴν, ἐν ᾗ καὶ μονάσαντες, τῆς οὐρανίου ἠξιώθησαν βασιλείας, καταλιπόντες τὰ τίμια αὐτῶν λείψανα, ὡς κόσμον ἱερὸν τῆς θείας μονῆς, τηρούμενα καὶ μέχρις ἡμῶν ἐν λάρνακι ἐν τῷ προνάῳ τῆς αὐτῆς μονῆς, ἐφ' ὧν καὶ ταῦτα ἐπιγέγραπται·

"Τύμβος μὲν ἔνθα σώματα δομητόρων
Μονῆς καλύπτει τῆς δε, ὦ φίλε ξένε.
Πόλος φέρει δὲ ψυχὰς ἡγιασμένας
Ὡς ἀγαπώσας εὐπρέπειαν Κυρίου."

Τελεῖται δὲ ἡ μνήμη αὐτῶν ἐν τῇ αὐτῇ μονῇ δὶς τοῦ ἐνιαυτοῦ, τῇ ΙΖ[η] τοῦ Δεκεμ. καὶ τῇ Ε[η] τῆς Πεντηκοστῆς.

Ἐγερθεῖσαν δὲ τὴν μονὴν Λυσίμαχος ὁ Δασκύλιος καταλαμπρύνει τῷ ͵ΑΙϚ[ῳ]. Καὶ τῷ ͵ΑΞΖ[ῳ] ψηφίοις καθωραΐζει[1] ὁ Καλλιστράτου Πανσέληνος ὁ Β[ος] τὴν πατρίδα Συμαῖος, ἐν τῇ αὐτῇ μονῇ τὴν ἄσκησιν ποιούμενος. Ὁ αὐτὸς δὲ Πανσέληνος καὶ τὰ παρεκκλήσια τῆς αὐτῆς μονῆς, ἤτοι τὸ τοῦ Σωτῆρος, τῶν ἁγίων Ἀναργύρων, τοῦ ἁγίου Γεωργίου, τῶν ἁγίων Θεοδώρων, τοῦ ἁγίου Ἰωάννου, τοῦ Προδρόμου, τοῦ ἁγίου Νικολάου ἐζωγράφησεν· ἀλλὰ πάντων τούτων ἀνακαινισθέντων κατὰ διαφόρους καιροὺς, οὐδὲν ἐσώθη ἐν αὐτοῖς τῆς ἐργασίας ἐκείνου τῆς θαυμασίας. Οὐ πολλοῖς δὲ ἔτεσιν ὕστερον, Μανουὴλ Κομνηνὸς λαμπρύνας τὸν ναὸν ποικίλοις κοσμήμασιν, ἀνεκαίνισε καὶ τὴν γραφὴν, φθαρεῖσαν κατὰ μέγα μέρος, τῷ ͵ΑΡΟϚ[ῳ] χειρὶ Χρυσάνθου τοῦ Τραϊανοπολίτου. Μετὰ δὲ ταῦτα ἐπισκευασθεῖσαν πάλιν ἐπὶ Ἀνδρονίκου Παλαιολόγου, τοῦ Γέροντος, ἀνεκαίνισε γραφαῖς ἱεραῖς ὁ τοῦ Ἐμμανουήλου Πανσέληνος ὁ Γ[ος] τὴν πατρίδα Ἰώλκιος τῷ ͵ΑΤΙΒ[ῳ] κατὰ τὴν ἐπιγραφὴν τήν δε·

[1] Οὐδὲν ἐσώθη δυστυχῶς λείψανον τῆς ἀξιολόγου ταύτης ἐργασίας Πανσελήνου τοῦ β[ου] εἰ μὴ ἡ εἰκὼν τοῦ Εὐαγγελισμοῦ ἐν τῷ ναῷ, καὶ τὸ Τρίμορφον τὸ ἐκτὸς αὐτοῦ, ἐν τῷ προνάῳ ἄνω τῆς πύλης, ἐφ' οὗ πέριξ ταῦτα ἀναγινώσκεται ψηφίοις ποικίλοις πεπυκασμένα.

"Τὰ πρὶν ἀκαλλῆ, καὶ ῥυέντα τῷ χρόνῳ,
Ψηφῖσι χρυσαῖς καὶ λαμπρῶς βεβαμμέναις,
Φαιδρῶς, ἀγλαῶς κατεκοσμήθη λίαν
Σπουδῇ, πόνῳ τε καὶ πόθῳ διαπύρῳ
Τοῦ ποιμενάρχου, τῆς δε τῆς μονῆς λέγω,
Ἰωαννικίου τε τοῦ τρισολβίου,
Ὃς καὶ παρέστη σῇ βασιλείᾳ χαίρων,
Ταῖς ἱκεσίαις Πανάγνου καὶ Προδρόμου.
Ταῦτα μοναχὸς Σωφρόνιος γράφει."

" ✠ Ἀνιστορήθη ὁ παρὼν θεῖος ναὸς οὗτος ἐπὶ τῆς βασιλείας Ἀνδρονίκου τοῦ ὀρθοδοξοτάτου βασιλέως, Κομνηνοῦ, τοῦ Παλαιολόγου, διὰ συνδρομῆς τοῦ Ἱερομονάχου Κυρίου Ἀρσενίου ἐν ἔτει ϛ͵ΩΚʹ Ἰνδικτιῶνος δεκάτῃ."

Ἀλλὰ καὶ ἐν τοῖς ὕστερον χρόνοις πολλάκις ὁ ναὸς ἀνεκαινίσθη, κατὰ τὰς ἔτι σωζομένας ἐπιγραφάς. Καὶ τὰ μὲν ἄνω τοῦ ναοῦ τῷ ͵ΑΨΛΘʹ, ὡς δηλοῖ ἡ ἑξῆς ἐπιγραφή.

" Ἐγκαινισμὸν δὲ τὸν παρόντα ποιεῖται τῆς ἀνωτάτω ζωγραφίας τῆς τρούλλας, Κὺρ Παΐσιος, τῆς μονῆς σκευοφύλαξ καὶ ἀρχιμανδρίτης, ἐνθέῳ πόθῳ, ͵ΑΨΛΘʹ."

Τὸ δὲ ἔνδον τοῦ ναοῦ τῷ ͵ΑΨΠΘʹ κατὰ τὰ τάδε (ἅ τινα ἀσύντακτα ὅλως ἐστί).

" Φθαρέντα τὸ πρὶν καὶ ῥυέντα τῷ χρόνῳ
Ἀνιστόρηται δαπάνῃ, σπουδῇ, πόθῳ,
Παρ' εὐσεβοῦς δὲ καὶ σεβασμίου θύτου,
Ἰωάννου τε ἐκ Κάστρου τοῦ Γησβόρου,
Σὺν τοῖς αὐτοῦ παισὶ προσφιλεστάτοις,
Τῷ Χριστοδούλῳ, καὶ Βασιλείῳ ἅμα,
Σκευοφυλακεύοντος κυρίου Φιλοθέου,
Εἰς μνημόσυνον καὶ ἀείμνηστον κλέος.
Ἐπὶ ἔτος ͵ΑΨΠΘʹ."

Ἀμαυρωθεῖσαν δὲ τὴν γραφὴν ὑπὸ τοῦ χρόνου καὶ τῶν πολλῶν φώτων, καὶ τὸ τῆς γραφῆς ζωηρὸν ἀπολέσασαν ὅλως, Γρηγόριος ἐκαθάρισεν, εἷς τῶν περιωνύμων τοῦ Ἄθω ζωγράφων, τῷ ͵ΑΩΘʹ, προτροπῇ καὶ δαπάνῃ Ἀντωνίου τοῦ Ῥοδοφίλου τὴν πατρίδα Ῥοδίου κατὰ τὰ τάδε·

" ✠ Ἀντώνιος ὁ κλεινὸς
Τοὐπίκλην Ῥοδοφίλης
Ῥόδον ἔχων πατρίδα
Τὸν ναὸν καθαρίζει
Τῆς Παναμώμου Κόρης.
Γρόσια καταθέσας
Δώδεκα χιλιάδας,
Ἃ Γρηγόριος λαβὼν,
Ζωγράφος Ἀθωνίτης
Εἰς ἣν τὸ πρὶν ὑπῆρχε
Λαμπρότητα ὁ θεῖος
Ναὸς τῆς Παναχράντου
Κόρης τῆς Ἀκηράτου
Τῇ τέχνῃ αὖθις φέρει,
Χιτῶνα τὸν ζοφώδη
Ὕδατι ψυχρῷ λίαν,
Τεχνικωτάτῃ αὔρᾳ,
Πρὸς τούτοις δὲ γραφίδι
Ὅλως ἐξαφανίσας
Καλύπτοντα πρὸ χρόνου
Τοῦ τρίτου Πανσελήνου
Υἱοῦ Ἐμμανοήλου
Τὸ γένος Ἰωλκίου
Τέχνην τὴν θαυμασίαν.

Ἐποίησε δὲ ταῦτα
Μαΐου δωδεκάτῃ,
Ἰνδικτιῶνος ἴσῃ,
Τοῦ γεγραμμένου ἔτους·
͵ΑΩΘ΄."

Ὁ δὲ πρόναος τῷ ͵ΑΩΙΗ΄ κατὰ τὰ τάδε·

"✠ Ἀνεκαινίσθη δὲ καὶ ἐπιδιωρθώθη ὁ παρὼν νάρθηξ σπουδῇ καὶ ἐπιμελείᾳ τῶν Πανοσιωτάτων προϊσταμένων τῆς Πανσέπτου μονῆς ταύτης· δαπάνῃ δὲ εὐσεβῶν τινῶν φιλοχρίστων Χριστιανῶν. Διὰ χειρὸς Βενιαμὶν μοναχοῦ, καὶ τῶν αὐταδέλφων αὐτοῦ ἐκ χώρας Γαλατίστης. Ἐν ἔτει ͵ΑΩΙΗ΄ Ἰνδικτιῶνας Ζη Μαΐου Ι͵ϛη."

Ὁ δὲ ἐνδότερος πρόναος ἢ νάρθηξ τοῦ ἁγίου Νικολάου τῷ ͵ΑΩΒ΄, ὥς περ ἡ ἐπιγραφή φησιν ἥ δε·

"✠ Ἀνιστορήθη ὁ παρὼν νάρθηξ, δι' ἐξόδων τῶν εὐσεβεστάτων Χριστιανῶν τῶν ἐκ τῆς Ἐπαρχίας Μελενίκου, Κώνστα ἱερέως, Πάγκου, Τορμπαζῆ, Στογιάννου, Τόμου, Μιλίου, Τάσου, καὶ Χρήστου ͵ΑΩΒ΄, καὶ διὰ συνδρομῆς τῶν τῆς μονῆς πατέρων."

Ἡ δὲ φιάλη τῆς μονῆς κατεγλαΐσθη γραφαῖς τῷ ͵ΑΥΚ΄ ὑπὸ Πανσελήνου τοῦ Εου Ζακυνθίου τὸ γένος, υἱοῦ δὲ Θεοδοσίου· ἀλλ' ἀφανισθεῖσαν ὑπὸ τῆς ὑγρασίας ἀνεκαίνισεν ὁ Νικηφόρος τῷ ͵ΑΨΗ΄. Τῷ δὲ ͵ΑΩΜΒ΄ Ματθαῖος καὶ οἱ περὶ αὐτὸν, ὡς μὴ ὤφελεν, ἔχρισαν βαφαῖς, οὕτως εἰπεῖν, ἡ τέχνῃ δαπάνῃ τοῦ ἁγίου Κασανδρείας, ἐπιγράψαντες καὶ τάδε τὰ σόλοικα.

"✠ Ἡ ὧδε λαμπρὰ καὶ ἀγαστὴ φιάλη
Καθιστορήθη εὐσεβεῖ πολλῷ πόθῳ
Διά γε λαμπρῶν δαπανῶν φιλοτίμων
Τοῦ χριστοτερποῦς καὶ ἀγροίπνου ποιμένος
Ἢ δ' ἐλλογίμου ἁγίου Κασανδρείας,
Κυρίου Ἰακώβου τε ἀνδρὸς ἐμφρόνου,
Ὧ τινι πατρὶς Πάτμος ἡ νῆσος πέλει.
Δῴη δ' αὐτῷ εὐκλεᾶ πολλὰ ἔτη
Ἡ Θαυματουργὸς καὶ Βηματοῦχος Πότνα,
Καὶ μὴν κατ' ἄμφω φρουρέῃ ἐῤῥωμένον."

Τὴν δὲ τῆς μονῆς τράπεζαν ἐγερθεῖσαν τῷ ΥΜΗ΄ ὑπὸ Θεοδοσίου τοῦ Νεωτέρου Ἑρμόλαος ὁ Μεγαρεὺς ἐλάμπρυνε καλάμῳ τῷ ΥΝ΄. Ἀνεκαίνισε δὲ Μητροφάνης ὁ Τήλιος τῷ ΧΟΗ΄ γραφαῖς ἱεραῖς· καὶ πάλιν ἀνεκαίνισεν ὁ Προυσαεὺς Πανσέληνος, ὁ Δος, τῷ ͵ΑΣϟΒ΄. Τούτου δὲ ὕστερον πολύευκτος ὁ Ὑλλαριμεὺς τῷ ͵ΑΧΚΒ΄. Καταστραφεῖσαν δὲ ὑπὸ πυρὸς ἐνιαυτοῖς ἑκατὸν ἑξήκοντα ὕστερον ἀνήγειρε μὲν Φιλόθεος, ὡς ἥ δε μαρτυρεῖ ἡ ἐπιγραφή·

"✠ Ἄνθρωπε, τέχνην τῶν καλῶν βλέπεις,
Ἀλλ' ἡ δαπάνη Φιλοθέου τυγχάνει,
Ὃς ἦν πρόεδρος τῆς μονῆς καὶ προστάτης,
Βιθυναῖος, ἐκ τόπου Μουτακίας.
ΑΨΠΕῳ Νοεμβρίου Αη."

Ἐκάλλυνε δὲ Μακάριος κατὰ τάδε·

"✠ Ἀνιστορήθη ἡ παροῦσα τράπεζα διὰ χειρὸς καὶ ἐπιμελείας Μακαρίου μοναχοῦ τοῦ ἐκ Γαλατίτζης· ἔτος ΑΨΠϚῳ Δεκεμβρίου ΚΔη."

Καὶ ταῦτα μὲν ἐν παρόδῳ περὶ τῆς ἱερᾶς μονῆς τοῦ Βατοπαιδίου χάριν τῆς ἀληθείας, διαστρεφομένης πάντοτε ὑπὸ τῶν μὴ εἰδότων αὐτὴν, οἷοι ὑπῆρξαν πολλοὶ τῶν κατὰ καιροὺς περιελθόντων τὸν Ἄθων περιηγητῶν Εὐρωπαίων καὶ μάλιστα ὑπὸ τῶν ἡμετέρων Εὐγενίου Δάγκου τοῦ ἀρχιμανδρίτου καὶ Διονυσίου καὶ Μελχισεδὲκ τῶν τοσαῦτα γραψάντων διὰ τοῦ Τουκοπατρόκλου κοῦφα ληρήματα.

Ἡ δὲ Ὀλόφυξος πόλις, κειμένη πάλαι ποτὲ ἐν τῷ πέριξ τῆς μονῆς χώρῳ, ἦν ἡ μᾶλλον τῶν ἄλλων, ὡς ἔοικεν, εὖ οἰκουμένη κατὰ τὸν Ἄθων πόλεων, καθὰ εἰκάζεται καὶ ἐξ ἄλλων μὲν τεκμηρίων, μάλιστα δὲ καὶ ἐξ ὧν Στέφανος αὐτὸς ἐν τῇ ὁλοσχερεῖ αὐτοῦ τῶν Ἐθνικῶν συγγραφῇ φησι λέξεσιν αὐταῖς·

"Ὀλόφυξος, πόλις ἐν Ἄθῳ ἑῴα ἀντίον Θάσσου κειμένη, ἧς οἰκήτορες πλανῆται Πελασγοὶ καὶ Ἤδωνες καὶ Κάρες καὶ Φωκεῖς, ὧν ἡγεῖτο Ὀλόφυξος ὁ Λήμνιος, ἀφ' οὗ καὶ ἡ πόλις. Ἦν δὲ αὕτη τὸ πάλαι εὖ οἰκουμένη καὶ εὔανδρος ἔχουσα καὶ ἱερὸν ἅγιον τῆς Ἀνυμφεύτου Ἀθηνᾶς. Ἔστι δὲ καὶ χωρίον ἐρυμνὸν Ὀλόφυξος Ἀβδήρων ἐγγὺς Ὀλοφυξίων κτίσμα, καθὰ Ἡρόδοτος ἐν τῷ περὶ Νυμφῶν καὶ Θεῶν φησιν. Ὁ πολίτης Ὀλοφύξιος."

Καὶ ταῦτα μὲν ὁ Ἐθνικογράφος Στέφανος γράφει. Ὅτι δὲ ἡ πόλις καὶ τὸ ἱερὸν τῆς Ἀνυμφεύτου Ἀθηνᾶς ἔκειντο ἔνθα ἤδη ἡ τοῦ Βατοπαιδίου μονὴ, ἀπόδειξις ἔστω ἡμῖν σὺν ἄλλοις καὶ αἱ ἑξῆς τέσσαρες ἐπιγραφαὶ ἐγγὺς τῆς μονῆς ἀνασκαφεῖσαι τῷ ΑΩΝΑῳ.

κα'.

"Ἔδοξε τοῖς τῶν Ὀλοφυξίων Θεσμο
θέταις στεφανῶσαι στεφάνῳ θαλ
λοῦ Τιτυὸν Ἀδειμάντου τὸν ἱερο
μνήμονα καὶ Ἀγέστρατον Καλλιστε
φάνου τὸν ἱεροποιὸν φιλοτιμίας καὶ
δικαιοσύνης ἕνεκα καὶ τῆς εἰς τὸν

δῆμον εὐπραγίας. Ἀναγράψαι δὲ τὸν ἀρ
μόδιον τό δε τὸ ψήφισμα ἐν στήλῃ λιθή[νῃ
κ]αὶ στῆσαι ἐν τῷ ἱερῷ τῆς Ἀνυμφ[εύτου
Ἀ]θηνᾶς τὸν Ἱεροστολιστήν."

κβʹ.

"Ἡ Ἀκροθώων πόλις καὶ Πιλωριτῶν καὶ Σαρταίων καὶ Σερμυλαίων τὸ ἑῷον τῆς Ἀνυμφεύτου Ἀθηνᾶς ἀέτωμα ἐπιταγῇ τῆς Θεοῦ."

κγʹ.

"Ἀγαθῇ τύχῃ
Τὸν κράτιστον κάλλι
στον πολισσονόμον
Θεόκριτον Ἑρμίππου
παρὰ τῇ Ἀνυμφεύτῳ
Ἀθηνᾷ ἡ Ὀλοφυξίων
πόλις τὸν ἑαυτῆς εὐερ
γέτην."

κδʹ.

"Ἡ πόλις Ὀλο
φυξίων Φρασι
κλέα Δημα
ράτου ἥρωα."

Καὶ τοσαῦτα μὲν καὶ τὰ τῶν ἐπιγραφῶν.

Τούτων οὖν ἡ μὲν καʹ ἀνεκαλύφθη τυχαίως πως πρὸς δυσμὰς τῆς αὐτῆς τοῦ Βατοπαιδίου μονῆς ἐντὸς μάλιστα κήπου. Ἔχει δὲ αὕτη ὕψος μὲν πήχεως καὶ ἑπτὰ δακτύλων, εὖρος δὲ πήχεως. Ἡ δὲ κβʹ παρὰ τῇ καʹ ἀνακαλυφθεῖσα ἔχει ὕψος μὲν πηχυαῖον, εὖρος δὲ διπλάσιον· αἱ δὲ ἐν αὐτῇ ἀναφερόμεναι τέσσαρες πόλεις ἔκειντο ἐν Ἄθῳ πᾶσαι· καὶ ἡ μὲν Ἀκράθως ἔκειτο ὅπου ἤδη ἡ Κερασὰ, καθὰ προείρηται (ὅρα σελ. 127) αἱ δὲ λοιπαὶ τρεῖς περὶ τὸν Ἄθων ἔκειντό, φησιν, ἀορίστως, Ἑρμόλαος ὁ τοῦ Στεφάνου ἐπιτομεύς. Ὁ δὲ Στέφανος αὐτὸς ἐν τῇ εὐτυχῶς περισωθείσῃ τῶν Ἐθνικῶν αὐτοῦ ὁλοσχερεῖ συγγραφῇ φησιν, ὡς ἡ μὲν Πίλωρος κωμόπολις οὖσα ἔκειτο πρὸς δυσμὰς τοῦ Ἄθω ἐν ᾗ καὶ ἱερὸν τῆς Δήμητρος, ἐξ οὗ μάλιστα καὶ ἰαματικὰ ἔβρυον ὕδατα· φησι γὰρ οὗτος οὕτω· "Πίλωρος, πόλις Σιθωνικὴ ἐπὶ θάλασσαν ᾠκισμένη παρὰ τῷ ὁμωνύμῳ μάλιστα ποταμῷ, ὃς ῥέων ἀπὸ Σκυδραίων ὀρέων εἰς τὸν Σιγγικὸν εἰσβάλλει κόλπον· ὁ δὲ ταύτης οἰκιστὴς Πίλωρος ἱστορεῖται εἶναι ὁ Αἰνιεὺς, ἀφ' οὗ καὶ ἡ πόλις. Δευτέρα, κωμόπολις ἐν Ἄθῳ πρὸς νότον παρὰ τῇ Ἑρμαίᾳ χώρᾳ ἐν ᾗ καὶ ἱερὸν τῆς Δήμητρος ἅγιον ἐξ οὗ μάλιστα ὑποξίζοντα βρύει ὕδατα ἰαματικὴν ἔχοντα δύναμιν· ἔστι δὲ αὕτη Πιλωριτῶν τῶν Σιθωναίων ἄποικος, καθάγε Ἑκαταῖός φησιν. Τρίτη ἡ Βισαλτικὴ παρὰ τὸν Στρυμόνα ποταμὸν ἐν ᾗ καὶ ἱερὸν Ἡρακλέως μέγιστον. Τὸ ἐθνικὸν Πιλωρίτης, ὡς Ἀλωρίτης."

Ἐκ τούτων οὖν ἐξάγεται, ὡς ἡ Ἀθωῒς Πίλωρος ἔκειτο πρὸς δυσμὰς μὲν τοῦ Ἄθω, ἐγγὺς δὲ τῆς Ἑρμαίας χώρας παρὰ τοῖς ἰαματικοῖς ὕδασιν.

Ἑρμαία δὲ χώρα ἐκαλεῖτο ὁ χῶρος, ἐν ᾧ ἤδη ἡ τοῦ Δοχειαρίου μονὴ ἵδρυται ἀπὸ ναοῦ τινὸς τοῦ Ὠκυπτέρου Ἑρμοῦ ἐν αὐτῷ ἱδρυμένου λαβοῦσα τὴν ἐπίκλησιν, καθάγε αἱ ἐν τῷ χώρῳ τούτῳ ἀνακαλυφθεῖσαι ἐπιγραφαὶ τεκμαίρονται τοῦτο. Τὰ δὲ ἰαματικὰ ὕδατα βρύει καὶ ἄχρις ἡμέρας ἐκ τῆς τοῦ Ξενοφῶντος μονῆς. Ἄρα ἡ πόλις αὕτη ἔκειτο, ὁριστικῶς, παρὰ τῇ τοῦ Ξενοφῶντος μονῇ, ὅτι οὐ μόνον αὕτη παρὰ τῇ Ἑρμαίᾳ χώρᾳ κεῖται, ἀλλὰ καὶ τὰ ὕδατα ἐξ αὐτῆς ἀφθόνως βρύει· ἄνευ ὅμως ἀποτελέσματος· ἀγνοοῦσι γὰρ οἱ μοναχοὶ τῆς μονῆς ταύτης τὴν τῶν ὑδάτων ἰαματικὴν δύναμιν.

Ἡ δὲ Σάρτη πρὸς ἀνατολὰς τοῦ Ἄθω ἔκειτο· ἔνθα ἤδη ἡ τοῦ προφήτου Ἡλιοῦ μονὴ κατὰ τὰς ἐν αὐτῇ ἀνασκαφείσας ἐπιγραφὰς, καὶ καθὰ μάλιστα Στέφανός φησιν ἐν τῇ ὁλοσχερεῖ αὐτοῦ συγγραφῇ τάδε γράφων.

"Σάρτη, πόλις Σιθωνίας ἑῴα ἐπὶ τῇ ὁμωνύμῳ ἀκτῇ πρὸς Ἄθων τετραμμένη, ἧς οἰκιστὴς Σάρτης ὁ Λήμνιος, ἀφ' οὗ καὶ ἡ πόλις ἐν ᾗ καὶ ἱερὸν Σάρτου Διὸς ἵδρυμα τοῦ τῆς πόλεως οἰκιστοῦ. Ἔστι δὲ καὶ δευτέρα ἐν Ἄθῳ μεσόγειος πρὸς ἕω, Σαρταίων τῶν Σιθωναίων ἀποικία, ἧς ἡγεῖτο Ὠρίων Ὠρίωνος, ὃς καὶ τὸ τῆς πόλεως ἱερὸν Κρόνου Σάρτου ἰδίᾳ ἀνέστησε. Τρίτη περὶ τὰ Θυάτειρα, ἧς οἰκιστὴς Τέκμησσος ὁ ἐκ Σάρτης τῆς Ἀθωΐδος, καθὰ Ἑκαταῖός φησι. Τετάρτη, πολίχνη ἐν Μακεδονίᾳ Πέλλης πρὸς νότον τὸ ἐθνικὸν Σαρταῖος."

Ἡ δὲ Σερμυλία ἔκειτο μεταξὺ τῆς τοῦ Ἐσφυγμένου μονῆς καὶ τῆς τοῦ Χιλιανδρίου· καὶ γάρ φησι Στέφανος τάδε.

"Σερμυλία, πόλις ἐν Ἄθῳ ἑῴα μεταξὺ Τισιφόνης πολίχνης καὶ Λεοντίας χώρας κειμένη, ἧς οἰκιστὴς Σερμύλιος ὁ Θρᾲξ, ἀφ' οὗ μάλιστα καὶ τῆς ἐπωνυμίας ἡ πόλις ἔτυχεν. Ἔστι δὲ ἐν αὐτῇ καὶ ἱερὸν Ἀθηνᾶς Σερμυλίας, ὡς Ἑκαταῖος. Ἔστι δὲ καὶ πόλις Σερμύλη ἐν τῇ Σιθωνίᾳ χώρᾳ πρὸς νότον καὶ λιμὴν παρ' αὐτῇ ὁμώνυμος καὶ ἱερὸν ἐπὶ τὴν θάλασσαν μέγιστον Ποσειδῶνος. Τρίτη ἐν Κύπρῳ Τερμίθου ἐγγύς. Τετάρτη ἐν Θρᾴκῃ Λιπάξου πρὸς Ζέφυρον. Ὁ πολίτης Σερμυλιαῖος, καὶ Σερμυλεὺς, καὶ Σερμύλιος, ὥς περ Ἑκαταῖος, τὸ θηλυκὸν Σερμυλία καὶ Σερμυλίς."

Ὅτι δὲ ἡ Σερμυλία ἔκειτο μεταξὺ τῶν προειρημένων δύω μονῶν τεκμαίρεται μὲν καὶ ἐξ ἄλλων πολλῶν τεκμηρίων, τεκμαίρεται δὲ καὶ ἐξ ἐπιγραφῶν τινῶν ἀνασκαφεισῶν ἐν τῷ μνησθέντι χώρῳ, ὥς περ καὶ ἐν τῇ Λεοντίᾳ χώρᾳ, ἐν ᾗ ἤδη ἡ τοῦ Χιλιανδρίου μονὴ κεῖται, καὶ ἐν τῇ Τισιφόνῃ πολίχνῃ ἐφ' ἧς ἡ τοῦ Ἐσφυγμένου μονὴ ἤδη ἵδρυται. Τὰς ἐπιγραφὰς δὲ ταύτας δημοσιεύσομεν ἐν τῇ Ἀθωνιάδι σὺν ἄλλαις πολλαῖς.

Καὶ ταῦτα μὲν περὶ τῶν τριῶν πόλεων, Πιλώρου, Σάρτης, Σερμυλίας, ἅλις ἐχέτω.

Ἡ δὲ κγ΄ τῶν ἐπιγραφῶν βάθρον οὖσα μεταξὺ τῆς πρὸ χρόνων ἐρημωθείσης Ἀθωνιάδος Σχολῆς καὶ τῆς μονῆς τοῦ Βατοπαιδίου εὕρηται. Ἔχει δὲ ὕψος αὕτη πηχυαῖον, εὖρος δὲ πήχεως παρὰ δακτύλους τέσσαρας. Ἡ δὲ κδ΄ ὕψος μὲν ἔχει ἡμίσεως πήχεως, εὖρος δὲ τὸ ἴσον· ἀνεκαλύφθη δὲ αὕτη πρὸς Ζέφυρον τῆς μονῆς. Παρ' αὐτῇ δὲ καὶ τὸ εἰκονιζόμενον ἐν τῷ ἕκτῳ πίνακι ἀργυροῦν νόμισμα ἀνεσκάφη, ὅπερ ἐξ ἑνὸς μὲν μέρους δέσμην οἰνάρων ἅμα τοῖς βότρυσι καὶ τῷ τῆς πίτυος καρπῷ εἰκονίζει, ἀφ' ἑτέρου δὲ τὸ παρὰ τοῖς ἀρχαίοις σύνηθες μουσικὸν ὄργανον, ἐφ' οὗ καὶ ἀστὴρ ὁρᾶται, καὶ ἐπιγραφὴ ἀναγινώσκεται τοῦ μουσικοῦ ὀργάνου πέριξ ἥδε· ΟΛΟΠΗΥΚΣΙΩΝ = Ὀλοφυξίων.

(Ζ΄.)

Τὸ τῶν Παρισίων χειρόγραφον, τὸ τοῦ Μεθώνης περιέχον ἀνὰ χεῖρας σύγγραμμα περιέχει πρὸς τούτῳ καὶ τὸ περὶ ἀζύμων τοῦ αὐτοῦ πατρὸς πρῶτον σύνταγμα ὅ περ μάλιστα ἐπιγράφεταί τε καὶ ἄρχεται ὧδε·

“ Νικολάου τοῦ ἁγιωτάτου Ἐπισκόπου Μεθώνης, λόγος πρὸς Λατῖνον, περὶ τῶν ἀζύμων.

“Τῆς σοφίας ὁδηγὲ καὶ φρονήσεως χωρηγέ, τῶν ἀφρόνων παιδευτά, καὶ πτωχῶν ὑπερασπιστά, στήριξον συνέτισον τὴν καρδίαν μου δέσποτα, σὺ διδούς μοι λόγον ὁ τοῦ Πατρὸς Λόγος.

“Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, ὦ Λατῖνε, πρὸς σέ, περὶ τῆς πρώτης καὶ ἀσυγγνώστου βλασφημίας, τῆς εἰς τὸ Πνεῦμα τὸ ἅγιον καινισθείσης σοι· ᾗ τις ἄντικρυς ἀποῤῥήγνυσιν αὐτὸ τῆς θεότητος, ὡς δὴ μὴ τὸν Πατέρα μόνον ἔχων ἀρχὴν, τὴν μόνην τῆς θεαρχίας πηγὴν ἀλλὰ τὸν Υἱόν· ὃν Θεὸν μὲν οἶδε καὶ θεαρχίαν, ὥσπερ δὴ καὶ αὐτὸ τὸ Πνεῦμα, οὐ μέντοι καὶ θεαρχίας πηγὴν ὀνομάζειν, ἡ ἐπιστημονικὴ τῶν θεολόγων ἀκρίβεια, ἵνα μὴ λάθῃ συναφορίζουσα τούτῳ τὴν πατρικὴν ἰδιότητα καὶ οἶμαί σε ἤδη πεπεῖσθαι, καὶ μὴ πλειόνων ἔτι δεῖσθαι τῶν λόγων φρόνιμόν τε ὄντα καὶ τῷ ἑνὶ κατὰ τὴν παροιμίαν, ἀρκούμενον, καὶ σοφὸν ἀφορμὴν λαβόντα καὶ γεγονότα σοφώτερον. Τὸ δὲ νῦν, ἥκω σοι περὶ τῆς δευτέρας καὶ ὁμοίας τῇ πρώτῃ τῆς ἐπὶ τὸν Υἱὸν ἀναφερομένης διαλεξόμενος” . . . κτλ.

Πρὸς τοῖς δυσὶ δὲ τοῦ πατρὸς Νικολάου σοφοῖς συγγράμμασι καὶ τάδ' εὕρηται·

α΄. “ Πέτρου Ἀντιοχείας ἀντίγραμμα πρὸς τὸν Κωνσταντινουπόλεως Κύριον Μιχαήλ·

“Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου· καὶ ἣν κατεπανουργεύσαντο γνώμην οἱ μισοῦντές σε ἄραντες κεφαλὴν ἐν μέσῳ τῆς Ἐκκλησίας σου, ἱκανῶς ἡμᾶς τὰ σὰ ἱερὰ ἐδίδαξε γράμματα, θεοειδέστατε καὶ ἅγιε δέσποτά μου” . . . κτλ.

β΄. "Τοῦ Τορνίκου κυρίου Δημητρίου ὡς ἐκ προσώπου τοῦ βασιλέως κυρίου Ἰσαακίου πρὸς τὸν Ἐπίσκοπον Στρογόμμου.

"Τὸ μετὰ τοῦ πρώτου Βεστιαρίου σταλὲν αὐτοῦ ἀντίγραμμα πρὸς τὴν διὰ τοῦ αὐτοῦ ἀποκομισθεῖσαν τῇ σῇ ἱερωτάτῃ γραφὴν τῆς βασιλείας μου" . . . κτλ.

γ΄. "Τοῦ ἱερωτάτου Μητροπολίτου Νικαίας Κυρίου Εὐστρατίου ἔκθεσις γεγονυίας διαλέξεως πρὸς Γροσολάνον Ἀρχιεπίσκοπον Μεδιολάνων περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, πρὸ τῶν ἀντιῤῥήτων ῥηθεῖσα.

"Πρῴην μὲν ὑμῖν δύω γράμματα ἐκπεπόνηται, πρὸς ἅ περ Λατῖνοί φασιν τὸ Πνεῦμα τὸ ἅγιον, μὴ ἐκ μόνου τοῦ Πατρὸς, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, παρεισάγοντες καὶ καινοτομίαν τινὰ ὡς μικρὰν, ἐν τῷ τῆς Πίστεως ἀπεργαζόμενοι δόγματι" . . . κτλ.

δ΄. "Διάλεξις Πέτρου Λατίνου Ἐπισκόπου Μεδιολάνων μετὰ τοῦ μοναχοῦ κυρίου Ἰωάννου τοῦ Φουρνῆ, τοῦ Πρώτου ὄρους τοῦ Γάνου, περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος.

"Ἄκουσον καὶ νόησον ἃ πρὸς σὲ φθέγγομαι ἐγὼ τοῦ Θεοῦ ἐπιπνέοντος, φρονιμώτατε καὶ ἀνεξίκακε δυνατὲ καὶ πάτερ βασιλεῦ Ἀλέξιε" . . . κτλ.

Πρὸς τοῖς θεολογικοῖς δὲ τούτοις συγγράμμασιν ἀπαντᾶται καὶ ἕτερα διάφορον ὅλως τῶν θεολογικῶν περιέχοντα ὕλην, ἅ περ μάλιστα καὶ προηγοῦνται τῶν θεολογικῶν· ἔστι δὲ τὰ ἑξῆς.

α΄. "Ἀριστοφάνους Πλοῦτος."

β΄. "Κάτωνος Ῥωμαίου γνῶμαι παραινετικαὶ δίστιχοι, ἃς μετήνεγκεν ἐκ τῆς Λατίνων φωνῆς εἰς τὴν Ἑλλάδα διάλεκτον Μάξιμος ὁ Πλανούδης."

γ΄. "Ὑπόθεσις τῆς δι' Ὁμήρου Ῥαψῳδίας. Ἔδοξε τοῖς θεοῖς τὴν Ἴλιον ἁλῶναι" . . . κτλ.

δ΄. "Θεοφράστου χαρακτῆρες."

ε΄. "Βοετίου Φιλοσόφου περὶ τέχνης διαλεκτικῆς·

"Πρότασις ἔστι λόγος ἀληθὲς ἢ ψευδὲς σημαῖνον". . . κτλ.

ϛ΄. "Ἀνεπίγραφον.—Εἰ καὶ τὰς τῶν τόπων διαφορὰς" . . . κτλ.

ζ΄. "Ἀνεπίγραφον.—Τούτων οὕτω καταγραφέντων νῦν πῶς ἡ τοῦ Μάρκου" . . . κτλ.

η΄. "Γαληνοῦ πρὸς Τεύθραν ἐπιστολὴ περὶ εὐσυνόπτων σφυγμῶν·

"Κλαύδιος Γαληνὸς φιλτάτῳ ἡμετέρῳ Τεύθρᾳ τῷ ἀρχιητρῷ, χαίρειν.

θ΄. "Ἀρχὴ σὺν Θεῷ τῶν διαιρέσεων τῶν σχημάτων τῆς ῥητορικῆς τέχνης Ματθαίου τοῦ Βλάσταρι·

"Ῥήτωρ ἐστὶν ἀνὴρ πραγμάτων πολιτικῶν ἐπιστήμων" . . . κτλ.

ι΄. "Περὶ πολυσημάντων λέξεων ἐκ τοῦ Ὥρου.

"Ἀναβάλλομαι σημ. δ', τὸ ἐνδύομαι, τὸ προοιμιάζω, τὸ βραδύνω" . . . κτλ.

ια'. Τοῦ ἁγίου Ἐπιφανείου περὶ μέτρων καὶ σταθμῶν.

"Κόρος σίτου μόδια τριάκοντα" . . . κτλ.

ΙΒ'. "ΠΕΡΙ ΕΠΙΣΤΟΛΙΜΑΙΟΥ ΧΑΡΑΚΤΗΡΟΣ ΚΑΙ ΠΟΣΑ ΗΔΗ ΔΙΑΦΟΡΑΣ ΑΥΤΩΝ ΚΑΙ ΟΝΟΜΑΤΩΝ.

"Ὁ τῆς τῶν λόγων ἡδονῆς γευσάμενος, αὐτίκα πρῶτος ἐπιστολαῖς χαίρει· ὃ καὶ μέγα τι τοῖς κατορθοῦσι καὶ εὐφρόσυνον. Ποικίλος δὲ ὁ ἐπιστολικὸς χαρακτὴρ καὶ πολυσχεδής. Ὅθεν δεῖ τὸν γράφειν ἐθέλοντα, μὴ ὡς ἔτυχεν ἁπλῶς ἐπιστέλλειν, ἀλλὰ καὶ σὺν ἀκριβείᾳ πολλῇ καὶ τέχνῃ· ἄριστα δ' ἄν τις ἐπιστεῖλαι δυνηθείη, εἰ γνοίη ὅτι τί ἐστιν ἡ ἐπιστολή, ἢ τί λέγειν ἐν αὐτῇ θέμις, ἢ εἰς πόσας προσηγορίας διαιρεῖται.

"Ἐπιστολὴ οὖν ἐστιν ὁμιλία ἐγγράμματος ἀπόντος τινὸς πρὸς ἀπόντα γινομένη· καὶ χρειώδη σκοπὸν συμπληροῦσα.

"Ἐρεῖ δέ τις ἐν αὐτῇ, ἅ περ παρὼν πρὸς παρόντα διαλεχθήσεται· γενικῶς μὲν οὕτως ἐπιστολαὶ πᾶσαι κέκληνται, αἱ ἐγγράμματοι τινῶν πρός τινας ἀπόντας ὁμιλίαι· εἰδικῶς δὲ ὡδί. εἰσὶ δὲ πᾶσαι αἱ προσηγορίαι ἐπιστολῶν αὗται.

"Παραινετική, μεμπτική, παρακλητική, συστατική, εὐχαριστική, φιλική, εὐκτική, ἀπειλητική, ἀπαρνητική, παραγγελτική, μεταμελητική, ὀνειδιστική, συμπαθητική, θεραπευτική, συγχαριτική, παραλογιστική, ἀντεγκληματική, ἀντεπισταλτική, σχετλιαστική, πρεσβευτική, ἐπαινετική, διδασκαλική, ἐλεγκτική, διαβλητική, ἐπιτιμητική, ἐρωτηματική, μικτή, παραθαῤῥυντική, ἀναθετική, ἀποφαντική, σκωπτική, αἰνιγματική, ὑπομνηστική, λυπητική, συμβουλευτική.

"α'. Ἔστι μὲν οὖν παραινετική, δι' ἧς παραινοῦμεν τινὶ προτρέποντες αὐτὸν, διὰ τοῦτο ἔοικεν εἶναι συμβουλευτική, ὥς τινες ὑπόπτευσαν· οὐχὶ δὲ παραίνεσις· παραίνεσις γὰρ συμβουλῆς διαφέρει· ὅτι ἡ μὲν οὐ δέχεται ἐναντίωσιν· οἷον δὲ τὸ θεῖον τιμᾷν· οὐδεὶς γὰρ ἀντιστήσεται ταύτῃ τῇ παραινέσει· οὐδὲ δεῖται συμβουλῆς, εἰ καλόν ἐστιν ἢ οὔ· εἰ μὴ μαίνει τό γε· εἰ δὲ συμβουλεύει τις πολεμεῖν, ἢ ἄλλο τι ἕξει τὸν ἀντιλέγοντα· ὅτι πολλὰ τὰ ἐκ πολέμου συμβαίνοντα, ἢ ἀλλ' ὅτι καὶ ἐν τοῖς ἀνθρώποις.

"β'. Μεμπτικὴ δὲ, δι' ἧς μεμφόμεθα τινὶ ὡς παρὰ τὸ εἰκὸς ποιήσαντι.

"γ'. Παρακλητική, δι' ἧς ἀξιοῦμεν τινὰ ἐν τῷ τοῦ καιροῦ δέοντι.

"δ'. Συστατική, δι' ἧς συνιστῶμεν τινὰ ἢ εἰς φιλίαν τινὶ, ἢ ἀρχήν· ἣ καὶ παραθετικὴ λέγεται.

" ε'. Εὐχαριστικὴ, δι' ἧς χάριν ὁμολογοῦμεν τινὶ τινός· ἕνεκεν εὐεργεσίας ἢ χάριτος.

" ς'. Φιλικὴ, ἡ φιλίαν μόνον ψιλὴν ἐμφαίνουσα, ἢ διάθεσιν τοῦ φιλοῦντος.

" ζ'. Εὐκτικὴ, δι' ἧς εὐχόμεθά τινι.

" η'. Ἀπαρνητικὴ, δι' ἧς ἀπαρνούμενοί τι φαινόμεθα.

" θ'. Ἀπειλητικὴ, δι' ἧς ἀπειλοῦμεν τινὶ περί τινος.

" ι'. Παραγγελματικὴ, δι' ἧς παραγγέλλομεν τινὶ περί τινος.

" ια'. Μεταμελητικὴ, δι' ἧς δοκοῦμεν μεταγινώσκειν, ἢ ἐφ' οἷς ὑποσχόμεθα, ἢ ἐπράξαμεν ἢ ἐφ' οἷς ἐδόξαμεν ἐσφάλθαι.

" ιβ'. Ὀνειδιστικὴ, δι' ἧς ὀνειδίζομεν τινὰ ἐν οἷς ὠφελήθη μὲν παρ' ἡμῶν· ἀμνημονεῖ μέντοι.

" ιγ'. Συμπαθητικὴ, δι' ἧς δοκοῦμεν τινὶ συμπάσχειν ἐφ' οἷς ὑπέστη κακοῦ ἢ λυπηροῦ.

" ιδ'. Θεραπευτικὴ, δι' ἧς δοκοῦμεν θεραπεύειν τινὶ λυπηθέντα πρὸς ἡμᾶς· ἡ δ' αὐτὴ καὶ ἀπολογητικὴ καλεῖται.

" ιε'. Συγχαριτικὴ, δι' ἧς συγχαίρομεν τινὶ εὖ πράττοντα.

" ις'. Παραλογιστική ἐστι δι' ἧς παρακρουόμεθα τινὰ, ἢ ὡς ἐξαπατῶντες, ἢ ὡς εὐτελοῦς ἀτεχνῶς καταφρονοῦντες.

" ιζ'. Ἀντεγκληματικὴ, δι' ἧς ἐγκαλούμενοί τε ὑπό τινος ἀντεγκαλοῦμεν ἡμεῖς ἐκείνῳ περιτρέποντες ἐπ' ἐκείνῳ τὸ ἔγκλημα.

" ιη'. Ἀντεπισταλτικὴ, δι' ἧς πρὸς τὰ γραφέντα ἡμῖν ἑπομένως ἀντεπιστέλλομεν.

" ιθ'. Παροξυντικὴ, δι' ἧς ἐρεθίζομεν τινὰ καὶ παροξύνομεν πρὸς τὴν κατά τινος μάχην.

" κ'. Παραμυθητικὴ, δι' ἧς παραμυθούμεθα ἐπὶ τοῖς συμβᾶσιν αὐτῷ ἀλγεινοῖς.

" κα'. Ὑβριστικὴ, δι' ἧς ὑβρίζομεν τινὰ διά τι σύμπτωμα.

" κβ'. Ἀπαγγελτικὴ, δι' ἧς ἀπαγγέλλομέν τι τῶν συμβαινόντων πραγμάτων.

" κγ'. Σχετλιαστικὴ, δι' ἧς φαινόμεθα δεινοπαθοῦντες καὶ ὀδυρόμενοι διά τινα συμβᾶσαν περίστασιν ἢ λύπην.

" κδ'. Πρεσβευτικὴ, δι' ἧς πρεσβεύομεν πρός τινα περί τινος πταίσαντος μυρίως.

" κε'. Ἐπαινετικὴ, δι' ἧς ἐπαινοῦμεν τινὰ ἐπ' ἀρετὴν διαπρέποντα· ἔπαινος μὲν οὖν ἐπὶ μιᾶς πράξεως λέγεται· τὸ δὲ ἐγκώμιον πάσας σχεδὸν περιλαμβάνειν ὀφείλει τὰς εὐφημίας τινός· καὶ ἡ τοιαύτη ἐγκωμιαστικὴ λέγεται.

" κς'. Διδακτικὴ, δι' ἧς τινὶ διδάσκομεν, ῥυθμίζοντες ἐκεῖνον, ἢ ὃ ἠγνόει μεταμαθεῖν ποιοῦντες.

"κζ΄. Ἐλεγκτική, δι' ἧς ἐλέγχομεν τινὰ κακῶς πράξαντα ἢ εἰπόντα.

"κη΄. Διαβλητική, δι' ἧς διαβάλλομεν τινὰ καταψευδόμενον ἐκείνοι· ἐφ' οἷς μὴ ἔπραξεν μηδὲ εἶπεν.

"κθ΄. Ἐπιτιμητική, δι' ἧς ἐπιτιμῶμεν τινὶ ἐφ' οἷς ἀσέμνως βιώσκει ἢ λέγει.

"λ΄. Ἐρωτηματική, δι' ἧς ἐρωτῶμεν τινὰ περί τινος ἀγνοοῦντες.

"λα΄. Παραθαῤῥυντική, δι' ἧς παραθαῤῥύνομεν τινὰ καὶ ἀπαλλάττομεν τῆς δειλίας καὶ ἀνδρεῖον ποιοῦμεν.

"λβ΄. Ἀναθετική, δι' ἧς τὴν ἑαυτῶν γνώμην ἀνατίθεμεν τινὶ τῶν φίλων, ἢ συμβουλῆς χάριν ἢ ἐπικουρίας.

"λγ΄. Ἀποφαντική, δι' ἧς ἀποφαινόμεθά τι κατά τινος ἤ τι ἀπό τινος.

"λδ΄· Σκωπτική, δι' ἧς σκώπτομεν τινὰ κακῶς ποιοῦντα.

"λε΄. Αἰνιγματική, δι' ἧς ἄλλα μὲν λέγεται, ἄλλων δὲ ἔμφασιν περιέχει.

"λϛ΄. Ὑπομνηστική, δι' ἧς ἄγομεν εἰς ἀνάμνησιν τινὰ περί τινος ἀναγκαίου.

"λζ΄. Λυπητική, δι' ἧς διδόαμεν ἔμφασιν ὡς λυπούμεθά τινος ἕνεκα.

"λη΄. Μικτή, ἡ ἐκ διαφόρων συνεστῶσα χαρακτήρων ὑποθέσεων. Αὗται μὲν οὖν εἰσιν αἱ προσηγορίαι. Δεῖ δὲ τὸν ἀκριβῶς ἐπιστέλλειν ἐθέλοντα, ἁπλῆν ἐκτιθέναι καὶ σαφῆ τὴν ὑπόθεσιν καὶ μήτε συντέμνειν μήτε μηκύνειν ὑπὲρ τὸ δέον καὶ φράσει κοσμεῖν ἀρίστῃ· οὐ μὴν κομπηραῖς λέξεσι καὶ τραχείαις. Ἀττικίζειν δὲ καὶ μετρίως· σαφηνίᾳ δὲ κοσμήτω τὰ γράμματα· καὶ χάρις λέξεων ἀνθῇς· καὶ ὅλως τοὺς ἀκριβεῖς μιμεῖσθαι τοξότας· καὶ μήτε ὑπερβάλλειν μήτε ἐλλείπειν τοῦ σκοποῦ· χρηστέον δὲ καὶ ἱστορίας, καὶ μνημονευτέον μύθων καὶ παλαιῶν συγγραμμάτων καὶ παροιμιῶν εὐστόχων."

Καὶ ἐνταῦθα μὲν λήγει τὸ σπουδαῖον τοῦτο συγγραμμάτιον, ὅ περ ἐν μὲν τῷ τῶν Παρισίων χειρογράφῳ οὐχ εὕρηται τὸ τοῦ συγγραφέως ὄνομα· ἐν δὲ τῷ τῆς τοῦ Γρηγορίου μονῆς σὺν τῷ ὀνόματι καὶ ἄλλα πολλὰ συνταγμάτια τοῦ συγγράψαντος τοῦτο εὕρηνται. Ἐπιγράφεται δὲ ἐν τῷ τοῦ Γρηγορίου ᾧδε·

"Ἑρμᾶ Χρυσάνθου τοῦ Μητροπολίτου Ῥόδου,

"Περὶ τοῦ ἐπιστολιμαίου χαρακτῆρος καὶ πόσα εἴδη διαφορᾶς αὐτῶν καὶ ὀνομάτων.

Οὗτος δὲ, Ῥόδιος ὢν τὸ γένος, ἐγεννήθη τῷ ͵ΑΣΓ$^{\varphi}$ καὶ ἐτελεύτα τῷ ͵ΑΣΛϚ$^{\varphi}$ κατά τινα ἐπιγραφὴν ἀνακαλυφθεῖσαν ἐν τῇ Μητροπόλει Ῥόδου ͵ΑΩΝΒ$^{\varphi}$. Ἔχει δὲ τὰ τῆς ἐπιγραφῆς ὡς ἑξῆς.

" ,ϛΨΜΔʹ. $\frac{\overline{\text{IC}}}{\text{NI}}\Big|\frac{\overline{\text{XC}}}{\text{KA}}$ $\overline{\text{ΙΝΔ}}$. Θʹ.

" Ἑρμᾶς χρυσάνθου ὁ Ῥόδιος,
" Ὁ Σοφίας Στόμα ἐπίκλην,
" Κλεινὸς Ποιμενάρχης τῆς νήσου,
" Ὁ Μουσῶν ἱδρυτὴς ἐκεῖνος,
" Κομήτης ὥς περ ἀναλάμψας
" Ἐν τῇ Ἡλίου πόλει ταύτῃ
" Αὐτίκα αἴφνης ἀπέσβεσεν,
" Ἐν τῷ τρίτῳ καὶ τριακοστῷ
" Τῆς ἡλικίας αὐτοῦ ἔτει
" Πένθος μέγα Ῥοδίοις λιπών."

(Ηʹ.)

Φρονοῦσι τινὲς κοῦφοι καὶ διαδίδουσιν, ὡς δύω τῶν κλεινῶν τοῦ Ἑλληνικοῦ Πανεπιστημίου καθηγητῶν! δυσφημήσαντες, ἅ περ ἐπεδείχθησαν αὐτοῖς πρότινων ἐτῶν ἀρχαιότατα Ἑλληνικὰ χειρόγραφα, "ἔσωσαν τὴν ὑπόληψιν τοῦ Ἑλληνικοῦ Πανεπιστημίου!!!" ἀγνοῦντες οἱ οἰκτιρμοῦ παντὸς ἄξιοι οὗτοι, ὅτι τοὐναντίον ἐγένετο· καὶ γὰρ οὐ μόνον ἐστέρησαν τὸ ἔθνος τῶν ἀνεκτιμήτων αὐτοῦ θησαυρῶν καὶ δωρεὰν ἐξύβρισαν, ἀλλὰ καὶ ἑαυτοὺς ἔβλαψαν ληρωδίας γράψαντες τόσας· καὶ ἀπόδειξίς ἐστιν ἡ ἐξαργύρωσις αὐτῶν· ἐξαργυρώθησαν γὰρ ἅπαντα ταῦτα καὶ ἤδη κοσμοῦσι τὰς ξένας βιβλιοθήκας. Προῆλθε δὲ ἡ κατὰ τῆς ἀληθείας τῶν λογίων τούτων καταφορὰ ἐξ ἀβουλίας τε καὶ ἀπειρίας, πρὸς δὲ καὶ ἐκ διαβολῆς καὶ φθόνου καὶ ὑποκινήσει ἀλλογλώσσων κακούργων ἐν Ἀθήναις καὶ ἀλλαχοῦ ἐμφωλευόντων. Καὶ ὅτι μὲν οὕτως ἔχει οἱ αὐτοὶ μᾶλλον τῶν ἄλλων, ἴσασι κατήγοροι, καὶ τὰ πράγματα αὐτὰ βεβαιοῦσιν ἤδη τοῦτο, μάλιστα δὲ καὶ ἐπιστολαὶ πολλῶν σοφῶν ἀνδρῶν ἐπικυροῦσι· καὶ ἰδοὺ ὀλίγαι ἐκ τῶν πολλῶν.

" Middle Hill, 25 February, 1854.

" My dear Friend,

αʹ. " I am sorry to hear you are going away from England. You are so clever and skilful in reading old Greek MSS., that I regret there should be any risk and danger of losing you.

" I wish you would let me have your *Homer* and *Palæphatus* before you go, or at all events leave them in the care of some friend in London till you come back.

" I think you will find money more useful to you than manu-

scripts, and I will give you a good price for the two. You will want money in Greece, and you can employ it to good purpose in defence of your country.

"I am your's very truly,

"TH. PHILLIPPS.

"P.S. Let me print your History of Mt. Athos?

"C. Simonides, Esq."

Ἐν τῇ ἐπιστολῇ ταύτῃ ἕκαστος καθορᾷ, ὡς τὸ τοῦ Ὁμήρου χειρόγραφον, ὥς περ καὶ τὸ τοῦ Παλαιφάτου πολύτιμα λίαν ὄντα ἐζήτη θυσίᾳ χρημάτων πολλῶν ὁ γράφων Θωμᾶς τοῦ ἀποκτῆσαι αὐτὰ, ὃς κτησάμενος τὸ πρῶτον ἐλυπήθη ὑπερβαλλόντως μὴ ἀποκτήσας καὶ τὸ δεύτερον. Τοῦτο δὲ ἐξαργυρώσας ὁ βαρὼν Χάμμερος ἐβόησεν· "ἀργύριον μικρὸν (4000 φιωρ. Αὐστρ.) μέγαν δέδωκέ μοι θησαυρόν." Ὁ δ' Ἐῤῥῖκός φησι τάδε·

"Ἐῤῥῖκος Σιμωνίδῃ εὖ πράττειν.

β'. "Ἔλαβον καὶ ἀνέγνων, ἥν περ ἀπέστειλάς μοι κατὰ σοῦ τοῦ Λυκούργου, ἢ ὥς περ οἱ πολλοί φασι τοῦ Τισσενδορφίου, συῤῥαφήν· καὶ ὁμολογῶ σοι, ὅτι, ἐκτός τινων ἐμπαθεστάτων φράσεων καταδικαζουσῶν τὸν γράφοντα, οὐδὲν εὕρηται ἐπιχείρημα μέγα τε ἢ μικρὸν ψεῦδον τὴν ἀλήθειαν· μᾶλλον δὲ ὑπὲρ σοῦ τὸ ὅλον αὐτῆς ἔοικέ μοι εἶναι, ὅτι ἀντιφατικὴ ἐν μέρει ἐστίν· ἡ δὲ ἐν αὐτῇ βιογραφία σου ἐστὶν ἀπόῤῥοια ἀνδρὸς ἀναγώγου[1]. Τὴν δὲ ἐν τῷ τέλει Παλαιογραφικὴν ἔκθεσιν τοῦ καθηγητοῦ Τισσενδορφίου λέγω εἶναι καθαρὸν κάτοπτρον τῆς ἀμαθίας τοῦ γράφοντος, μᾶλλον δὲ τῆς μοχθηρίας· καὶ τοῦτο βεβαιοῖ ὁ τελευ-

[1] Ἡ τετράκις ἤδη ἐκδοθεῖσα βιογραφία μου ἐξήχθη ἐκ τῶν κατ' ἐμοῦ γελοίων κατηγοριῶν τῶν ἔν τισι τῶν Ἑλληνικῶν ἐφημερίδων κατὰ καιροὺς δημοσιευθεισῶν ὑπό τινων μοχθηρῶν ἀνθρωπίσκων, ἅς περ εὗρε προχείρους ἐν τῷ ἡμετέρῳ κιβωτίῳ ὁ Λέψιος· παρέδωκε γὰρ τῷ Λεψίῳ τὸ κιβώτον ἅμα τοῖς περιεχομένοις πᾶσιν ὁ ἄρχων τῆς Προυσιακῆς Ἀστυνομίας θηριώδης Στίβερ, ὅτε πανουργίᾳ εἰς Βερολῖνον ἀπήχθην. Ἰδοὺ κυβέρνησις συνταγματική! Ἰδοὺ δικαιοσύνη εὐνομουμένου κράτους! Γενόμενος οὖν τότε ὁ Λέψιος κύριος, ὡς ἐπεθύμει, τοῦ ἡμετέρου κιβωτίου διέθεσε τὰ ἐν αὐτῷ ὡς ἔδοξε τῷ ἀνδρί· δι' ὃ τὰ μὲν ἀφῄρεσε, τὰ δὲ διέφθειρεν, ὀλίγιστα δὲ ἀπέδωκε τῷ κυρίῳ Στίβερ· τὰς δὲ κατ' ἐμοῦ διατριβὰς, ἅς περ ἐν καιρῷ συνήθροισα ἐπὶ σκοπῷ ἵνα ἀπαντήσω ποτὲ, λαβὼν ὁ ἔνδοξος τῆς Προυσίας οὗτος ἀνήρ· πρὸς δὲ καὶ οὐκ ὀλίγας σημειώσεις ὅλως ψευδεῖς πορισθεὶς ἀπὸ τῶν ἐν Βερολίνῳ καὶ ἀλλαχοῦ σπουδαστῶν τῆς Ῥαγκαβικῆς μοχθηρᾶς ὁμάδος ἐδημιούργησεν, ὡς ἐῤῥέθη, τὴν ἐμὴν βιογραφίαν ἢ μᾶλλον εἰπεῖν σιλλογραφίαν. Δι' ὃ δικαίως ἤδη οἱ ἐμβριθεῖς ἀναγνῶσται λέγουσι τὸν συγγραφέα αὐτῆς ἀνάγωγον ἄνδρα. Ὅτι δὲ ἐξ ἐφημερίδων δολίων ἐπορίσθη ὁ σοφὸς Λέψιος τὰ κατ' ἐμοῦ, ἀπόδειξίς ἐστιν αἱ ἐπιστραφεῖσαί μοι ἐφημερίδες, ἐν αἷς ὁρᾶται τὰ περισελίδια τούτων πεπυκασμένα σημειώσεσι Γερμανικῆς διαλέκτου.

ταῖος παράγραφος· ὁμολογεῖ γὰρ ἐν αὐτῷ, ὅτι ἀδυνατεῖ ἀποδεῖξαι, ἅ περ κατηγορεῖ[1]· ἐν ἑνὶ δὲ λόγῳ οὐδὲν ἕτερόν ἐστιν ἡ συῤῥαφὴ αὕτη εἰ μὴ φύραμα παθῶν καὶ ἀπὸ σκοποῦ δολίου γεγραμμένη. Αὕτη ἐστὶν ἡ κρίσις μου περὶ αὐτῆς καὶ τοιαύτη ἔσεται βεβαίως παντὸς ἀδιαφόρου ἀνδρός. Σὺ δὲ, λέγω σοι, χαῖρε, ὅτι τοιούτους ἔχεις κατηγόρους.

" Ἀνέγνων δὲ καὶ τὰ ἐν τῇ Πανδώρᾳ κατὰ σοῦ ἄρθρα, ὥς περ καὶ τὰ ἐν τῇ Νέᾳ Ἑλλάδι, ἀλλ' ἀηδίασα ἀναγινώσκων, ὅτι ἡ μὲν βάσις αὐτῶν ἐστι πάθος πεπαλαιομένον ἐπιπλάστῳ πατριωτισμῷ καλυπτόμενον, οὗ ὁ κορμὸς συφίσμασιν ὑψοῦται, οἱ δὲ κλάδοι ἀκρισίᾳ ἐκτείνονται, τὸ δὲ ἄνθος βωμολοχίᾳ ἀνθεῖ, ὁ δὲ καρπὸς ἀμαθίᾳ ὡριμάζει, ὃς τὴν μὲν θεωρίαν καλὸς ἔοικεν εἶναι, τὴν δὲ γεῦσιν λίαν ἐπικίνδυνος. Δι' ὃ καὶ λέγω σοι, ὅτι μετεμελήθην ὅλως ἀναγνώσας αὐτά. Ἄλλως, ὦ φίλτατε, ἐφρόνουν περὶ τῶν γραφόντων ταῦτα κλεινῶν τῆς Ἑλλάδος καθηγητῶν, εἰ αὐτοὶ οὗτοί εἰσιν ἀληθῶς οἱ γράφοντες, καὶ ἄλλως παρελπίδας ὁρῶ αὐτοὺς εἶναι· ἀνδρὸς γὰρ χαρακτὴρ ἐκ λόγων γνωρίζεταί, φησιν ὁ Μένανδρος. Σὺ δὲ γράφων μὴ γράφε ὡς οὗτοι. Ὁ δὲ τοῦ Βοσπόρου Τηλέγραφος ἔοικέ μοι ὄργανον εἶναι μαινομένων ἀνδρῶν.

" Εἶδον δὲ καὶ τὸν Ὅμηρον, καὶ τὸν Ἡσίοδον, καὶ τὸν Τυρταῖον, καὶ τὸν Ἀνακρέοντα ἐπὶ τούτοις· πρὸς δὲ καὶ τὸν Πυθαγόραν, καὶ τὸν Φωκυλίδην, ἀλλ' οὐδαμοῦ ἀπήντησά τι δόλιον· ὡς οὐδὲ τὰ τοῦ Εὐσταθίου σχόλια, ὡς διέδοσάν τινες, ἐν τῷ Ὁμήρῳ εἶδον· καὶ θαυμάζω, ἀληθῶς, πῶς οὐκ αἰσχύνονται οἱ τὰ τοιαῦτα διαδίδοντες· μᾶλλον δὲ θαυμάζω πῶς ἀνεπιστημόνως διασύρουσιν, ἅ περ οὐ γινώσκουσιν. Ἐγὼ δὲ φρονῶ ἀδιστάκτως, ὡς ταῦτα πάντα ἐστι γνήσια, γεγραμμένα ἐν τοῖς πρώτοις μετὰ Χριστὸν αἰῶσιν ἢ μικρὸν πρὸ τοῖς Χριστοῦ χρόνοις, κατὰ μίμησιν παλαιῶν ἀρχαιτύπων μεταγραφέντα, ἅ περ ὁ χρόνος ἠφάνισε· καὶ γὰρ ὥς περ σήμερον διαδίδομεν λιθογραφίᾳ τὰ μέχρις ἡμῶν κατελθόντα ἀρχαιότατα χειρόγραφα καὶ τὰς εἰς πλῆθος παλαιὰς ἐπιγραφὰς καὶ ὅ, τι ἕτερον· οὕτω καὶ ἐκεῖνοι διέσωζον πολλαπλασιάζοντες τῇ ὁμοιογραφίᾳ τὰ μᾶλλον σπάνια τῶν πατέρων αὐτῶν χειρόγραφα. Ἡ δὲ ἐπ' ὀρθὸν γραφὴ οὐδὲν ἐξελέγχει καίτοι παρὰ τοῖς Βυζαντινοῖς ἱερογράφοις ἐν χρήσει οὖσα, ὡς οὐδὲ ἡ βουστροφηδόν[2]. Ἐπειδήπερ κατὰ

[1] " Und die Aufgabe heisst nun: Wie kann die Anerkennung der Meisterschaft der Simonidischer Schrift mir selbst zur Folio der Paläographischen Kennerschaft dienen, indem ich das vermeintlich Meisterschafte für stümpferhaft erkläre? Wäre ich so glücklich gewesen diese Aufgabe zu lösen, so wäre ich um so viel Stunden reichten sie wenigstens mit freundlicher Nachsicht gelesen werden.

" Den 26 März. 1856. " C. TISCHENDORF."

[2] Ἡ ἐπ' ὀρθὸν γραφὴ, ἣ καὶ κιονιδὸν λέγεται, ἣν συνήθης παρὰ τοῖς Βυζαντινοῖς ἁγιογράφοις· ἀνεκαλύφθη γὰρ ἐν ταῖς τοιχογραφίαις τῆς τοῦ Θεοῦ Σοφίας ναοῦ

μίμησιν, πάντως γε, τῶν πρωτοτύπων ἐγένοντο· τὰ αὐτὰ δὲ λέγουσι καὶ ἄλλοι πολλοὶ τῶν μᾶλλον εἰδημόνων, ὥς τε τοὺς μὲν κτησαμένους αὐτὰ μακαρίζω, σὲ δὲ μέμφομαι, ὅτι ἀπηλλοτρίωσας θησαυροὺς, τοὺς δὲ κατηγόρους σου οἰκτείρω, ὡς τυφλοὺς κατηγόρους. Ἔῤῥωσο τοίνυν καὶ μὴ τοῦ λοιποῦ ἀπαλλοτρίου οὕτως ἀπερισκέπτως τὰ πολύτιμα τῶν πατέρων σου Ἔργα.

"Ἐν Λονδίνῳ τῇ 2 Μαρτίου 1858.

"à Monsieur, Monsieur Dr. C. Simonides, à München."

Καὶ ταῦτα μὲν γράφει ὁ σοφὸς Ἐῤῥῖκος περὶ ὧν ἐπιστημονικῶς ἐξέτασε χειρογράφων· ἐδημοσίευσε δὲ πρὸ τούτου καὶ ὁ ἐν Λιβερπούλῃ ἐκδιδόμενος χρόνος τάδε·

"CURIOUS GREEK MANUSCRIPTS.—We have seen in the possession of a Greek gentleman, just arrived in this town from the East, some very beautiful Greek and other manuscripts, of which

πολλαὶ ἐπιγραφαὶ κιονιδὸν γεγραμμέναι. Τοῦτο δὲ καθορᾶται καὶ ἐν πολλοῖς Βυζαντινοῖς νομίσμασιν. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν Ἄθῳ πολλαὶ τοιαῦται εἰσέτι σώζονται ἔν τε ταῖς τοιχογραφίαις καὶ ταῖς εἰκόσιν, ὥς περ καὶ ἡ βουστροφηδὸν γραφὴ ἐν ταῖς εἰκονικαῖς παραστάσεσι, καὶ μάλιστα ἐν ταῖς τῆς Ἀποκαλύψεως. Εὕρηνται δὲ ἀμφότεραι αἱ γραφαὶ αὗται καὶ ἐπὶ ἄλλων μνημίων παλαιῶν τε καὶ νεωτέρων καθὰ καὶ ἡ ἐν σελίδι 130 ἐπιτάφιος ἐπιγραφὴ τοῦτο καταδείκνυσι καὶ ἡ ἐν τῷ τέλει περὶ Δωσιάδου περίεργος ἐπιγραφή· σώζει δὲ καὶ ὁ κλεινὸς Δουκάγγιος οὐκ ὀλίγας Βυζαντινὰς ἐπιγραφὰς ἐπ' ὀρθὸν γεγραμμένας πρὸς δὲ καὶ ὁ Μοντφοκών. Τὰ δὲ ἀκρόστιχα τὰ καὶ ἄχρις ἡμέρας παρὰ τοῖς ποιηταῖς ἐν χρήσει ὄντα ἐπὶ μᾶλλον τοῦτο βεβαιοῖ. Ἀλλὰ καὶ ἡ καρκινικὴ στιχουργία, ἡ καὶ παρὰ τοῖς Βυζαντινοῖς συνηθεστάτη οὖσα οὐδὲν διαφέρει, οἶμαι, τῆς βουστροφηδὸν γραφῆς· ἀναγινώσκεται γὰρ αὔτη καὶ ἐξ ἀριστερῶν πρὸς τὰ δεξιὰ καὶ ἐκ δεξιῶν πρὸς τὰ ἀριστερά· καὶ ἰδοὺ εἷς ἐκ τῶν πολλῶν καρκινικῶν στίχων ἐπὶ τῆς πηγῆς τῆς τοῦ Παντοκράτορος μονῆς τῆς ἐν Ἄθῳ ἀναγινωσκόμενος. "ΑΨΠΑΦ Καρκῖνος."

"Εὖ ὦ παγὰ σῶμα νόον ἅμ' ὡς ἀγαπῶ ὗε *."

Ἡ δὲ κιονιδὸν γραφὴ καὶ ἄχρις ἡμέρας ἐν χρήσει ἐστίν· ἀνέγνων γὰρ ἐν τῇ ὁδῷ Bishopsgate (Street) Within, ἀριθ. 60, τὴν α' ἐπιγραφὴν ταύτην, ὥσπερ καὶ ἀλλαχοῦ πολλαχοῦ πολλὰς ἄλλας, καὶ μάλιστα τὴν β' τήν δε ἐν τῇ ὁδῷ HIGH HOLBORN, 31. Οὐχ ἧττον δὲ καὶ ἡ ἀρίθμησις τῶν οἰκιῶν ἐν Λονδίνῳ ἐν ταῖς κεντρικωτέραις μάλιστα ὁδοῖς βουστροφηδὸν ἀπαντᾶται· ἐκ δεξιῶν ὡς ἐπὶ τὸ πολὺ ἀρχομένης τῆς ἀριθμήσεως. Ἀλλὰ καὶ οἱ ἀριθμοῦντες πάντες γράφουσι μὲν τοὺς ἀριθμοὺς ἀπ' ἀριστερῶν πρὸς τὰ δεξιὰ, τὸ δὲ ἄθροισμα ποιοῦσιν ἐκ δεξιῶν πρὸς τὰ ἀριστερά. Οὕτω καὶ τὰ Ἀσιανὰ ἔθνη· γράφουσι μὲν ἐκ δεξιῶν πρὸς τὰ ἀριστερὰ, ἀριθμοῦσι δὲ τοὐναντίον· ὥστε ἐκ τούτων πάντων ἐξάγεται ὡς ἀμφότεραι αἱ γραφαὶ οὐκ ἐξέλειπον ὅλως. Ἐν δὲ τοῖς Βυζαντινοῖς χρόνοις ἐπὶ μᾶλλον ἦσαν ἐν χρήσει αὗται, ὡς ἀποδείξομεν ἐν τῷ περὶ Ἑλληνικῆς γραφῆς ἡμετέρῳ συγγράμματι.

β'.
T
I
M
M
S'
S

α'.
T
E
A
W
A
R
E
H
O
U
S
E

* Ὁράτωσαν οἱ ἐντυγχάνοντες καὶ τὸ τοῦ Ἀμβροσίου Ἱερομονάχου τοῦ Παμπέρεως καρκινικὸν ποίημα, ὅ περ πολλὰς ἑκατοστύας καρκινικῶν περιέχον στίχων ἐξεδόθη ἐν Βιέννῃ μετὰ σχολίων τῷ ᾳωβΨ.

the following is a brief catalogue:—*Hesiod:* Verses, written on ten very narrow strips of parchment, in ancient Greek capitals, but so small as to require a microscope. When magnified, each letter is seen to be beautifully formed. Each line is written alternately from left to right and right to left. Between each line there are certain unknown signs, supposed to be musical notes. *Homer:* The three first books of the Iliad, also on a narrow strip of parchment, beautifully written in ancient Greek characters, requiring a microscope. These verses are written the first four lines perpendicularly, and the remainder horizontally, from right to left and left to right alternately. They are presented by thirteen primates of the Island of Scio to Hipparchus, the son of Pisistratus. *Anacreon:* Beautifully written in very ancient Greek characters on four very narrow strips of parchment. They were presented by the people of the Island of Samos to the Council of Smyrna. *Aristéas:* A Treatise on the Translation of the Bible from the Hebrew, written in Alexandrian characters, giving the names of the seventy-two learned men employed in the translation, and describing how it was done. *The Emperor Theodosius the Younger:* An ordinance bearing his signature, respecting the school of the Island of Symi, written in gold characters, headed by a painting representing our Saviour, and the portrait of Theodosius, and dated A.M. 5931. *The Emperor Michal, Son of Theophilus:* An ordinance in gold character, signed by him, also respecting the school of the Island of Symi, with a painting representing the Emperor Michal and his Queen Theodhora, dated A.M. 6308. A Babylonian Chronology in Babylonian and Phœnician characters, headed by a Greek inscription. Hieroglyphics, beautifully writen on very fine parchment, with a translation in ancient Greek characters. A Treatise in very ancient Greek characters, by Democles, the son of Pedareto, of Alexandria, on hieroglyphics, explaining how to decipher them. The Canons of the Apostles, by Timothy of Cesarea, written in Antioch, A.D. 76, on very fine parchment, and beautiful Greek characters. A very beautiful Greek MS. of the Gospel of St. John. The gentleman's name is Mr. Constantine Simonides, and we believe it to be his wish to submit these manuscripts to the eminent scholars and learned societies of this country for inspection and discussion. If they prove really genuine, they certainly embrace subjects of

the highest interest. We believe Mr. Simonides has many more manuscripts besides those in the preceding catalogue. They were discovered by him in some of the old convents of Mount Athos. Mr. Simonides appears to be a great Greek scholar, but that, unfortunately, is the only language he can speak."—*The Liverpool Times*, No. 5056, Thursday, January 13, 1853.

Καὶ ταῦτα μὲν ὁ Χρόνος *φησίν· ὁ δὲ κλεινὸς Θωμᾶς δοξάζει εἶναι τό τε τοῦ Ὁμήρου χειρόγαφον καὶ τὸ τοῦ Ἡσιόδου, καὶ τὸ τοῦ Ἀνακρέοντος πρεσβύτερα τῆς τοῦ Κυρίου ἡμῶν ἐνανθρωπήσεως. Δι' ὃ καὶ τὴν δόξαν αὐτοῦ ταύτην ἐκοίνωσε διὰ τοῦ ἐν Λονδίνῳ ἐκδιδομένου περιοδικοῦ συγγράμματος* Ἀθηναίου *ἐν τῷ* 1536*ῳ* *ἀριθμῷ τῆς* δ*ης* *τοῦ μηνὸς Ἀπριλίου τοῦ παύσαντος ἔτους. Περὶ δὲ τῶν σκευωριῶν τῶν πολυαρίθμων ἐχθρῶν μου ταῦτα ὁ κλεινὸς Δινδόρφιος γράφει·*

γ'. "*Πλείστην σοι χάριν ἔχω, ὦ φίλτατε Σιμωνίδη, ἀντὶ τῆς καινῆς ἀγγελίας ἣν ἔλαβον διὰ τοῦ ἐπιστολίου σου.*

"*Ἃ περὶ σοῦ ἐντὸς ὀλίγων μηνῶν δημοσιεύσω αὐξήσει τὸ κλέος τοῦ ὀνόματος τοῦ σοῦ, ἀλλ' ἐν ταὐτῷ χρόνῳ αὐξήσει εἰκότως τὸν φθόνον καὶ τὰς ἐπιβουλὰς τῶν πολυαρίθμων ἐχθρῶν σου, ὧν τινας ἐγὼ δέδοικα μὴ μηχανάς τινας σοφίζωνται τοῦ ἀφαιρεῖν σου τοὺς θησαυροὺς οὓς ἔλιπες ἐν Αἰγύπτῳ καὶ ἀλλαχοῦ, ἐξ ἡστινοσοῦν προφάσεως, ἢ ἀδίκου κτήσεως ἢ ἄλλου τινὸς τοιούτου ψεύδους. Νομίζω τοίνυν ὅτι πολλῷ ἀσφαλέστερόν ἐστι τὸ σώζειν ταῦτα πάντα παρὰ σεαυτῷ ἐν Λειψίᾳ, οὗ κατὰ τοὺς νόμους τοὺς ἡμετέρους οὐδεὶς οὔτε ἔχει οὔτε λήψεται παρὰ τῆς Κυβερνήσεως τῆς ἡμετέρας τὸ δικαίωμα ἵνα ζητῇ τίνα καὶ πόθεν κέκτηται χειρόγραφα. Πάνυ δὲ ἁπλοῦν ἐστι τὸ μεταπέμπειν ταῦτα ἐξ Αἰγύπτου εἰς Λειψίαν, εἴτε διὰ τῆς ἐμπορικῆς ἑταιρίας τῆς ἐν Τριέστῃ* (the Austrian Lloyd) *εἴτε δι' ἄλλου τινὸς ἀξιοπίστου ἐμπόρου, οἵους πλείονας δυνήσομαι ὀνομάσαι σοι, εἰ χρείαν αὐτῶν ἕξεις. Τοῦτο πάνυ ὀλίγης δαπάνης ἐστὶ καὶ τὰ κιβώτια, εὖ κεκλεισμένα καὶ σεσημασμένα παρὰ τοῦ αὐταδέλφου σου ἐν Ἀλεξανδρείᾳ, σῶα καὶ ὁλοσχερῆ ἀφίξεται εἰς Λειψίαν, οὐδ' ἀνοιχθήσεται παρ' οὑτινοσοῦν τελώνου μεταξὺ Ἀλεξανδρείας καὶ Λειψίας, ὃ πρῶτον γενήσεται ἐν τῷ τελωνείῳ τῷ ἡμετέρῳ ἐνταῦθα, αὐτοῦ σοῦ παρόντος. Ἔρρωσο.*

"*ὁ Σὸς*

"*ἐν Λειψίᾳ.* "Γ. *Δινδόρφιος.*"

"*τὴν κζ' τοῦ Ἰαν.* 1856."

Καὶ τοσαῦτα μὲν περιέχει καὶ ἡ τοῦ Δινδορφίου αὕτη ἐπιστολή, ἧς τὸ σύνολόν ἐστιν ἀληθὲς κάτοπτρον τῶν εὐθὺς ἐπελθόντων μοι δεινῶν τῇ ῥᾳδιουργίᾳ τῶν ἐν ταῖς μεγάλαις πόλεσιν ἐμφωλευόντων ἐντίμων κακούρ-

γων καὶ τῶν τὰ ἀλλότρια ἐπιθυμούντων σοφῶν Γερμανῶν· καὶ γὰρ οὐκ ὀλίγα μοὶ ἀφαιρέθησαν πράγματα, οἷον νομίσματα σπάνια, ἐκμαγεῖα ἐπιγραφῶν ἀγνώστων, διεξοδικαὶ σημειώσεις περὶ τῶν Ἱερογλυφικῶν γραμμάτων καὶ τῆς γλώσσης τῶν Αἰγυπτίων, ὥς περ καὶ περὶ τῆς Αἰθιοπικῆς, καὶ τῆς Λυκιακῆς, καὶ Φοινικικῆς, καὶ Καρικῆς, πρὸς δὲ καὶ περὶ τῶν Πελασγικῶν γραμμάτων, καὶ τῆς τῶν Ἀρμενίων ἀρχαίας γλώσσης. Ἔτι δὲ καὶ μέρος τῆς τοῦ Οὐρανίου ἀντιγραφῆς, καὶ μάλιστα τὸ ἀπὸ τῆς ε΄ δυναστείας ἄχρι τῆς κ΄, οὗ μέρους χρείαν εἶχε μεγίστην ὁ κύριος Λέψιος· πρὸς ταῦτα δὲ καὶ ἐπιστολαὶ ἐπίσημοι ἀνδρῶν μεγάλων. Καὶ ὡς ἔοικε τούτου ἕνεκα ἡ κράτησίς μου ἐγένετο καὶ ἡ εἰς Βερολῖνον ἀκούσιος μετάβασίς μου. Εὑρέθησαν δέ τινα ἐξ αὐτῶν εἰς χεῖρας τοῦ κυρίου Λεψίου, ὥς περ δι᾽ ἐπιστολῆς[1] τὸ ἐν Βερολίνῳ δικαστήριον μοὶ ἐκοινοποίησε καὶ ἅ περ ἀπέστειλέ μοι εἰς Μόναχον ὕστερον.

[1] Ἰδοὺ ἡ ἐπιστολή·

δ΄. "Auf Ihr an den Stadtrichter H. C. Wollweber gerichtetes Schreiben vom 13 d. Ms. gereicht Ihnen zur Nachricht, dass Seitens des unterzeichneten Gerichts bis jetzt nichts, insbesondere nicht Geld für Sie abgesendet werden ist, der hiesige Professor Lepsius hat zwar am 2 d. Ms. sieben Blätter mit Zeichen bei uns eingereicht, und dabei erklärt dass ihm dieselben als Ihnen gehörig von der hiesigen Polizei-Behörde zur Prüfung eingehändigt werden seine und deste diese Blätter zurückzugeben nur vergessen habe, und Sie werden diese Blätter von uns zurückerhalten, zur Zeit aber haben wir von dieser Zusendung Abstand genommen.

"Wir haben nämlich zuvörderst das hiesige königliche Polizei Präsidium noch um Auskunft ersucht.

"1. Ob etwa noch andere Ihnen abgenommene Gegenstände bei hiesige Gelehrten sich befinden, namentlich diejenigen, welche Sie bei der Aushändigung der von der Polizei-Behörde zum Gerichtsdepositorium gegebenen Gegenstände vernicht haben, nähmlich die Blätter 73—100 der Abschrift des angefachtenen Uranias-Palimpsest-Codex und von der nach Ihrer Erklärung von Ihnen verfassten Schrift über Hieroglyphen die Blätter 77 bis 220 der Reinschrift und die Blätter 13 bis zu Ende des Concepts.

"2. Ob die Polizei-Behörde den Professor Lepsius zur Zurückzahlung der ihm ausgezahlten 2000 thal. veranlassen will.

"3. Wo der von dem Ihnen abgenommenen Gelde ausserdem nicht an uns gelangte Betrag von etwa 24 thal. verblieben ist.

"Sobald diese Auskunft eingegangen sein wird, werden wir Sie mit weiterer Verfügung versehen.

"Zu dieser Beziehung veranlassen wir Sie hierdurch, uns umgehend anzuzeigen, ob Sie in Wien oder wo sonst ferner Ihren Aufenthalt nehmen werden und bemerken dabei, dass Sie Ihre bezüglichen weiteren Antrüge an die unterzeichnete Gerichts-Behörde zu richten und zu adressiren haben.

"Berlin der 19 April, 1856,
Königliche Stadtgericht,
Abtheilung für Untersuchungssachen
Commission II. für Woruntersuchungen."

"KRÜGER.

Καὶ ταῦτα μὲν ἐν τῷ παρόντι περὶ τούτων, τὰ δὲ κατ' ἔκτασιν ἐν ἰδίῳ γράψομεν βιβλίῳ. Ἔγραφε δὲ καὶ τῷ Λυκούργῳ ὁ Διν δόρφιος τάδε·

ε'. "Hochgeehrter Herr!

"Da ich bei einem Besuch, den ich in voriger Woche Herrn Simonides machte, nicht das Vergnügen hatte Sie anzutreffen, so erlaube ich mir Ihnen, jetzt das Nachstehende schriftlich mitzutheilen.

"Die Proben das Uranius mit meiner Vorrede und anderen Bemerkungen werden nächstens aus England eintreffen. Ich werde darauf, wie wir bereits mündlich besprochen, die weiteren Schritte thun an Herrn Simonides vollkommene Genugthuung zu verschaffen, für die Verläumdungen und Angriffe, welchen er in Deutschen, Französischen und anderen Zeitungen seit mehreren Jahren ausgesetzt gewesen ist, und halte mich dazu um so mehr verpflichtet, da er mir so grosse Beweise seines Vertrauens gegeben hat, für welche ich ihm dankbar zu sein wissen werde.

"Was die Herausgabe des ganzen Werkes des Uranius betrifft, so würde ein blosser Abdruck des Textes bald durch eine andere Bearbeitung verdrängt werden können, was weder dem Intereste des Herrn Simonides noch dem das Verlegers entspricht. Ich erlaube mir daher die Bitte, dass Sie mir von Herrn Simonides eine Erklärung verschaffen gegen welches Honorar er geneigt sein würde, mir seine, mit Nennung seines Namens auf dem Tittel, zu druckende Abschrift der drei Bücher (Βασιλέων Ἀναγραφῶν) überlasten, die ich mit der nöthigen ausführlichen Einleitung, historischen Anmerkungen und Register versehen würde, wozu ich durch meine fortgesetzten Studien in diesem Fache vollkommen in Stand gesetzt bin, einmal da ich eine neue Bearbeitung der Chronographie Georgius Syncellus, die für die Aegyptische Geschichte so wichtig ist beabsichtige, an die Stelle der ersten Ausgabe, die ich 1829 drucken liess. Eine zweite Frage würde sein, um welchem Preis Herr Simonides die Originalhandschrift an eine öffentliche Bibliothek zu verkaufen gesonnen ist, was jetzt, wo das Intereste bei dem ersten Erscheinen des Werkes am lebhaftigen ist, vielleicht unter vortheilhafteren Bedingungen als später geschehen kann. Ich darf mir wohl die Bitte erlauben, dass Sie Alles Obige mit Herrn Simonides besprechen, und ihn ersuchen mir seine Antwort in griechischen Sprache mitzutheilen.

"Haben Sie selbst vielleicht Zeit gehabt die Schrift des Constan Porphijrogenitus noch weiter zu vergleichen?

"In der Hoffnung Sie bald einmal zu sehen, verbleibe ich

"Ihr ergebener,

"Vom hier den 24th Octbr. 1855. "W. Dindorf."

"An Herrn Alexander Lykurgos,
"Eisenbahnstrasse No. 1, Leipzig.

Ὅτι δὲ ἀδίκως ἔπαθον, ἅ περ ἔπαθον καὶ ἀδίκως ἐδυσφημίσθην καὶ ὁ κλεινὸς ὁμολογεῖ Ῥόσσιος ἐν τῇ ἑξῆς ἐπιστολῇ·

"Ἐν Ἁλαῖς, 14, Ἰαν. 1856.

ϛ'. "Ῥόσσιος Σιμωνίδῃ χαίρειν.

"Λαβὼν τόσα ἐπιγράμματα καινοφανῆ, καὶ περιέχοντα νέαν καὶ

σπουδαίαν ὕλην, κινοῦμαι ἀεὶ περισσότερον εἰς περιέργειαν (καίτοι ὑπ' ἀσθενείας μόλις δυνάμενος κρατεῖν τὸν κάλαμον). Μικρὸν μέρος αὐτῶν ἔπεμψα πρὸς τὴν ἐν Βερολίνῳ Ἀρχαιολογικὴν Ἐφημερίδα· ἄλλα δὲ ἀνεκοίνωσα φίλοις τισίν. Ἀλλ' οὐ δύναμαι ἐκδοῦναι αὐτὰ, πρὶν μάθω ἀκριβέστερον τὰ περὶ τὴν ἀνακάλυψιν αὐτῶν.

"Γνωρίζεις ὅτι προσεβλήθης καὶ κατηγορήθης ἀποχρώντως διὰ τῶν ἐφημερίδων. Ἐν τοσούτῳ ἐφάνη ὁ Ἑρμᾶς, καὶ ὡς μανθάνω, εὑρίσκεται καὶ ὁ Οὐράνιος ἤδη εἰς τὰς χεῖρας κριτικῶν ἐκδοτῶν. Νομίζω συμφέρον σου, πρὸς ἀναίρεσιν τῶν ἀδίκων δυσφημιῶν, ἵνα δώσῃς ἔν τινι ἐφημερίδι σύντομον διήγησιν τῶν περιοδειῶν καὶ ἀνασκαφῶν σου· εἰμὶ δὲ ἕτοιμος γράψαι αὐτὴν, ἐὰν λάβω παρὰ σοῦ διὰ ζώσης ἱκανὰ διδόμενα καὶ πληρεστέρας διηγήσεις. Ὅθεν ἐκ νέου σὲ προτρέπω ἵνα μὲ ἐπισκεφθῇς καὶ αὖθις. Ὑγίαινε.

"Ross."

Καὶ αὕτη μέν ἐστιν καὶ ἡ τοῦ καθηγητοῦ Ῥοσσίου ἐπιστολή· ὑπογράφεται δὲ οὗτος Λατινικοῖς γράμμασιν ἐν ᾧ γράφει Ἑλληνιστί· ἑπτὰ γὰρ ἔχω τοῦ ἀνδρὸς ἐπιστολὰς Ἑλληνικὰς καὶ ἐν ταῖς ἑπτὰ Λατινικοῖς γράμμασιν ὁρᾶται ὑπογεγραμμένος. Περὶ δὲ τῆς ὑπόπτου διαγωγῆς μου, ἣν ἀπέλιπον εἰς Ἀθήνας μεταβὰς εἰς Κωνσταντινούπολιν, καὶ ἣν ἐγίνωσκε καλῶς ὁ ἀλλοπρόσαλλος Λυκοῦργος, ὥς φησιν ὁ Τισσενδόρφιος, κείσθω πρὸς καταισχύνην τῆς λοιδόρου γλώσσης ἀμφοτέρων τούτων ὁ ἑξῆς πρῶτος παράγραφος μιᾶς τοῦ Λυκούργου ἐπιστολῆς.

ζ'. "Περιπόθητε φίλε καὶ ἀδελφὲ Κύριε Σιμωνίδη χαῖρε!

"Ὑπερήσθην καὶ ἐθαύμασα, λαβὼν αἴφνης τὴν ἀπὸ 26 λήξαντος ἐπιστολήν σου, μετὰ τοσαύτην περὶ ὑμῶν σιωπήν! Ὡς μετὰ τὸν θάνατον τοῦ Ἡρακλέους, πολλὰ περὶ τοῦ ἥρωος τούτου οἱ ἄνθρωποι ἐτεκμαίροντο, οὕτω καὶ περὶ Σιμωνίδου πολὺς ἐγίνετο λόγος, καὶ οὐδεὶς ἐγίνωσκεν ἀκριβῶς τὰ περὶ αὐτοῦ. Τέλος ἡ τῆς Σμύρνης ἐφημερὶς καὶ ἡ ῥηθεῖσα ἐπιστολὴ μοὶ ἐδήλωσε τὰ καθ' ὑμᾶς· καὶ χαίρω ὅτι ἐφωδιασμένος πάλιν ἐξέρχεσαι εἰς τὸ στάδιον. Εἴθε δὲ ὁ νέος ἀγὼν ἀποβῇ τοῦ παρελθόντος ἐπιτυχέστερος, πρὸς κοινὴν θυμηδίαν τῶν φίλων, καὶ πρὸς αἶσχος τῶν ἐχθρῶν! Εἶδον τὸ ἐν τῇ ἐφημερίδι ἄρθρον σου, καὶ τὰ καταχωρισμένα 13 τοῦ Μάρκου κεφάλαια· τὰ ἀνέγνωσα δὲ καὶ εἰς τὸν διδάσκαλον, ὅστις τὰ θεωρεῖ γνησιώτατα, ὡς φέροντα καθ' ὅλα τὸ ὕφος τῆς τοῦ Μάρκου γραφίδος, καὶ ἀπορεῖ πῶς καὶ ταῦτα περιέπεσον εἰς τὰς χεῖράς σου. Εἶπον εἰς τὸν Φιλήμονα, ἵνα καταχωρήσῃ μετά τινων ἐξ αὐτῶν πρὸς δεῖγμα καὶ μίαν σύντομον διατριβήν μου· πλὴν ἐστάθη ἀδύνατον. Ἀγνοῶ πῶς ἤδη ὑπάρχει τόσον καθ' ὑμῶν διατεθειμένος!

Γνωριμίαν δὲ μετ' ἄλλων ἐφημεριδογράφων, οἵτινες δύνανται νὰ ἦναι ὑπὲρ, δὲν ἔχω· πλὴν ὁπωσδήποτε θέλω φροντίσει τὸ κατὰ δύναμιν ὑπὲρ τοῦ ἀδελφοῦ Σιμωνίδου. Καὶ ἴσως ὁ συντάκτης τῆς Συνταγματικῆς (ὅστις, καθὼς ἔμαθον, ἦτο φίλος σου) δεχθῇ νὰ καταχωρίσῃ τι. Ἀλλὰ τὰ τῶν ἐφημερίδων εἶναι μικροῦ λόγου ἄξια. Τὸ πᾶν δὲ συνίσταται εἰς τὴν ποιότητα τῶν τυπωθησομένων χειρογράφων, ἅτινα ὅσον γνήσια ὑπάρχουσι, τοσοῦτον θέλουσι καταισχύνει τοὺς πολεμίους. Πολλὰ, φίλε, καὶ ἤκουσα καὶ εἶδον εἰς τὰς ἐφημερίδας περὶ σοῦ, ἀλλ' ὀλίγα ἐπίστευσα, καὶ ἐπεθύμουν νὰ γνωρίζω λεπτομερῶς τὴν καθ' ὑμῶν σκευωρίαν.

"Πρὸς τοὺς κυρίους, Ζωσιμᾶν, Καραβίνην, καὶ Βάφαν, εἶπον τοὺς ἀσπασμούς σου· καὶ τοὺς ἐνεψύχωσα κτλ. κτλ. κτλ.

"Ἐν τούτοις τελειώνω διὰ τὸ κατεπεῖγον τοῦ χρόνου, ἀναμένων εὐχαρίστως ἀπάντησίν σου. Σὲ ἀσπάζομαι λοιπὸν ἐγκαρδίως, καὶ μένω.

"Ἐν Ἀθήναις· τῇ 5 Ἰουνίου 1852.

"Ὅλος πρόθυμος, φίλος καὶ ὡς ἀδελφὸς

"Ἀλέξανδρος Λ. Λυκοῦργος."

"Τῷ ἐλλογιμωτάτῳ Κυρίῳ Κ. Σιμωνίδῃ.

"Εἰς Σμύρνην.

Ἡ γραφὴ οὖν αὕτη γνησία τοῦ Λυκούργου θυγάτηρ οὖσα ἀνατρέπει ἐκ θεμελίων τὸ κατὰ τοῦ Σιμωνίδου οἰκοδόμημα αὐτοῦ, ὅτι ψευδόμενον ἐξελέγχει. Τοῦ ἀνδρὸς τούτου σώζονται καὶ ἄλλαι ἐπιστολαὶ, αἵ περ εἰ κοινοποιηθῶσι ποτὲ στιγματίσουσιν ἀποχρόντως τὸν σοφὸν αὐτῶν συντάκτην. Καὶ γὰρ ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ (τῆς $\frac{10}{22}$ Ὀκτωβρίου τοῦ 1853ου ἔτους) παρακινεῖ τὸν Σιμωνίδην τοῦ συγγράψαι τὴν τῆς πατρίδος αὐτοῦ Σάμου ἀρχαιολογικὴν ἱστορίαν· ἀποστέλλων δὲ αὐτῷ καὶ τοπογραφικὰς πληροφορίας ἐπιφέρει καὶ τάδε· . . . . "Παράδοξος πολὺ μοὶ ἐφάνει ἡ περὶ τῆς ἐν Λονδίνῳ Ἑλληνικῆς ἀποικίας[1] εἴδησίς σου, καὶ μοὶ

[1] Ἀληθῶς μικρὸν μετὰ τὴν τοῦ Βυζαντίου ἅλωσιν καὶ τὴν τῶν Ἑλληνικῶν νήσων ἐρήμωσιν πολλοὶ τῶν Ἑλλήνων ἅμα γυναιξὶ καὶ τέκνοις καταφυγόντες εἰς Ἰταλίαν καὶ Σικελίαν καὶ Κόρσικαν καὶ Ἱσπανίαν ᾤκησαν· μέρος δὲ τούτων, καὶ μάλιστα ἀπὸ τῶν εἰς τὴν Ἱσπανίαν καταφυγόντων μετέβησαν εἰς Λονδῖνον, ὧν ἡγεῖτο ὁ Σάμου ἀρχιερεὺς Ἰωάσαφ· καὶ ἐδόθη αὐτοῖς εἰς κατοίκησιν τὸ μέρος ἐκεῖνο, ὅ περ Ἀγγλιστὶ μὲν *Greek Street* (Soho Square, W.) καλεῖται, Ἑλληνιστὶ δὲ Ἑλληνικὴ ὁδός· ἐκλήθη δὲ οὕτως ἀπὸ τῶν οἰκησάντων τὸν χῶρον τοῦτον Ἑλλήνων. Ἤγειραν δὲ οὗτοι καὶ ναὸν ἐπ' ὀνόματι τῆς τοῦ Θεοῦ μητρὸς κοιμήσεως, ὃς καὶ μέχρις ἡμέρας σώζεται σὺν τοῖς πέριξ οἰκήμασι. Φέρει δὲ οὗτος τὸν τύπον τῶν Ἑλληνικῶν μονηδρίων· ἀναγινώσκεται δὲ ἐπὶ τοῦ ὑπερθυρίου τοῦ ναοῦ καὶ ἡ ἐπιγραφὴ ἥδε·

"+ Ἔτει σωτηρίῳ αχοζ' ἀνηγέρθη ὁ ναὸς οὗτος ὑπὲρ γένους Ἑλλήνων βασιλεύοντος τοῦ γαληνοτάτου Καρόλλου τοῦ βου καὶ ἡγεμονεύοντος τοῦ Πορφυρογεννήτου

φαίνεται, ὅτι περὶ ἑνὸς τοιούτου πράγματος ἤκουσα ποτὲ καὶ τὸν πατέρα μου ἀναφέροντα· πλὴν δὲν ἐνθυμοῦμαι τὸ πρᾶγμα καλῶς. Σὺ δὲ ὠφελήθητι ἤδη ἐξ ὧν προχείρως ἔχεις μέσων, εἰς τὴν ἐπ' ἀκριβὲς ἐξιστόρησιν τῶν Σαμιακῶν, καὶ ποίησον τὸ ἔργον, ὅσον δυνηθεὶς ἐντελές, τὸ ὁποῖον καὶ αὐτὸ οὐκ ὀλίγον ὠνήσει· ἐγὼ δὲ εἰμὶ, προθυμότατος συνεργός σου." . . . . Ἐν δὲ τῇ $\frac{22}{3}$ Νοεμβρίου τοῦ 1853ου ἔτους ὁρίζει καὶ τὸ τοῦ λόγου ὕφος τάδε λέγων· . . . . "Ἡ τῶν Σαμιακῶν περιγραφὴ γενέσθω πάντοτε πρὸς τὸ ὕφος τοῦ Διδασκάλου (τοῦ Οἰκονόμου δηλονότι)· ὡς πρὸς τὴν οὐσίαν ὅμως πρόσεξον μήποτε ῥίψῃς ἅλας πολὺ, καὶ καταστῇ τὸ φαγητὸν ἄγευστον ὅλως." . . . . Καὶ ταῦτα μὲν ὁ Λυκοῦργος τῷ Σιμωνίδῃ παραγγέλλει· ὁ δὲ Σιμωνίδης λέγει, ὡς ὁ δυνάμενος τοιαῦτα ποιῆσαι ἔργα οὐ χρείαν εἶχε, βεβαίως, τῶν τοῦ Λυκούργου παιδαριωδῶν διορθώσεων· καὶ γὰρ γινώσκων, ὡς ἔοικεν, ὁ Λυκοῦργος καλῶς τὴν τοῦ Σιμωνίδου περὶ τὸ γράφειν ἱκανότητα δίδωσιν αὐτῷ ἔργα ἐπιστημονικὰ, ἅ περ αὐτὸς οὐκ ἠδύνατο ψαῦσαι ὅλως· δι' ὃ καὶ ὑποτάσσει ἑαυτὸν τῷ Σιμωνίδῃ. Ἐν ἑτέρᾳ δὲ αὖ πάλιν μέμφεται τὸν ἀοίδιμον Οἰκονόμον, ὅτι ὑποσχεθεὶς αὐτῷ ποτὲ, ἵνα συγγράψῃ τὴν τοῦ πατρὸς αὐτοῦ βιογραφίαν ἠρνήθη τοῦτο ὕστερον· ὅθεν δυσανασχετῶν κατὰ τοῦ ἀνδρὸς ὁ νεανίας ἀποκαλεῖ ὁ εὐεργετηθεὶς τὸν εὐεργετήσαντα αὐτὸν μυριάκις ἀγνώμονα!!! Ἐν ἄλλῃ δὲ παρακινῶν ἅμα τε καὶ παρακαλῶν θερμῶς τὸν Σιμωνίδην ἵνα μεταβῇ εἰς Λειψίαν πρὸς ἔκδοσιν, ὧν κατέχει ἀρχαίων χειρογράφων μνημονεύει καὶ τοῦ καθηγητοῦ Τισσενδορφίου, καὶ τῆς ὑπ' αὐτοῦ γενομένης τοῦ ἱεροῦ Εὐαγγελίου ἐκδόσεως· ἅμα δὲ καὶ τῆς ἐξ αὐτῆς προκυψάσης μεγάλης ὑλικῆς

ἄρχοντος Κυρίου Ἰακώβου· ἀρχιερατεύοντος δὲ τῆς ἡμῶν ταπεινότητος Σάμου Ἰωάσαφ Γεωργινοῦ τοῦ ἐκ τῆς νήσου Μήλου."

Ἔστι δὲ αὕτη ἐπὶ λίθου λευκοῦ ἐγκεκολαμμένη γράμμασι κεφαλαίοις. Ὑπῆρχον δὲ καὶ ἄλλαι ἐπιγραφαὶ ἐντὸς τοῦ ναοῦ ἐπὶ τοῦ κονιάματος· ἀλλ' αὗται μὲν ἐν τῇ ἐπ' ἐσχάτων γενομένῃ τοῦ ἐσωτερικοῦ ἀνασκευῇ ἠφανίσθησαν φεῦ! ἅπασαι· ἀντεγράφησαν δὲ τούτων ἓξ μόναι μικρὸν πρὸ τῆς ἀνασκευῆς, αἵ περ ἀλλαχοῦ δημοσιευθήσονται.

Ἡ δὲ Ἑλληνικὴ ἀποικία αὕτη ἐσυγχωνεύθη τοῖς κατοίκοις μετὰ χρόνον· παρεδέχθησαν δὲ οἱ ἀπόγονοι τούτων καὶ τὸ τῶν ἐπιχωρίων θρήσκευμα, διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἱερέα τοῦ ἀνατολικοῦ δόγματος· ἐκοιμήθησαν γὰρ ἅπαντες ἐν Κυρίῳ, ὅ τε Ἀρχιερεὺς δηλονότι Ἰωάσαφ καὶ οἱ ὑπ' αὐτοῦ χειροτονηθέντες ἱερεῖς. Σώζονται δὲ καὶ μέχρι τοῦ νῦν ἀπόγονοι ἐκείνων, οἵ περ φέρουσιν ὡς οἰκογενιακὸν γνώρισμα τὸ Ἐθνικὸν αὐτῶν ὄνομα. Καὶ γὰρ Mister Rhodos (Κύριος Ῥόδιος), Mister Pamphylos (Κύριος Παμφύλιος), Mister Samos (Κύριος Σάμιος), κτλ., καὶ καλοῦνται καὶ γράφονται. Τὴν δὲ Ἑλληνικὴν αὐτῶν καταγωγὴν καὶ ἴσασι καὶ ὁμολογοῦσιν· οὐ μὴν δὲ ἀλλὰ καὶ ἡ ἰδέα αὐτῶν καταγγέλλει τοῦτο· ἡ δὲ τοῦ γένους αὐτῶν διακλάδωσις ἐπὶ μᾶλλον βεβαιοῖ· γράψομεν δὲ τὰ περὶ τῆς Ἑλληνικῆς ἐν Λονδίνῳ ἀποικίας ταύτης τὰ καθ' ἕκαστα ἀλλαχοῦ.

ὠφελείας· ἓξ γὰρ καὶ τριάκοντα χιλιάδας Σαξωνικῶν ταλλήρων, σημειοῖ, ὠφεληθῆναι τοῦτον· ἐπὶ τέλους δὲ συκοφαντεῖ τὸν ἄνδρα ὡς ἀπαταιῶνα καὶ ἀποκαλεῖ ἀναιδῶς, σαρλατάνον!!! Καὶ ποῖον; αὐτὸν ἐκεῖνον, ὅν περ ὕστερον ἐκθιάζει, καὶ πρὸς ὃν καταφυγὼν ἐκινήθησαν κατὰ Σιμωνίδου ἀμφότεροι τὰς Γερμανικὰς ἐφημερίδας καὶ τῶν Ἑλληνικῶν τινὰς ψευδολογιῶν ἐμπλήσαντες. Ἐν ἑτέρᾳ δὲ πάλιν (τῇ τῆς 5 Ἀπριλ. τοῦ 1854[ου] ἔτους) μνημονεύων τῶν ἑπτὰ ὀλιγοστίχων διεφθαρμένων ὑπὸ τοῦ χρόνου ἀποσπασμάτων τοῦ Οὐρανίου, ἅ περ ἀπεστάλεισαν αὐτῷ πρὸς δοκιμασίαν μᾶλλον τῆς ἱκανότητος τοῦ ἀνδρὸς ἢ ἀναπλήρωσιν τῶν χασμάτων καὶ ἐπιστρέφων τὰ δύω τούτων ὁμολογεῖ ὁ ἀνὴρ, ὡς ἀδυνατεῖ ὅλως ἀναπληρῶσαι τὸ χάσμα τούτων, καὶ ὅτι Δηλίου δεῖται κολυμβητοῦ. . . . . "Ὅθεν, φησὶ, καὶ τολμηρὰς ἐπεχείρισα ἀναπληρώσεις· τί δὲ ἔκαμα καὶ ἐγὼ ἀγνοῶ, διότι ἐξ εἰκασίας διόρθουν καὶ πρόσεξον πολὺ περὶ τοῦ πράγματος τούτου, τοὐλάχιστον ἂν ἦσο σὺ ἐδῶ, ἠδυνάμεθα νὰ εὑρίσκωμεν κάλλιον τὰς ἀληθεῖς ἀναγνώσεις· καὶ εἴθε ἐντὸς ὀλίγου σὲ ἴδω. Ἡ Λειψία διὰ τὸν σκοπόν σου, νομίζω ὅτι εἶναι πολὺ καταλληλοτέρα, ἢ τὸ Λονδῖνον· διότι καὶ τὰ ἔξοδα ἀσυγκρίτῳ λόγῳ ὀλιγώτερα εἶναι, καὶ ἡσυχία περισσοτέρα ὑπάρχει καὶ ὡς πρὸς τὴν ἔκδοσιν τῶν διαφόρων ἀρχαίων συγγραμμάτων δύναμαι καὶ ἐγὼ πολὺ εὐκολώτερον νὰ σὲ βοηθῶ· διὰ τοῦτο μὴ βραδύνῃς τὴν ἔλευσίν σου" . . . κτλ. Ἐκ τῶν ὀλίγων τούτων Λυκουργείων ῥημάτων καθορᾶται τὸ ὅλον τῆς τοῦ ἀνδρὸς ψευδολογίας. Εἰ δέ τις καὶ τὰς τολμηρὰς, ἢ νὰ μὴ εἴπω μωρὰς, προσθαφαιρέσεις ἅμα δὲ καὶ ἱστορικὰς τοῦ συκοφάντου γνώσεις εἰδέναι βούλεται ἰδοὺ δίδωμι εἰς φῶς καὶ τούτων μέρος τῆς τῶν ἀναγνωστῶν περιεργείας χάριν, μᾶλλον δὲ τῆς ἀληθείας αὐτῆς.

Ἀπόσπασμα Ε[ον] . . . . "Τοῦ[του δ]ὲ Στασιάνης ὁ Ὀξάθρο[υ, ἀδελ]φοῦ Δαρείου, τοῦ μετὰ Ἄρσην Περ[σῶν βασιλ]εύσαντος, δόλῳ περιγε[νόμενος τῆς] Σατραπείας ἐκράτησε· καὶ Αἰγύπτου ὀγδοηκοστὸς καὶ πεντακο[σιοστὸς ἐδυ]νάστευσεν ἐνιαυτοὺς δυωκαίδεκα. Συστρατευσάμενος δὲ [Δ]αρείῳ μετὰ δεκακισμυρίων Αἰγυπ[τίων ἐ]πὶ Ἀλέξανδρον τὸν Φιλίππου, ἐν Ἰσσῷ τῆς Κιλι[κίας] τρωθεὶς, ἀπέθανεν· ἐν ᾗ καὶ Δαρεῖος τὴν Περσῶν βασιλείαν ἀποκυβεύσατο· [Συνα]ποθνήσκει δὲ τῷ Στα[σιάνῃ] καὶ Σαβάκης ὁ παῖς αὐτοῦ ὁ πρωτότοκος, ὁ Λυβίης σατράπης, καὶ τῆς Αἰγυπτίας ἵππου ἡγεμών. Στασιάνου δὲ [τελευτήσαν]τος [1], Μαζάκης ὁ [τού]του υἱὸς, ὁ δεύτε[ρος, ὁ] τὰ τῶν Αἰγυπτίων

[1] Τὴν λέξιν ταύτην οὐκ οἶδα πῶς μαντεύσας ὁ Λυκοῦργος (καὶ γὰρ ἐγὼ ἀνέγνωσα αὐτὴν τὸ πρότερον ἀποθανόντος) ἐκολάκευσα, ὑπερβαλλόντως, τὴν τοῦ ἀνδρὸς φιλαυτίαν εἰπὼν αὐτῷ, ὅτι αἱ διορθώσεις σου ἐπέτυχον ἐν πολλοῖς, ἐν ᾧ ἀφ' ἑτέρου ἔγραφον αὐτῷ πρόσεχε! πρόσεχε! ὁ δὲ, πιστεύσας, ἔλαβεν ἐπιχείρημα τοῦτο.

διοικῶν ἀντὶ [τοῦ πα]τρὸς, Δαρείου ἐπιτρέψαντος, τὴν Σατραπείαν παραλαμ[βάνει καὶ Αἰγυ]πτίων πρῶ[τος καὶ ὀ]γδοηκοστὸς καὶ πεντα-[κοσι]οστὸς ἄρχει, ἐπὶ ἐνιαυ[τοὺς δ]ύω μόγις, ἐφ' οὗ μάλιστα Ἀμύντας ὁ Ἀντιόχου ὁ Περδίκκου ἀδελφιδοῦς ἐν Ἰσσῷ ὑπὲρ Δαρείου πολεμῶν πρὸς Ἀλέξανδρον τὴν ἀριστερὰν ἀπέβαλε χεῖρα· εἶτ' ἐπεὶ διεσώθη τῆς μαχῆς μετὰ ἑξακισχιλίων μισθοφόρων Ἑλλήνων πολὺ τῆς Φοινίκης ἐπιδραμὼν, καὶ πλεύσας ἐπὶ Πηλούσιον, [κατ]ὰ κράτος εἷλε, καὶ Βούβαστιν δὲ ὕστερον καὶ Λεοντόπολιν, καὶ Ἡλιούπολιν ῥαδίως χειρωσάμενος Μέμφιν ἐπολιόρκει· ἐνέδρα δὲ χειρωθεὶς, αὐτὸς μὲν κατακρεουργεῖται ὑπὸ τῶν περὶ τὸν Μαζάκην· τὸ δὲ πλεῖστον τῆς στρατειᾶς αὐτοῦ κατεκόπη, τῶν ἐγχωρίων κυκλωσάντων αὐτήν." . . . . κτλ. (Οὐράνιος Βίβλος Γ$\overline{\eta}$). Τὸ χωρίον τοῦτο οὕτως ἐν τῷ πρωτοτύπῳ ἔχει· ὁ δὲ ἐμβριθὴς κριτικὸς Σάμιος ἀναγνοὺς τοῦτο ἐπιφέρει τήνδε τὴν γνώμην. "Τὸ διαγραφὲν (τὸ ἀραιωθὲν ἤδη δηλονότι) ὅλως ἀκατανόητον· ἐγὼ δὲ ἐξ εἰκασίας οὕτως αὐτὸ διορθῶ. Καὶ οὗτος δὲ ὑπὲρ Δαρείου πολεμῶν πρὸς Ἀλέξανδρον τὴν ἀριστερὰν ἀπέβαλε χεῖρα ὡς διεσώθη τῆς μάχης. Ἀμύντας δὲ Ἀντιόχου ὁ Περδίκκου, ἀδελφιδοῦς μετὰ ἑξακισχιλίων Ἑλλήνων πολΛΗΝ τῆς φοινίκης ΧΩΡΑΝ ἐπιδραμὼν, πλεύσας ἐπὶ Πηλούσιον ἈΝακράτος εἷλε καὶ βούβαστιν δὲ ὕστερον κτλ. Ἄλλως δὲ τὸ ἱστορικὸν τοῦτο φαίνεται πόῤῥω ἀπέχον (οὐδὲ ὅλως μνημονευόμενον) ἀπὸ τῆς κατὰ Ἀλέξανδρον ἱστορίας καὶ πρόσεξον." Ἰδοὺ τοιαῦται εἰσὶν αἱ τοῦ Λυκούργου γελοῖαι διορθώσεις ἵνα μὴ εἴπω σκαλαθύρματα, καὶ εἶτα τολμᾷ ἵνα διδάσκῃ τοὺς δυναμένους αὐτὸν διδάξαι· ἀλλ', ὦ πολυΐστωρ Λυκοῦργε, σὺ μὲν ἀγνοῶν ὅλως (ὡς καλῶς ἐγὼ τοῦτο οἶσθα, καὶ σὺ αὐτὸς ἤδη ἄκων ἐν τῇ πολυμαθείᾳ σου ἐπιβεβαιοῖς) τὴν ἀρχαίαν ἱστορίαν, λέγεις, ὅτι τὸ ἱστορικὸν τοῦτο φαίνεται πόῤῥω ἀπέχον τῆς κατὰ Ἀλέξανδρον ἱστορίας καὶ οὐδὲ ὅλως μνημονευόμενον· δι' ὃ ἀκατανόητον ὂν (κατὰ Σὲ) τὸ χωρίον τοῦτο διαγράφεις αὐτὸ καὶ γελοῖαν προτείνεις διόρθωσιν ὅπως συμβιβάσῃς ἥν περ ἀγνοεῖς ἱστορίαν. Ἐγὼ δὲ λέγω σοι ταπεινῇ τῇ φωνῇ, ὡς τὸ χωρίον τοῦτο ἔχει καλῶς καὶ λίαν καλῶς, καθὸ παλαιᾶς ἱστορίας ἐχό-

καθ' ἡμῶν καὶ τὰ ἐξ ἁμάξης ἔγραψεν, ἐν ᾧ εἰ ἐγίνωσκεν τὸ μέγα αὐτοῦ ἁμάρτημα μυρίας ἂν ἐζήτῃ συγγνώμας. Ἔδωκα δὲ αὐτῷ καὶ τὴν ἄδειαν, ἵνα ἀδιστάκτως γράφῃ ἐπὶ τοῦ ἀπογράφου τῶν ἀποσπασμάτων ταύτην ἢ ἐκείνην τὴν ἐξ εἰκασίας διόρθωσιν· ἀλλ' ἡ ἄδεια αὕτη ἕτερον ὑπέκριπτε σκοπόν· ἐζήτουν δηλονότι, ὅπως πλείω ἀποκτήσω, διὰ τοῦ μέσου τούτου, τῆς ἀνικαιότητος αὐτοῦ μαρτύρια, ὥς περ καὶ ἐπέτυχον.

μενον, καὶ δαίομαί σου ἄκουσον Ἀῤῥιανοῦ λέγοντος περὶ Ἀμύντου τάδε· οἶσθα γὰρ ὅτι τὰ περὶ Ἀμύντου ἀγνοεῖς.

" Ἐν τούτῳ δὲ ὡς τὰ ὑπὲρ τῆς ἱππομαχίας ἐξηγγέλθη, οἵ τε τὴν Ἔφεσον φρουροῦντες μισθοφόροι ᾤχοντο φεύγοντες, δύο τριήρεις τῶν Ἐφεσίων λαβόντες, καὶ ξὺν αὐτοῖς Ἀμύντας ὁ Ἀντιόχου, ὃς ἔφυγεν ἐκ Μακεδονίας Ἀλέξανδρον, παθὼν μὲν οὐδὲν πρὸς Ἀλεξάνδρου, δυσνοίᾳ δὲ τῇ πρὸς Ἀλέξανδρον καὶ αὐτὸς ἀπαξιώσας τι παθεῖν πρὸς αὐτοῦ ἄχαρι." . . · (ὅρα βιβλ. α΄, κεφ. ιζ΄. § 9.)

. . . " Ἀμύντας δὲ ὁ Ἀντιόχου καὶ Θυμώνδας ὁ Μέντορος καὶ Ἀριστομήδης ὁ Φεραῖος καὶ Βιάνωρ ὁ Ἀκαρνὰν, ξύμπαντες οὗτοι αὐτόμολοι, μετὰ τῶν ἀμφ' αὐτοὺς στρατιωτῶν ὡς ὀκτακισχιλίων εὐθὺς ὡς τεταγμένοι ἦσαν κατὰ τὰ ὄρη φεύγοντες ἀφίκοντο εἰς Τρίπολιν τῆς Φοινίκης· καὶ ἐνταῦθα καταλαβόντες τὰς ναῦς νενεωλκημένας ἐφ' ὧν πρόσθεν ἐκ Λέσβου διακεκοσμημένοι ἦσαν, τούτων ὅσαι μὲν ἱκαναί σφισιν ἐς τὴν κομιδὴν ἐδόκουν, ταύτας καθελκύσαντες, τὰς δὲ ἄλλας αὐτοῦ ἐν τοῖς νεωρίοις κατακαύσαντες, ὡς μὴ παρασχεῖν ταχεῖαν σφῶν τὴν δίωξιν, ἐπὶ Κύπρον ἔφευγον καὶ ἐκεῖθεν εἰς Αἴγυπτον, ἵνα περ ὀλίγον ὕστερον πολυπραγμονῶν τι Ἀμύντας ἀποθνήσκει ὑπὸ τῶν ἐγχωρίων." . . . (ὅρα βιβλ. β΄. κεφ. ιγ΄. § 1—4., καὶ κεφ. ϛ΄. § 3., καὶ βιβλ. α΄. κεφ. κε΄ § 3., καὶ κεφ. κ΄. § 10.) Καὶ ταῦτα μὲν Ἀῤῥιανὸς ὁ Βιθυνὸς περὶ Ἀμύντου τοῦ αὐτομόλου ἐν τῇ συγγραφῇ τῆς τοῦ Ἀλεξάνδρου ἀναβάσεώς φησι. Γράφει δὲ καὶ Διόδωρος ὁ Σικελιώτης ἐν τῇ ἑπτακαιδεκάτῃ τῆς ἱστορικῆς αὐτοῦ βιβλιοθήκης τάδε·

" . . . Ἀμύντας δὲ ὁ φυγὼν ἐκ Μακεδονίας καὶ πρὸς Δαρεῖον ἀναβὰς συνηγωνίσατο μὲν τοῖς Πέρσαις ἐν τῇ Κιλικίᾳ, διασωθεὶς δὲ ἐκ τῆς ἐν Ἰσσῷ παρατάξεως μετὰ τετρακισχιλίων μισθοφόρων, καὶ πρὸ τῆς Ἀλεξάνδρου παρουσίας διανύσας εἰς Τρίπολιν τῆς Φοινίκης, ἐπέλεξεν ἐκ τοῦ παντὸς στόλου τὰς ἀρκούσας ναῦς εἰς τὸν πλοῦν τοῖς ἰδίοις στρατιώταις, τὰς δ' ἄλλας ἐνέπρησε· διαπλεύσας δ' εἰς τὴν Κύπρον, καὶ προσλαβόμενος στρατιώτας καὶ ναῦς, διέπλευσεν εἰς τὸ Πηλούσιον· τῆς δὲ πόλεως ἐγκρατὴς γενόμενος ἀπέφαινεν ἑαυτὸν ὑπὸ Δαρείου τοῦ βασιλέως ἀπεστάλθαι στρατηγὸν διὰ τὸ τὸν ἡγούμενον τῆς Αἰγύπτου σατράπην συναγωνιζόμενον ἐν Ἰσσῷ τῆς Κιλικίας πεπτωκέναι· ἀναπλεύσας δ' εἰς Μέμφιν, τὸ μὲν πρῶτον πρὸ τῆς πόλεως παραταξάμενος τοῖς ἐγχωρίοις ἐνίκησε· μετὰ δὲ ταῦτα πρὸς ἁρπαγὴν τῶν στρατιωτῶν τραπέντων ἐπεξελθόντες ἐκ τῆς πόλεως ἐπέθεντο τοῖς ἀτάκτως διαρπάζουσι τὰς ἐπὶ τῆς χώρας κτήσεις, καὶ τόν τε Ἀμύνταν ἀπέκτειναν, καὶ τοὺς μετ' αὐτοῦ πάντας ἄρδην ἀνεῖλον. Ἀμύντας μὲν οὖν μεγάλαις ἐπιβολαῖς ἐγχειρήσας, καὶ παρ' ἐλπίδα σφαλεὶς, τοιοῦτον ἔσχε τοῦ βίου τὸ τέλος." . . .

(κεφ. 48). Καὶ τοσαῦτα μὲν καὶ τὰ τοῦ Διοδώρου. Ἐῶ δὲ Καλλισθένην καὶ ἄλλους Ἀῤῥιανῷ τε καὶ Διοδώρῳ συμφάσκοντας καὶ τὰ τοῦ Οὐρανίου κυροῦντας, ὅτι καὶ ταῦτα ἱκανοῦσι διδάξαι τὸν ἀκριτόμυθον Λυκοῦργον· καὶ καταδεῖξαι τὰς ἱστορικὰς τοῦ ἀνδρὸς γνώσεις· τὰς δὲ γεωγραφικὰς καὶ φιλολογικὰς αὐτοῦ γνώσεις ἐν ἄλλοις καταδείξομεν.

Περὶ δὲ τῶν λέξεων ΣΥΝΩΨΙΣΑ καὶ ΚΑΤ' ΕΜΗΝ ΙΔΕΑΝ ἐφ' ὧν μάλιστα καὶ τὴν κατηγορίαν ἐπαγίωσαν οἱ υἱοὶ πάσης κακίας τί εἴπω, καὶ τί μὴ εἴπω; ὑπάρχει ἄρα τὰ λεξίδια ταῦτα ἐν τῷ κειμένῳ; οὐδαμῶς· καὶ γὰρ ἐν τῷ πρωτοτύπῳ ἔχει τὸ χωρίον τοῦτο ὧδε·—"ΤΑΣ ΜΕΝ.........ΩΝΑΝΑΓΡΑΦΑΣΕ.ΤΡ.Σ.ΣΥΝ....Ψ.ΒΙΒΛΟ.Σ ΤΑΣΔΕΤΩΝΑΡΧΙΕΡΕΩΝΚΑΙΤΑΤΟΥΤΩΝΝΟΜΙΜΑΕΝΠΕΝΤΕΤΑΣ ΔΕΑΙΓΥΠΤΙΩΝΟΙΚΗΣΕΙΣΤΑΣΚΑΙΜΑΛΛΟΝ.......Ν.ΣΕΜ.Ι Δ..Ε.ΣΠΟΥ........Ξ.Ν..ΤΑΔΕΤΑΑΙΘΙΟΠΩΝΚΑΙΑΡΑΒΩΝ ΙΣΤΟΡΟΥΜΕΝΑ" κτλ. Τοῦτο δὲ ὡς ἔχει μεταγράψας, διέπεμψα τῷ Λυκούργῳ· ὁ δὲ ἀνεπλήρωσε τοῦτο ὡς ἑξῆς·

"Τὰς μὲν ΛΟΙΠΑΣ Τῶν ἀναγραφΩΝ εΙΣ τρΕΙς συνΩψΙΣΑ βίβλοΥς, τὰς τῶν ἀρχιερέων δὲ, καὶ τὰ τούτων νόμιμα εΙΣ πέντε, τὰς δὲ ΤΩΝ Αἰγυπτίων οἰκήσεις, τὰς καὶ μᾶλλον ΚΑΤ' ἐμΗΝ ἰδΕΑΝ σπουΔΑΙΑΣ ΕΙΣ Εξ ΕΙΣ ΕΠτὰ δὲ τὰ Αἰθιόπων καὶ Ἀράβων ἱστορούμενα" κτλ. Τοῦτο οὖν ἐγὼ οὕτω δεξάμενος καὶ ἰδὼν, ὡς οὐκ ἔῤῥωται καθ' ὅλα ἐθεώρησα καὶ αὖθις καὶ πολλάκις τὸ πρωτότυπον διὰ τῆς διόπτρας καὶ ἀνεκάλυψα μετὰ κόπου πολλοῦ τὴν ἀληθῆ τοῦ διεφθαρμένου τούτου χωρίου ἀνάγνωσιν, καὶ τὸ χάσμα ἀνεπλήρωσα ὡς ὧδε·

"...Τὰς μὲν [τῶν βασιλέ]ων ἀναγραφὰς ἐ[ν] τρ[ι]σ[ὶ] συν[έγρα]ψ[α] βίβλο[ι]ς· τὰς δὲ τῶν ἀρχιερέων, καὶ τὰ τούτων νόμιμα, ἐν πέντε, τὰς δὲ Αἰγυπτίων οἰκήσεις, τὰς καὶ μᾶλλον [τῶν ἄλλω]ν, [ὡ]ς ἐμ[ο]ὶ δ[οκ]ε[ῖ], σπου[δαίας ἐν ἕ]ξ· [ἐ]ν [ἑπ]τὰ δὲ τὰ Αἰθιόπων καὶ Ἀράβων ἱστορούμενα, ἅ περ Διοσκουρίδῃ καὶ ταῦτα πρὸς ταῖς ἄλλαις [ταῖς τῶν Λι]βύων καὶ Καρῶν συγγρα[φαῖς ἐπ]έδωκα κομίσαι σοι" κτλ. Ἡ δὲ ἀνάγνωσις αὕτη ἐβεβαιώθη, ὅτι οὕτως ἔχει, τῇ χρήσει τῶν χυμικῶν μέσων· ἀνεφάνη γὰρ μέρος τῶν ἀφανῶν γραμμάτων· πρὸς δὲ καὶ ὁ ἀριθμὸς τῶν ἀφανισθέντων γραμμάτων, ἀνθ' ὧν ἀποσιωπητικὰ ἐγράφησαν συμφωνεῖ ἐντελῶς τῇ προσθέσει τῶν ἀναπληρωτικῶν γραμμάτων, ἐν ᾧ ἡ τοῦ Λυκούργου οὐδὲ πρὸς τοῦτο συμφωνεῖ, ὅτι τολμηρὰς ἐπεχείρησε διορθώσεις ὡς ὁ αὐτὸς ὁμολογεῖ Λυκοῦργος, καὶ ἃς οὐδαμῶς παρεδέχθην καίτοι κολακεύσας τὴν τοῦ ἀνδρὸς φιλαυτίαν. Εἰ δὲ καί τις τὰς φρένας πεπωρωμένος ὢν λέξοι ἂν, ὅτι ἐξήλειψα ἐγὼ τὰς λέξεις, καὶ ἑτέρας τούτων ἀντικατέστησα, ἀποκρινόμεθα αὐτῷ ὡς, ἐξ ἀληθοῦς παλιμψήστου, οἵου μάλιστα τοῦ Οὐρανίου οὐδὲ γραμμὴν γράμματος ἐξαλεῖψαί τις δυνηθή-

σεται πώποτε εἰς τὸν αἰῶνα· ἀλλ' οὐδ' ἐπιγράψαι τι εὔκολον· ἀμφότερα γὰρ κατάδηλα γίγνονται παντὶ ἀνθρώπῳ ὀφθαλμοὺς ἔχοντι.

Τίς οὐ μὴ οἰκτείρει ἤδη τοὺς τυφλοὺς θυασῶτας τοῦ ἀνδρὸς τούτου οἵτινες ἀπερισκέπτως πιστεύσαντες ἀνδρὶ διαβόλῳ ὡπλίσθησαν κατ' ἀνδρὸς ὅλως ἀθώου καὶ ὑπὲρ τῆς ἐπιστήμης αὐταπαρνήτως ἀγωνιζομένου; Ἰδέτωσαν κᾂν ἤδη οἵ τε Τισσενδόρφιοι καὶ Λέψιοι καὶ οἱ κακόβουλοι ὀπαδοὶ αὐτῶν τὸν ὑσπέλεθον ἐν ᾧ ἐβαπτίσθησαν καὶ ἑαυτοὺς καιρίως ἔβλαψαν.

Ταῦτα μὲν οὖν καὶ ἕτερ' ἄττα τούτων ἀπαντᾶται ἐν ταῖς τοῦ Λυκούργου ἐπιστολαῖς, ἐν αἷς οὐ μόνον τὸ ἀκριτόμυθον τοῦ ἀνδρὸς καταφαίνεται, ἀλλὰ καὶ ὁ ἀλλοπρόσαλλος τούτου χαρακτὴρ, καὶ ἡ κουφότης· ἔστι δὲ οὗτος καὶ φιλοκατήγορος λίαν, ἅμα δὲ καὶ φιλέκδικος ὑπερβαλλόντως, καὶ ἐπίμονος ἄχρι θανάτου, ὅν περ ἰδών ποτε εἷς τῶν σοφῶν περιηγητῶν καὶ ἐν Λειψίᾳ καὶ Βερολίνῳ ἔγραψεν ἡμῖν ἐσχάτως ἐκ Παρισίων τάδε·

ζ'...." Εἶδον δὲ καὶ τὸν Λυκοῦργον, καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσας ἐθαύμασα τὸ τέρας καὶ ἐβόησα· ἀληθῶς Σάμιος ἀνήρ ἐστιν οὗτος καὶ υἱὸς προδότου γνήσιος. Τὸ ἀτάσθαλον γὰρ τῶν τε λόγων αὐτοῦ καὶ σκέψεων, καὶ τὸ βάναυσον τοῦ ἤθους, καὶ τὸ τῶν κινημάτων ἄτακτον ἐν ὥρᾳ μάλιστα διηγήσεως, καὶ ἡ κυριεύουσα αὐτοῦ κατακράτος ῥυπαρότης χαρακτηρίζει ἄνθρωπον ἀνάγωγον ὅλως. Ἡ δὲ ἰδέα αὐτοῦ ἐστιν ἀληθὲς τῆς θηριώδους αὐτοῦ ψυχῆς κάτοπτρον· καὶ κατὰ τὸν εἰπόντα· οἵα ἡ μορφὴ τοιάδε καὶ ἡ ψυχή. Τοιοῦτος δὲ ὢν οὗτος φύσει θαυμάζω, ἀληθῶς, πῶς ἠδυνήθη σαγηνεῦσαι τὴν εὐπιστίαν τοσούτων σοφῶν ἀνδρῶν; ἀλλ' ὡς βεβαιοῦμαι πάντες ἤδη μετεμελήθησαν τοιούτου βαναύσου ἀνδρὸς ἀπερισκέπτως ἀκούσαντες, καὶ φεύγουσιν ἤδη τοῦτον, ὥς περ πάλαι ποτὲ τὸν Μέλιτον οἱ πρόγονοί σου. Ἐβεβαιώθησαν γὰρ ἀποχρώντως ἅπαντες νυνὶ, ὡς ἡ κατὰ σοῦ τηλικαύτη παράλογος καταφορὰ ἦν παθητικὴ καὶ ἕτερον ὑποθάλπουσα σκοπόν. Οἱ δὲ κυρίως τῆς πολυθρυλλήτου ταύτης ὑποθέσεως ἐνεργοὶ ἐμφωλεύουσιν ἐν Ἀθήναις· οὕτω γὰρ ἤκουσα Δινδορφίου λέγοντος ἐν τῷ τῆς Λειψίας Μουσείῳ. Κυριεύουσι δὲ τὸ τέρας τοῦτο καὶ ἄλλαι κτηνώδεις, ὡς ἤκουσα, ἀρεταὶ, ἅς περ εὐσχημοσύνης χάριν ἀποσιωπῶ. Ἄδεται δὲ, ὅτι ἱερατεύσει· δι' ὃ καὶ θεολογικῶν ἀκροᾶται μαθημάτων· ἀλλ' οὐαὶ τῇ ποίμνῃ ἐκείνῃ ἐν ᾗ τὸ ὀρθὸν τοῦτο εἰσέλθῃ θηρίον."—Ἔρρωσο.

ἐν Παρισίοις τῇ 8 Αὐγούστου 1858. ὁ σὸς Δ. Ε.

Καὶ ταῦτα μὲν οὕτως ἐχέτω. Ἔγραψε δὲ καὶ ὁ καθηγητὴς τῆς ἐν Παρισίοις Γαλλικῆς Ἀκαδημίας Κύριος Saint-Beuve πρός τινας τῶν αὐτοῦ φίλων τὰς συστατικὰς τάσδε·

"Ce 18 Obre. 1854.

η'. "Cher Monsieur,

"Le porteur de ce billet est un Grec de grand mérite. Monr. Simonides, qui fait des recherches depuis quelque temps aux manuscrits de la bibliothèque Impériale, mais il parle peu le français, et a besoin qu'on mette une obligeance particulière. Soyez assez bon, vous qui êtes l'obligeance même, pour le mettre en rapport avec celui de vos collaborateurs qui peut lui être utile pour les recherches auxquelles il se livre. J'aimerais bien que ce fut Monr. Moureau, qui est plein de bienveillance pour moi, et qui plus tard sera, j'en crois, très charmé de mieux connaître Monr. Simonides, lorsque je lui aurai parlé de tous ses mérites—ce que je crois faire un de ces jours en vous serrant la main.

"Agréez donc, Monsieur, l'assurance de mes sentimens reconnaissants et devoués,

"St. Beuve."

"Monr. Claude
Aux Manuscrits Bibliothéque Impériale."

"Ce 18 Obre. 1854.

θ'. "Mon cher Monsieur,

"Permettez-moi de vous demander toute vôtre bienveillance pour le porteur de ce billet. Grec d'extraction, plein de mérite, et de qui j'espère on voudra trouver pour ses travaux une investigation. Il ne parle pas bien le français, et a besoin pour ses recherches à la bibliothèque Impériale qu'on veuille bien y mettre toutes complaisances. Il s'appelle d'un nom d'hauteur, et de bon augure,—Simonides. Vous, qui savez si bien le Grec, vous êtes naturellement celui à qui j'aime à l'adresser.

"Agréez, cher Monsieur, l'expression de mes sentimens devoués,

"St. Beuve."

"Monr. Pilor,
Conservateur à la Bibliothéque Impériale."

Καὶ τοσαῦτα ὁ καθηγητὴς Saint-Beuve *γράφει· ἡ δὲ μητρόθεν τοῦ Σιμωνίδου πατρὶς τάδε·*

ι'. "*Ἡ Συμαίων κοινότης Σιμωνίδῃ πλεῖστα χαίρειν.*

"*Ποία λιθίνη καρδία δὲν ἤθελεν αἰσθανθῇ τὴν συγκίνησιν τῶν πλέον ἡδονικῶν αἰσθημάτων, διὰ τὴν πρὸ τοσούτων αἰώνων ἀνακάλυψιν τῆς ἀρχαίας δόξης καὶ λαμπρότητος τῆς νῦν ἀθλίας πατρίδος μας, καὶ τὸν βαθμὸν τῆς εὐκλείας καὶ πλούτου, καὶ τὰ σπάνια καὶ ὑψηλὰ προνόμια*

τοῦ Αὐτοκράτορος Θεοδοσίου, χορηγηθέντα εἰς τὴν νῆσον μας διὰ χρυσοβούλλου διά τε τὴν παιδείαν καὶ ἀρετὴν τῶν ἀξιομακαρίστων προγόνων μας, καταργηθέντα δὲ παρὰ τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ, καὶ ἐπικυρωθέντα μετὰ προσθήκης παρὰ τοῦ Αὐτοκράτορος Μιχαὴλ, διὰ τὰ ἐκ τῆς καταργήσεως τούτων συμβάντα;

"Ἢ ποία εὐαίσθητος ψυχὴ δὲν ἤθελε χύσει κρουνοὺς δακρύων, καὶ ἐρυθριάσει, συγκρίνουσα τὴν τότε μὲ τὴν παροῦσαν αὐτῆς κατάστασιν, προελθοῦσαν ἐκ τῆς πολυχρονίου στερήσεως τῆς παιδείας, καὶ τῆς ἀχωρίστου αὐτῇ εὐδαιμονίας, κρίμασιν οἷς οἶδε Κύριος, οὐ μόνον εἰς τὴν πατρίδα μας καὶ ἄλλας ὁμοτύχους της· ἀλλὰ μάλιστα καὶ εἰς αὐτὴν τὴν ἕδραν τῶν Μουσῶν, τὰς λαμπροτάτας Ἀθήνας;

"Ἤδη δὲ κατὰ θείαν βούλησιν ἡ μικρὰ αὕτη, ἡ νῦν ἀσήμαντος Σύμη, ἀκούουσα τὰς ἀναφανείσας ἐκ τοῦ χάους τῆς πολυχρονιότητος ἐνδείξεις τῆς τε σοφίας καὶ ἀρετῆς τῶν πρὸ τοσούτων αἰώνων τέκνων της, ἤδη, λέγω, ἀντὶ νὰ ἐναβρύνηται σεμνυνομένη ἐπὶ τούτοις, συστέλλεται κατὰ τὸν εἰπόντα· 'οὐκ ἔχομεν πατρίδας λέγειν καὶ προγόνους περιφανεῖς, ὁ γὰρ ἀληθὴς λόγος ἴδια ἑκάστου ἀπαιτεῖ τὰ ἐγκώμια.' Ἀλλ' ὅμως, ἐὰν σὺν Ἀθηνᾷ καὶ χεῖρα κινῶμεν, ἐλπίζομεν εἰς τὸν χορηγὸν τῆς σοφίας, ὅτι θέλει ἐμπνεύσει καὶ αὖθις εἰς τὴν πατρίδα μας, τὸν μακάριον ἐκεῖνον πρὸς τὸν ζῆλον τῆς παιδείας ἐνθουσιασμόν· ὅπως βαδίσαντες τὰ προγονικὰ ἴχνη, φθάσωμεν ἐν καιρῷ νὰ ἀναφανῶμεν γνήσιοι ἀπόγονοι τῶν διαπρεψάντων ποτὲ προγόνων μας, καὶ ἀπολαύσωμεν τὰ ἐκ τῆς σοφίας πηγάζοντα ἀγαθὰ, καὶ τέλος τὴν σκοπουμένην ἀληθῆ εὐδαιμονίαν, δι' ἣν καὶ μόνην ἐπλάσθημεν.

"Καὶ ἔχομεν αἰτίαν νὰ ὑψώσωμεν ἕως εἰς τὰ ὕψη τῶν νεφελῶν τὰς ἐλπίδας μας· καθότι ὁ δοτὴρ τῶν ἀγαθῶν, πρὸς ὃν ἐλπίζομεν, ηὐδόκησεν ἵνα ἡ ἀνακάλυψις αὕτη τῆς προπατορικῆς μας δόξης προέλθῃ, ὄχι ἀπὸ ἀλλογενῆ, ἢ ἀλλοδαπὸν, ἀλλὰ ἀπὸ ὁμογενῆ, καὶ γηγενῆ[1] Συμαῖον τὸν κύριον Κ. Σιμωνίδην· δεῖγμα ἐναργέστατον τῆς ἀξιώσεως τῶν ἐλπίδων μας! Πρὸς τὸν ὁποῖον, διὰ τὸν πατριωτισμὸν καὶ ἄοκνον ἐπιμέλειάν

[1] Κωνσταντῖνος ὁ Σίμωνος καὶ Μαρίας πατρόθεν μὲν ἐστι Σταγειρίτης, μητρόθεν δὲ Συμαῖος· ἐγεννήθη δὲ ἐν Ὕδρᾳ τῇ νήσῳ τῷ ͵αωκδʹ τῇ ἑνδεκάτῃ τοῦ μηνὸς Νοεμβρίου· ἀνατραφεὶς δὲ ἐν Αἰγίνῃ Ἀθηναῖος πολιτογράφεται. Οἱ δὲ τοκεῖς αὐτοῦ ἐν Σύμῃ τῇ νήσῳ πανοικεὶ ᾤκησαν μικρὸν μετὰ τὴν τοῦ ἀοιδίμου Καποδιστρίου τελευτήν· δι' ὃ καὶ τοὺς πρώτους τῶν παίδων αὐτῶν Συμαίους γηγενεῖς οἱ Συμαῖοι καλοῦσι καίτοι μὴ ἐν Σύμῃ γεννηθέντας. Ὑπηρέτησε δὲ τὴν νῆσον ὁ Σίμων ὁτὲ μὲν ὡς δημογέρων, ὁτὲ δὲ ὡς ἀντιπρόσωπος (ἐξελέγθη γὰρ πολλάκις ὡς τοιοῦτος καὶ ἀπεστάλη πρὸς τὸν Σουλτάνον, καὶ πρὸς τὸν Καποδίστριαν, καὶ πρὸς τὸν Ὄθωνα αὐτὸν), καὶ τοὺς ἐνοικοῦντας πολλαχῶς καὶ πολυτρόπως εὐηργέτησε λόγῳ τε καὶ ἔργῳ θυσίᾳ μάλιστα τῶν ἰδίων· ὅθεν ἡ Συμαίων νῆσος ἀρκούντως ἐκτιμᾷ τὸν ἄνδρα. Καὶ ταῦτα μὲν ἐνταῦθα χάριν τῶν κατ' ἐπάγγελμα διαστρεφόντων τὴν ἀλήθειαν.

του, ἀπεταμιεύετο ἡ ἀνακάλυψις τῶν δύο τιμαλφεστάτων Αὐτοκρατορικῶν χρυσοβούλλων, καθὼς καὶ ἡ τῆς Συμαΐδος, καὶ ἡ τοῦ Λαοστέφου ἀξιόλογος συγγραφὴ καὶ ἄλλων ἄλλαι πολύτιμαι συγγραφαὶ καὶ ἰδίως ἡ τῶν ἐπιγραφῶν. Δι' ὃ εὐγνωμονοῦσα ἡ πατρὶς ὑψόνει χεῖρας πρὸς τὸ ὑπέρτατον ὌΝ, διὰ τὴν εἰς πολλὰς ἡλίου ἀνακυκλήσεις χρήσιμον ζωήν του, κατατάττουσα τὸ ὄνομά του εἰς τὸν ναὸν τῆς Ἀθανασίας.

" Δέξαι, χρηστὰ πολῖτα, τὴν λιτὴν ταύτην εὐχαρίστησιν τῆς νῦν πτωχῆς πατρίδος μας, τῆς ὁποίας τὴν δόξαν ἐπεθύμησας μᾶλλον ἢ χρυσίου καὶ ἀργυρίου ἀπόλαυσιν· 'πατρὸς γὰρ καὶ μητρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων, τιμιώτερόν ἐστι πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον.'

" Εἴθε νὰ σὲ ἀπολαύσῃ ἐν ὑγείᾳ εὐδαιμονοῦντα, καὶ φέροντα ὡς φιλόπονον μέλισσαν, τὸ ἄριστον Ὑμήττειον μέλι τῆς Ἀττικῆς, ἵνα καταψύξῃ καὶ γλυκάνῃ τὴν κατάπικρον γλῶσσαν της!

" Ζῆθι ἐς λυκάβαντας, καὶ μέμνησο πάντοτε τοῦ γλυκυτάτου ὀνόματος τῆς πατρίδος!

" Ἐν Σύμῃ τὴν 12 Δεκεμ. 1848.

(Τ. Σ.) " ὁ γραμματεὺς

" Μιχαὴλ Ἰωαννίδης Καλαφατᾶς."

Καὶ ταῦτα μὲν ὁ Δῆμος τῶν Συμαίων ἐκ δεκασχιλίων κατοίκων συγκείμενος γράφει τῷ Σιμωνίδῃ, οἱ δὲ κατήγοροι ἰδέτωσαν ἤδη ποῖον κατηγοροῦσι· περὶ δὲ τῶν ἐν τῷ Βρετανικῷ Μουσείῳ ἀποθησαυρισθέντων χειρογράφων ταῦτα ἀπαντᾶται ἐν τῷ Ἀνατολικῷ Ἀστέρι·

" THE DISCOVERIES AT MOUNT ATHOS.

" We are informed that Mr. Simonides, a Greek gentleman, has recently sold to the British Museum the following rare and valuable Greek Manuscripts:—

" 1. The Navigation of the Black and Red Seas, by Arianus.

" 2. On the Seven Wonders of the World, by Philo, engineer of Byzantium.

" 3. Two volumes of Ptolemy Claudius, the Geographer, together with two maps, terrestrial and celestial, very curious.

" 4. A Treatise on those who have died full of faith, by John, the Hermit of Damascus.

" 5. Manuscript of Nicephorus, Patriarch of Constantinople.

" 6. A Chronological Treatise from Adam to the present time (that is, to the time of Nicephorus).

7. A Commentary of Theophylactus, Bishop of Bulgaria, on the Four Gospels.

"8. A Fragment of the Notes of Andreas, Bishop of Cappadocia, and the Epistle of James, the brother of our Lord.

"9. A few leaves of a Gospel in Sclavonic.

"10. A fragment of a Gospel in Greek.

"11. A copy of the Gospel of St. John, and pages of other Gospels, very ancient.

"Mr. Simonides discovered these literary treasures in the Monastery of Mount Athos, where, it has been long suspected, many such are carefully hidden by the monks. Innumerable travellers had vainly endeavoured to get hold of them before this ardent student brought the above MSS. to light, and many others besides, and became their proud possessor. His success, so surprising after the many failures of other men, is explained by the circumstance that he is a native of Athos, and has several relatives among the monks. These individuals, influenced more by ties of kindred than by the craven fears and narrow prejudices of their order, enabled him to attain the summit of his ambition; thus benefitting not only him, but also literature, and, we may perhaps add, civilization itself.

"There are people, however, who entertain doubts as to the genuineness of these MSS. We were ourselves rather sceptical on this point, until we heard that the trustees of the British Museum, in accordance with the advice of first-rate connoisseurs, had purchased a large quantity of them.

"The Greek government on the contrary, rejected these estimable relics of antiquity, unfortunately, as we think, for the Greek nation, which has, in consequence, sustained nearly as great a loss as the removal of the marbles, afterwards called Elgin, the name of the culprit, from the Parthenon to the British Museum. It may not be yet too late for the Greek government to secure a portion of M. Simonides' collection. We hope this, because we hold that the works of the ancient Greeks are in the best keeping when possessed by their descendants."—*The Eastern Star*, No. 7, Saturday, August 27, 1853.

Πρὸς τὰ τοῦ 'Αστέρος δὲ ταῦτα κείσθω καὶ τὰ ἑξῆς ἅ περ ὁ κλεινὸς Φριδερίχος Μάδδενος ἐκοινοποίησεν ὑπὲρ τῆς γνησιότητος, ὧν ἐκτήσατο χειρογράφων τὸ Βρετανικὸν Μουσεῖον·

"THE SIMONIDES MANUSCRIPTS.

"Sir Frederic Madden, chief of the Manuscript Department of British Museum, is very naturally desirous that the public should not infer—erroneously infer—that the Simonides Manuscripts, bought for the National Library, are spurious. When it finds men like Dindorf and Lepsius taken in by the forger, public opinion not unnaturally grows suspicious. If Berlin has been deceived, it is logically possible that London may have been deceived. Such an inference, we believe, would be false. We feel the strongest confidence in the rare knowledge and critical sagacity of Sir Frederic Madden; and we receive from him with pleasure, as we are sure the public will, the following explanation of facts and descriptions of the Manuscripts purchased for the Museum:—

'Department of MSS., British Museum,
'3rd March, 1856.

"In the "Athenæum" of the 1st inst. I observe a statement, that some of the scrolls of the Greek Simonides had been purchased for the British Museum. The facts of the case are these: —In February, 1853, M. Simonides paid me a visit, accompanied and introduced by Mr. W. B. Barker (Oriental Interpreter at the Foreign Office), and produced for sale certain Greek manuscripts, of which I took the following memorandum:—and I then inquired of M. Simonides if he had any Greek manuscripts in *volumes*, similar in appearance to a Psalter of the eleventh century, which I happened to have on my table. He replied in the affirmative; and the next day he called again on me, bringing with him several vellum manuscripts, in Greek, some of which were imperfect; but finding them to be perfectly genuine, and having fixed the price, I agreed to recommend them for purchase, and they were bought accordingly.—

"These Manuscripts were,—1. Commentary of Theophylact on the Gospels, 14th century; 2. The Four Gospels, wanting part of Matthew, 13th century; 3. The Epistles of Paul, James, and Peter, imperfect, 13th century; 4. The Gospel of John, 13th century; 5. A Homily of Johannes Damascenes, and the Chronographia of Nicephorus, Patriarch of Constantinople, 11th century; 6. A Treatise on Geography, compiled from Strabo, Arrian,

Ptolemy, &c., with three rude maps, 15th century; 7. Four leaves, two of which formed a fragment of a beautiful copy of the Epistles of James, with a commentary, of the 13th century; and the other two a fragment of a Lectionary of the same age. These manuscripts are now numbered 19,386 to 19,392 among the Additional Manuscripts in the British Museum, and are accessible to all who are interested in the subject.—

"I trust you will insert this explanation in your paper, as from the circumstance of my having purchased the above Greek manuscripts from Simonides, a false report has been spread (both abroad and in this country), that I had been deceived by him, and this report is injurious both to myself and to my Department.

"I remain, Sir, your obedient servant,

"F. Madden."

(ὅρα Ἀθηναίου ἀριθ. 1480, Μαρ. 8, 1856.)

Ὁ δὲ τὸ τοῦ Ὁμήρου κτησάμενος χειρόγραφον Θωμᾶς, καὶ τὸ τοῦ Ἡσιόδου, καὶ τὸ τοῦ Ἀνακρέοντος δοξάζων παλαιότατα εἶναι, ὥς περ καὶ ἄλλοι σοφοὶ, καὶ μάλιστα πρὸ τῆς Χριστοῦ ἐποχῆς γεγραμμένα ἐκοινοποίησε τὴν αὑτοῦ δόξαν διὰ τοῦ Ἀγγλικοῦ Ἀθηναίου γράφων τάδε·

"SIMONIDES MANUSCRIPTS IN THE LIBRARY OF SIR THOMAS PHILLIPPS, BART.

"Middle Hill.

"Homeri Ilias. The First Three Books, written on a Roll of Vellum, 21½ inches long, 2¼ broad.

"This MS. is in a most unusual character, which induces many persons to deem it a forgery (as well as the Hesiod which follows). Some of the characters resemble those upon the Lycian monuments. The ϵ is exactly like that upon the Greek pottery found by Dr. Duncan M'Pherson in the graves and tumuli of Kertch, 1855-6. It is written in Greek capitals, so small as not to be read without a magnifying glass. It is also in Boustrophedon,—a form, I believe, never before seen on vellum MSS., although frequent in inscriptions on marble and vases. At the head of the poem are the names of persons, supposed to be Archontes, written in fourteen columns, one letter under another, in the Chinese manner. Under these are four horizontal lines; so that the whole looks like a temple with fourteen columns, standing upon

four steps. The first lines of the poem are written (like the columns above mentioned), one letter under another, in four columns, as far as verse . . . , after which the lines run from left to right, and right to left, alternately, in Boustrophedon. This has so much the appearance of a MS. which had been long used by some person who loved to read the poet, that I cannot bring myself to believe it to be a forgery of Simonides. If it is, it is the most wonderful and successful attempt ever accomplished. The strongest part of the evidence against him is, that the man is so mysterious about his acquisition of these MSS. A straightforward, honest person would state at once, with all candour, where he obtained it, and how. With all this mystery, we are certainly tempted to say, 'Quid non audebit Græcia mendax?' He showed me a small leaden jar, like an ink-pot, in which he said the Hesiod was found. It had been covered with pitch or bitumen. It is possible that such a jar, so covered, *might* preserve its contents for 2000 years uninjured by atmospheric action. But I have a Latin MS. which is 1200 years old, which has been exposed to all the wear and tear of human fingers, as well as atmospheric action, which is as fresh and fair now almost as when it was written, except where injured by actual water having touched it. Is it not possible, then, that this Homer may be a relic of the Alexandrian Library, which was burnt only about 1200 years since? Hear what Mr. Bowen says in his remarks on Mount Athos:—'A great migration of monks and anchorites took place hither (Mount Athos) when Egypt, their first stronghold, was conquered by the Saracens. A large proportion of the holy exiles settled down on the peninsula of Acte, forming a society, which is utterly without parallel in all history.' Is it not possible that the librarian, prior to the assault of the Caliph of Alexandria, might have put this roll, two inches broad, and half an inch thick, into his pocket and carried it off? Is it not possible that this roll may have been written in Lycia, and thence transferred to the Alexandrian Library? Or may it not have been written in Etruria (where we know Boustrophedon was used), and obtained by Ptolemy from that country? At all events, from whatever country it may have come, I feel almost convinced that neither this nor the Hesiod has been forged by S.; and other persons, I think, may be convinced by comparing them with those

MSS. which I suspect really to be his forgeries, as in the case of the Phocylides below, and the Palæphatus and Æschylus, which are still, I believe, in his possession. Cicero speaks of having seen the Iliad written so small that it could be put into a nutshell; I presume he meant a *walnut* shell. Although this Homer is not so small, yet I have the whole of Anacreon, which is capable of being so inclosed.

" Hesiodi Opera, *i. e.*, Opera et dies, Theogonia, Scutum Herculis. On Ten Rolls of Vellum, in a rather larger Character than the Homer.

" The same characteristics of long usage and evident antiquity attend this MS. as in the Homer, and it is written in the same formed letters and in Boustrophedon. The length of each roll is 10½ inches, breadth 2 inches. There is a repetition of part of the Scutum Herculis, of which the old title seems to have been erased, and the following inserted, with evident tampering and interpolation, 'Hesiodou Sigaloenta epee eωsphoros.' Then follow eleven lines in characters, which are not Greek, but resemble Arabic. Then follows the above-mentioned repetition of part of the Scutum; after which is another poem in the supposed Arabic character, and then comes this title in Greek, 'Hesiodou Orai,' on the last membrane but one, which continues to the end of the tenth membrane; but the whole poem of the 'Orai' is in the supposed Arabic character." [Τὰ *τρία τοῦ ποιητοῦ* Ἡσιόδου Σιγαλόεντα ἔπη ἐπιγράφονται ᾧδε· ΕΩΣΦΟΡΟΣ, ΑΥΡΑΙ, ΩΡΑΙ.]

" Anacreontis Carmina, on four skins of extremely fine and thin vellum, about 1 inch broad, and 7 inches long. This is written smaller than the Homer, and the vellum is almost transparent. The letters are so small as scarcely to be read even with the magnifying glass, but as I have read some lines of it, I know it to be Anacreon. This MS. would undoubtedly go, with ease, into a *walnut* shell, and if it were doubled up, and compressed into the smallest space it is capable of, it would unquestionably go into a *hazlenut* shell[1]."

(*ὅρα ἀριθ.* Ἀθηναίου 1536, Ἀπριλ. 4, 1857.)

[1] Πρὸς τοῖς τρισὶ δὲ ἀνωτέρω αὐθεντικοῖς χειρογράφοις ἐκτήσατο καὶ τὰ ἑξῆς ὀκτωκαίδεκα, ἅ περ δοξάζων καὶ ταῦτα γνήσια εἶναι, ὡς καὶ ἀληθῶς ἐστι, καταλέγει αὐτὰ ᾧδε·

Ἐν δὲ τῷ Αἰῶνι εὕρηται τάδε· "Ἡ ἐπιτροπὴ, τὴν ὁποίαν προσεκάλεσε τὸ Ὑπουργεῖον τῆς Ἐκπαιδεύσεως, διὰ νὰ γνωμοδοτήσῃ περὶ τῶν εἰς

"J. Chrysostomus de B. Virgine Maria, Græcè, thk. f. ch. s. xv. ½ dk. cf. 1208 pages *.

"A Treatise on the Laws of Greece.

"Ditto on the Marriage Law of Greece.

"Catalogue of Patriarchal and Archiepiscopal Seats.

"Formulary how to address Archbishops, &c., s. thk. 4to. s. xv. charta bombyc.

"Tou en agiois patros eemωn Io. Archiepi. Constantinopoleωs tou Chrusostomou, eis ton makarion Philogonion genomenon apo Diokolou episcopou, f. ch. bombyc. s. xv. pp. 770, but the first 98 pages are lost, and also pp. 199 to 210, 309 to 348, 363 to 408, 552 to 628, 635 to 650, 666 to 678, and 704 to 714, and all after 770. 715 to 718 are double paged, and also 763 to 770; so that there are 784 pages, minus those that are lost. The last tract is, Amphilochii Episcopi Logos eis teen Theotokon.

"A Fragment of a Menologion, beginning 'Autee Keerukou kai Ioulittees kai athleesis.'

"Cyrillus, Episcop. Alexandriæ, in B. Virginem.

"Athlisis tees Kalliparthenou Marturos Marinees.

---

* *Τὸ χειρόγραφον τοῦτο ἐκ ϡση' σελίδων συγκείμενον ἐπιγράφεται Πανηγυρικὸν, ὅτι πανηγυρικοὺς περιέχει λόγους, ἐξ ὧν τινες τούτων εἰσὶν ἀνέκδοτοι· μεταξὺ δὲ τῶν ἀνεκδότων καταλέγονται καὶ δύω τοῦ Ζωναρᾶ ἐκείνου, οἵ περ μάλιστα ἐπιγράφονταί τε καὶ ἄρχονται ὧδε·*

α'. "Ἰωάννου μοναχοῦ τοῦ Ζωναρᾶ ὑπόμνημα εἰς τὸν ὅσιον ἡμῶν πατέρα Κύριλλον τὸν τῆς μεγαλοπόλεως Ἀλεξανδρείας Ἀρχιεπίσκοπον."

"Ἄρδει μὲν ὁ πολυχεύμων Νεῖλος, ὁ ποταμὸς ὁ Αἰγύπτιος, τὴν τῆς Αἰγύπτου χώραν ταῖς ἀναβάσεσι· καὶ εὔσταχυν αὐτὴν ποιεῖ, καρποδοτῶν τοῖς Αἰγυπτίοις, καὶ πάμφορον· ἀλλ' ἐκεῖνος μὲν μόνην ἐκείνην πιαίνει καὶ γόνιμον τίθησι περιῤῥέων τὴν Αἴγυπτον, οὐκ ἐξ Αἰγύπτου γεννώμενος· ὃς δ' ἐξ Αἰγύπτου οὐκ ἐκείνην μόνην περικλύζει, ἀλλ' ἤδη καὶ πᾶσαν ἀρδεύει τὴν οἰκουμένην· ἥδιστα καὶ δαψιλῆ προχέων τὰ νάματα, ὅσον τὸ σωτήριον τοῦ Σωτῆρος ἐπέδραμε κήρυγμα" . . . κτλ.

β'. "Βίος καὶ πολιτεία τῆς ὁσίας μητρὸς ἡμῶν Εὐπραξίας, συγγραφεὶς παρὰ Ἰωάννου μοναχοῦ τοῦ Ζωναρᾶ."

"Γυναῖκα ἀνδρείαν τίς εὑρήσει, φησὶν ὁ σοφὸς Σολομὼν, καὶ λίθων πολυτελῶν αὐτὴν ὑπερτίθησιν· εἶτα τὰ κατορθώματα ταύτης ἀπαριθμούμενος, δι' ἃ καὶ ἀνδρεία ὠνόμασται· ἐξ ἐρίου καὶ λίνου ἔργα ταῦτ' εἴρηκε, καὶ ἐμπορίας καὶ πλούτου συναγωγήν" . . . κτλ.

Πρὸς τοῖς δυσὶ δὲ τούτοις τοῦ Ζωναρᾶ λόγοις εὕρηται καὶ "Τοῦ μακαρίου Χρυσίππου πρεσβυτέρου καὶ μαθητοῦ τοῦ θειοτάτου Εὐθυμίου ἐγκώμιον εἰς τὸν ἅγιον Ἰωάννην τὸν Βαπτιστὴν," ὅ περ ἄρχεται ὡς ἑξῆς·

"Ἦχος σάλπιγγος, λύρα πνευματικὴ, ὡς ἡ τῶν προφητῶν τρανοίη γλῶσσα· ἀγλαϊζόμεναι γὰρ τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος τὰς τῶν εἰδώλων καθεῖλον φύσεις" . . . κτλ.

Ἐν τῷ χειρογράφῳ τούτῳ περιέχεται καὶ ὁ πρῶτον ὑπὸ τοῦ Σιμωνίδου ἐκδοθεὶς λόγος εἰς τὸν Ἰσαπόστολον Κωνσταντῖνον τοῦ μεγάλου Λογοθέτου Κωνσταντίνου,

χεῖρας τοῦ Σιμωνίδου εὑρισκομένων χειρογράφων, ὡς ἐν τῷ προπαρελθόντι φύλλῳ ἡμῶν ἀνηγγείλαμεν, ἀπεφάνθη, ὡς βεβαιούμεθα, ἐν τῇ

" Germanus, Archiepis. Constantinopol. in B. Virginem.

" Exegesis Gregorii Theologi in Apocalypsin.

" Tract on Arithmetic, s. 4to. ch. s. xvii. with an Autograph (of the transcriber, probably) at the end, pp. 208.

" Nili Cabasilæ, Archiepiscopi Thessalonicæ, Syntagma, imperfect, 4to. ch. s. xvii. pp. 166.

" Theodorus Antiochenus in Prophetas, f. ch. bombyc. s. xvi. pp. 364.

" A Leaf torn out of a New Testament, containing the Verses relative to those who were bidden to the marriage feast but would not come. s. 4to. Vel. s. xiv.

" A Charter of .... to .... a roll on Vellum, sec..... 24½ inches long, and 7½ inches broad. The painting in the beginning is obliterated, apparently on purpose. This bears a suspicious look of forgery, but may possibly be genuine.

" Another similar Charter of .... to .... of the same suspicious character, with a painting smeared and obliterated like the other, but which has been gilded, and the writing in both has some appearance of having been written with gold ink. On Vellum, 23½ inches by 7½, backed with cloth.

" A third Charter more suspicious than the others and more obliterated. There has been a painting, but it is rubbed out. On Vellum, 28 inches long, by 11½, backed with cloth.

" Yours, &c.,

" THOMAS PHILLIPPS."

Τὰ τελευταῖα τρία ταῦτα χειρόγραφά ἐστι τὰ ἐν ταῖς Ἑλληνικαῖς ἐφημερίσι δημοσιευθέντα Χρυσόβουλλα τῶν Αὐτοκρατόρων Θεοδοσίου τοῦ νεωτέρου καὶ Μιχαήλου υἱοῦ Θεοφύλου καὶ Ῥωμανοῦ τοῦ Ἀργυροπούλου. Καὶ περὶ μὲν τοῦ τοῦ Θεοδοσίου ἀναγινώσκεται ἐν τῇ Συντηρητικῇ τάδε·

"Τὸ ἀκόλουθον χρυσόβουλλον ἔργον δεκαπέντε αἰώνων, ἀντιγράψας μᾶς παρέδωκεν ὁ Κ. Σιμωνίδης πρὸς δημοσίευσιν· εἰδόντες τὸ πρωτότυπον, περὶ τῆς γνησιότητος τοῦ ὁποίου δὲν μᾶς μένει οὐδεμία ἀμφιβολία καὶ ὡς ἐκ τῆς μεμβράνης καὶ ὡς ἐκ τῆς γραφῆς καὶ τῆς ἐπ' αὐτῆς εἰκόνος τοῦ ἀοιδίμου Αὐτοκράτορος Θεοδοσίου, ἔχοντος ἀπέναντι αὐτοῦ ὡσαύτως τὴν εἰκόνα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπαινοῦμεν τὴν ἐπιτηδειότητα τοῦ ἀντιγραφέως ἐπὶ τῆς ὄντος δυσκόλου ἀναγνώσεως τοῦ πρωτοτύπου, διὰ τὸ ἀρχαϊκὸν τῆς γραφῆς καὶ διὰ τὸν γριφώδη τῶν χαρακτήρων τύπον. Τὸ ῥηθὲν Χρυσόβουλλον δείκνυσι τὸν ὑπερβάλλοντα ζῆλον ὑπὲρ τῆς παιδείας τοῦ ἀοιδίμου Θεοδοσίου, καὶ τὴν πρὸς τοὺς σοφοὺς τοῦ καιροῦ ἐκείνου ὑπόληψίν του. Οἱ ἡμέτεροι φιλολόγοι ἔχουσιν ἐξ αὐτοῦ ἀφορμὴν ἱκανὴν νὰ γνωρίσωσι πρόσωπα κατὰ τὸν τρίτον αἰῶνα διαπρέψαντα ἐπὶ μαθήσει, καὶ νὰ λάβωσιν ἀφορμὴν ἐρευνῶν νέων." (Ἀριθ. 87. 1848. ἐν τῇ 15 Αὐγούστου.)

Περὶ δὲ τοῦ τοῦ Μιχαήλου υἱοῦ Θεοφύλου τάδε ἡ Ἐλπὶς σὺν ἄλλοις γράφει·

"Καὶ τὸν Χρυσόβουλλον τοῦτον λόγον κατέχει ὁ ἀγαθὸς καὶ ἀληθῶς φιλόπατρις Κ. Σιμωνίδης· ἀλλὰ τὴν σήμερον ἡ διαφθορὰ θεωρεῖται ὡς ἀρετὴ, καὶ ἡ πτωχία, συστατικὸν τῆς ἀρετῆς καὶ τοῦ πατριωτισμοῦ, θεωρεῖται ὡς δεῖξις ψεύδους καὶ ἀπάτης. Οὗτος εἶναι ὁ λόγος, ὁ μόνος λόγος, δι' ὃν περὶ τῶν πολυτίμων τούτων κειμηλίων οὔτε λόγος γίνεται κἂν, ἐντὸς τῆς Ἑλληνικῆς κοινωνίας, ἐν ᾧ μέρος μόνον αὐτῶν ἂν ὑπῆρχεν ἐν Εὐρώπῃ πᾶς ὁ φιλολογικὸς κόσμος θὰ συνεκινεῖτο. Πλὴν ἂς μὴν

συνεδριάσει αὐτῆς κατὰ τὴν 28 Δεκεμβρίου, ὅτι τὰ ὑπ' ὄψιν αὐτῆς ὑποβληθέντα χειρόγραφα εἶναι ΓΝΗΣΙΑ· ὑπεσχέθη ἑπομένως νὰ δώσῃ ἔγγραφον τὴν περὶ τούτου ἔκθεσίν της, τὴν ὁποίαν ἐπισήμως θέλει δημοσιεύσει τὸ ὑπουργεῖον. Εὐχαριστούμεθα ἐγκαρδίως, ὅτι ἡ πατρὶς ἡμῶν, μ' ὅλην τὴν παρὰ τῶν ξένων γενομένην λῄστευσιν τῶν θησαυρῶν αὐτῆς, φέρει εἰσέτι κειμήλια ἐκ τῶν πολυτιμοτάτων. Εὐχαριστούμεθα ἰδίως, ὅτι ἐπαληθεύσαμεν εἰς τοὺς ἀνέκαθεν διϊσχυρισμοὺς ἡμῶν περὶ τῆς γνησιότητος τῶν χειρογράφων τούτων."

" Ἰδοὺ ὁ κατάλογος τῶν ὑποβληθέντων κατὰ τὸ παρὸν χειρογράφων. α) Πανσέληνος. β) Συμαΐς. γ) Βυζαντίς. δ) Ἡσιόδου ἔπη. ε) Ὁμήρου Ἰλιάς. ς) Ἀνακρεών. ζ) Πυθαγόρου Χρυσᾶ ἔπη" κτλ. Ὅρα ἀριθ. 929 τοῦ ἔτους 1849 μηνὸς Ἰανουαρίου πρώτῃ.

Ὁ δὲ καθηγητὴς Δινδόρφιος δοξάζων καὶ οὗτος, ὡς τὰ ὑπὸ τῶν Βρετανῶν ἀποκτηθέντα χειρόγραφά ἐστι γνήσια, καὶ γενόμενος πρός με ποτὲ ἀπεκάλυψέ μοι τὴν περὶ γνησιότητος δόξαν αὐτοῦ· πρῶτον μὲν ἰδίᾳ εἶτα δὲ καὶ ἐνώπιον τοῦ Θεσσαλονικέως Γ. Βακαλόγλου ἀνδρὸς καλοῦ κἀγαθοῦ καὶ σπουδαίου λίαν. Ἰδοὺ δὲ καὶ ἐπιστολὴ βεβαιοῦσα τὸν τῆς ἐπισκέψεως τοῦ γράφοντος σκοπόν·

" Κωνσταντίνῳ Σιμωνίδῃ, ἀνδρὶ φιλτάτῳ,

" Γ. Δινδόρφιος χαίρειν καὶ ἐῤῥῶσθαι.

" Ἦλθον πρὸς σὲ ἐχθὲς βραχὺ μετὰ τὴν δεκάτην ὥραν καὶ σήμερον περὶ τὴν ἐννάτην ὥραν, ἀλλ' οὐκ ἐνέτυχον σοὶ πεφοιτηκότι ἤδη εἰς τὴν πόλιν. Ἥξω τοίνυν αὖθις αὔριον περὶ τὴν ἐννάτην ὥραν, ἵνα σοι φέρω

ἀπελπίζεται οὐδεὶς διωκόμενος ὅταν γνωρίζει ὅτι οἱ διώκοντες αὐτὸν εἶναι ἄνθρωποι, ἐντὸς τῆς καρδίας τῶν ὁποίων δὲν ὑπάρχει Ἑλληνικὸν αἷμα, οὐδὲ ῥανὶς ἐθνισμοῦ θέλει ἔλθει ἡμέρα, καθ' ἣν θέλει ἐκδικηθῇ δοξαζόμενος καὶ τιμώμενος."

[" Σημ. Ὁ Χρυσόβουλλος οὗτος λόγος εἶναι ὡς καὶ ὁ προδημοσιευθεὶς (ὁ τοῦ Θεοδοσίου δηλονότι), γεγραμμένος χρυσοῖς χαρακτῆρεσιν ἐπὶ πλατείας λωρίδος μεμβράνης λαμπροτάτης, φέρων ἐπὶ κεφαλῆς τὴν μητέρα τοῦ Μιχαΐλου, Θεοδώραν ἢ τὴν σύζυγον αὐτοῦ καὶ τὸν Μιχαὴλ αὐτὸν μὲ τὸ σκῆπτρον εἰς τὴν δεξιὰν χεῖρα, κρατοῦντας εἰκόνα τῆς Θεοτόκου, ἧς τὰ ἴχνη μόνον σώζονται· ὑπεράνω τῆς εἰκόνος ἵσταται ὁ Ἰησοῦς ἐν νεφέλαις εὐλογῶν, καὶ ἐνδεδυμένος ἐπενδύτην κατὰ τὸν ἀρχαῖον Ἑλληνικὸν τρόπον, ὁ Αὐτοκράτωρ εἶναι ἐνδεδυμένος τὴν αὐτοκρατορικὴν πορφύραν, διακρινομένης ὀλίγον καὶ τῆς φυσιογνωμίας του (διότι ἡ εἰκὼν ἐβλάβη) καὶ τριχῶν τινῶν ἐπὶ τοῦ πώγωνος αὐτοῦ, ὡς καὶ ἡ Θεοδώρα τὸν μανδύαν. Κάτωθεν ἕπεται ἡ γριφώδης ἰδιόχειρος ὑπογραφὴ ἢ μᾶλλον μονογραφὴ τοῦ Αὐτοκράτορος τούτου"]. (Ὅρα ἀριθμὸν Ἐλπίδος 485 τοῦ ἔτους 1848). Ἀπαντᾶται δὲ καὶ ἄλλα πλείω περὶ τούτων ἔν τε τῷ Αἰῶνι καὶ Ἐλπίδι καὶ Ἀμαλθείᾳ, ὥς περ καὶ περὶ τοῦ τρίτου ἐν τῷ τοῦ Βουσπόρου Τηλεγράφῳ, ἀλλὰ, δυστυχῶς, μὴ ἔχων ἀνὰ χεῖρας τοὺς ἀριθμοὺς ἐκείνους, ἐν οἷς τὰ περὶ τῶν τριῶν Χρυσοβούλλων λόγων τούτων περιέχεται, παραλείπω ἐπὶ τοῦ παρόντος τοῦτο.

τὴν χάριν ἣν ὀφείλω σοὶ ἀντὶ τῶν πολυτίμων δώρων σου[1] καὶ εἴπω τὴν δόξαν τὴν ἐμὴν περὶ τῶν χειρογράφων τῶν πωληθέντων παρὰ σοῦ ἐν Βρετανίᾳ. Ἔῤῥωσο. 18 Δεκεμβρίου 1855."

Ἐκ τούτων οὖν πάντων καταδεικνύεται, πρῶτον μὲν ὡς τὰ κατὰ Σιμωνίδου πάντα ἦν σκευωρία ἀνήκουστος, δεύτερον δὲ ὅτι τὰ ἐξαργυρωθέντα χειρόγραφα πάντα ἐπιστημονικῶς ἐξετασθέντα ἀπεδείχθησαν γνήσια εἶναι· ἀλλὰ περὶ μὲν τούτων πάντων ἐν ἰδίῳ βιβλίῳ πραγματευθέντες, παρατρέχομεν ἐνταῦθα τὰ καθ' ἕκαστα τῶν σκευωριῶν· ἐπισφραγίζομεν δὲ τὰ προῤῥηθέντα ταῖς ἑξῆς δυσὶν ἐπιστολαῖς ἑνὸς τῶν κλεινῶν τοῦ Βερολίνου καθηγητῶν·

"Φ. Β. Α. Μουλλάχιος Κ. Σιμωνίδῃ.

"Εἴπερ ὀρθῶς λέγει τῶν ἀρχαίων τις σοφιστῶν, ὅτι οἱ μὲν ἐκ τῆς γῆς καρποὶ κατ' ἐνιαυτὸν, οἱ δ' ἐκ τῆς φιλίας κατὰ πάντα καιρὸν φύονται, χάριν σοι τὴν μεγίστην ὁμολογῶ πλεῖστα τῆς σῆς πρὸς ἐμὲ φιλίας δείγματα ἐξενηνοχότι. Καὶ γὰρ παρόντι ἐμοὶ ἐν Βερολίνῳ τὸν ἤδη γνήσιον ἀποδεδειγμένον τοῦ Ἑρμᾶ ποιμένα δέδωκας, ἀπόντι δὲ ἐκ Μοναχίας δῶρα ἀπέσταλκας τὴν περὶ γνησιότητος τοῦ Οὐρανίου διατριβὴν καὶ τὸν πρῶτον τοῦ Μέμνονος τόμον. Ταῦτα πάντα ἀνέγνωκα, χαίρων μὲν τῇ σῇ παιδείᾳ τε καὶ φιλοπονίᾳ, ἀχθόμενος δὲ τῷ ἀγῶνι ὃν πρὸς κλεινούς τινας ἄνδρας ἐν τῇ ἄνω Γερμανίᾳ ἠγωνίσω. Ἐπεὶ δὲ ὁ χρόνος τῶν δικαίων ἀνδρῶν σωτήρ ἐστι καὶ νῦν σωθέντι σοι ἐν Λονδίνῳ ἔδοξεν ἐξενεγκεῖν εἰς τὸ φῶς Οὐρανίου Ἀναξιμένους τοῦ Ἀλεξανδρέως τὰς Αἰγυπτίων βασιλέων ἀναγραφὰς, δέομαι σου ἐγγράψαι τὸ ὄνομά μου εἰς τὸν κατάλογον τῶν ἀγοραστῶν καὶ πέμψαι μοι, ὅταν τυπωθῇ, διά τινος βιβλιοπώλου ἀντίτυπον τοῦ πολυθρυλλύτου συγγράμματος. Ἐγὼ δὲ πρὸ δύο ἐτῶν τὴν ἱστορικὴν τοῦ παρακμάζοντος Ἑλληνισμοῦ καὶ τῆς δημώδους τῶν Ἑλλήνων γλώσσης γραμματικὴν ἐκδοὺς ἤδη τὰ τῶν παρ' Ἕλλησι φιλοσοφισάντων λείψανα ἐν Παρισίοις δημοσιεύω. Ὅσα ἄλλα ἔχω εἰπεῖν, περὶ πάντων καιρὸν εἰληφώς σοι διαλέξομαί ποτε. Ἀδύνατον γὰρ δι' ἐπιστολῆς ταῦτα δηλῶσαι· Ἔῤῥωσο.

"Ἐν Βερολίνῳ τῇ 20 Ἰουνίου 1858."

[1] Τὰ δῶρα ἦν τά τε ὑπ' ἐμοῦ ἐκδοθέντα τοῦ Εὐλύρου Κεφαλληνιακὰ, καὶ ἡ τοῦ Διονυσίου Ἱερομονάχου τοῦ ἐκ Φουρνᾶ τῶν Ἀγράφων ἑρμηνεία τῆς καθ' ἡμᾶς ἱερᾶς ζωγραφίας, ἧς ἡ ἀληθὴς ἐπιγραφὴ ἔχει ἐν τοῖς παλαιτέροις ἀπογράφοις ὧδε· "Ἑρμηνεία τῆς καθ' ἡμᾶς Ἁγιογραφίας καθ' ἃς ἔχομεν ἀρχαίας παραδόσεις. Συγγραφεῖσα τῷ ΑΥΝΗΨ ὑπὸ Διονυσίου Ἱερομονάχου τοῦ ἐκ Φουρνᾶ τῶν Ἀγράφων Ἐπιστολιμαίου τυγχάνοντος ἐν τῇ Σκήτῃ τῶν Θεσσαλονικέων τῇ ἐν Ἄθωνι."

Ἡ ἐπιγραφὴ "To the Right Honourable Doctor Constantinus Simonides. London."

"Φίλτατε Σιμωνίδη,

"Τὴν φιλικήν Σου ἐπιστολὴν ἅμα τῷ τρίτῳ τῶν τοῦ Ὥρου Ἱερογλυφικῶν βιβλίῳ πρὸ πολλοῦ ἤδη εἰληφὼς ὀψὲ τὴν ὀφειλομένην Σοι χάριν ὁμολογῶ καὶ πρὸς τὰς ἐρωτήσεις Σου ἀποκρίνομαι. Καὶ πρῶτον μὲν χρή Σε εἰδέναι ὅτι οὐ μόνον τὴν τρίτην δέλτον τοῦ τὰ ἀπόκρυφα τῶν Ἀμμουνέων γράμματα ἑρμηνεύσαντος τὴν ὑπὸ Σοῦ ἐκδεδομένην ἥσθην ἀναγνοὺς, ἀλλὰ καὶ ταῖς Βυζαντιναῖς τοῦ Ζαμπελίου Μελέταις καὶ τοῖς τοῦ Τερτζέτη ποιήμασιν, ἅ περ οἱ συγγραφεῖς φιλοφρόνως ἐμοὶ ἔπεμψαν, ἄρτι ἐνέτυχον. Καὶ ἡδέα μὲν ἦν τὰ τοιαῦτα συντάγματα ἀναλίξαι, κρῖναι δὲ δημοσίᾳ οὐκ ἐξῆν μοι τὴν αὐτῶν ἀξίαν πρὸς ἄλλα συγγράμματα παραβάλλοντι. Τὸ γὰρ τῆς κρίσεως ἀκριβὲς, οὗ παραπλησίως Σοι ἐπεθύμουν οἱ καλοὶ κἀγαθοὶ οὗτοι ἄνδρες, πόνου πολλοῦ καὶ χρόνου μακροῦ δεῖται. Σὺ δὲ οἶσθα ἐμὲ οὐ σχολάζοντα, ἀλλὰ νύκτωρ καὶ μεθ' ἡμέραν διορθοῦντα τὰς σελίδας τοῦ μεγάλου πονήματος, ὃ νῦν ἐν Παρισίοις δημοσιεύω.

"Τοῦ Μέμνονος τὸν μὲν πρῶτον τόμον τὸν δύο φυλλάδας περιέχοντα ἀπέσταλκάς μοι ἐκ Μονάχου, τοὺς δὲ λοιποὺς τόμους οὐχ ἑώρακα. Προσθεὶς τῇ δε τῇ ἐπιστολῇ τὰ Βυζαντινά μου Εἰκαστικὰ δεσμευτικῷ χάρτῃ ἐνειλημένα δέομαί σου, εἴ τι βούλει ἐμοὶ στεῖλαι βιβλίον, τῷ αὐτῷ τρόπῳ ἢ σταυρωειδεῖ δεσμῷ τῆς εὐωνίας ἕνεκα ἐνειλημένον διὰ τῆς Κελτικῆς ἐνταυθοῖ διαπέμψαι.

"Σὺ δὲ, μουσόληπτε Σιμωνίδη τῆς τε Αἰγυπτιακῆς καὶ Ἑλληνικῆς σοφίας ὑποφῆτα, μὴ παύου φιλῶν τὸν φίλον Σου

"Μουλλάχιον."

"Ἐν Βερολίνῳ τῇ 9 Ὀκτωβρίου 1858."

Πρὸς ταύταις δὲ τοῦ κλεινοῦ Μουλλαχίου ἐπιστολαῖς, ὃν καὶ παρακαλῶ θερμῶς, ἵνα μὴ ποσῶς μεμφθῇ τὸν πολυπαθῆ Σιμωνίδην ἐπὶ τῇ κοινοποιήσει αὐτῶν, ὅτι χάριν τῆς ἀληθείας τοῦτ' ἐγένετο, δίδωμι καὶ αὖθις τοῖς ἀναγνώσταις τὴν περὶ τοῦ Ὥρου κριτικὴν τοῦ σοφοῦ Ἐῤῥίκου ἐπιστολὴν, ἥ περ ἔχει ὧδε·

"Ἐῤῥῖκος Σιμωνίδῃ εὖ πράττειν.

"Τὴν τῶν ἱερογλυφικῶν τοῦ Ὥρου (ὃν Ὡραπόλλωνα ἕτεροι, ἴσως ἐσφαλμένως, γράφειν εἰώθασι) τρίτην δέλτον ἐγκαίρως ἐδεξάμην ἅμα τῇ ἐπιστολῇ σου, καὶ ἀνέτως ἀνέγνων, καὶ τὴν ἀνάθεσιν δέχομαι, καί τοι ἀνάξιος ὢν τοιαύτης ἀναθέσεως. Ἔοικέ μοι δὲ τὸ σύγγραμμα τοῦτο σοφὸν εἶναι λίαν καὶ τοῦ Ὥρου γνήσιος γόνος, ὅτι τὰ γεγραμμένα δόγματα ἄγαν Αἰγυπτιακά ἐστι, καὶ τὰ πολλὰ τούτων παρ' ἄλλοις

μαρτυρούμενα. Δι' ὃ λέγω σοι, *χώρει θαῤῥαλλέως εἰς τὸ ἔργον εὐεργετῶν τοιαύταις ἐκδόσεσι τὴν διψῶσαν ἀνθρωπότητα, τῶν δὲ παρελθόντων ὅλως ἐπιλαθόμενος· ὀλεθρία γὰρ ἡ μνησικακία σφόδρα ἐστὶ, καὶ φιλοσοφοῦσι μὴ προσήκουσα.* Καλὰ δὲ *καὶ τὰ σχόλιά σου καὶ σκόπιμα· ἀλλὰ σχολιάζων, γράφε σαφέστερον καὶ εὐδοκιμήσεις. Ἔῤῥωσο τοίνυν καὶ κράτει γλώσσης τὸ ἀγαθὸν ἀεὶ ἐργαζόμενος· οὐ γὰρ λόγοις, ἀλλ' ἔργοις ἀγαθοῖς δικαιωθήσῃ.*

"Ἐν Λιβερπούλῃ τῇ 10 Ἰουλίου 1857."

Πρὸς ταύτῃ δὲ *κείσθω καὶ ἑτέρα τοῦ ἀνδρὸς ἐπιστολὴ ἥδε·*

"Ἐῤῥῖκος Σιμωνίδῃ *ὑγιαίνειν.*

"Τὴν τοῦ *πολυΐστορος* Οὐρανίου *προαγγελίαν ἐδεξάμην καὶ ἐπαινῶ σου τὴν ἀπόφασιν· καὶ γὰρ ἡ τοῦ σπουδαιοτάτου τούτου συγγράμματος ἔκδοσις ὁπλίσει ἰσχυρῶς τοὺς ὑπὲρ ὑμῶν φρονοῦντας, ἀφοπλίσει δὲ ὅλως τοὺς μονομανεῖς κατηγόρους καὶ γελοίους καταδείξει. Ὅθεν, δέομαί σου, γράψον καὶ ἐμὲ ἐν τῷ καταλόγῳ τῶν συνδρομητῶν, πρὸς δὲ καὶ* Κάρολον, *καὶ* Ἀλφέρτον *τοὺς φιλτάτους ἡμῶν, καὶ πέμψον ἑκάστῳ ἡμῶν, εὐθὺς μετὰ τὴν ἐκτύπωσιν τοῦ ἔργου, ἀνὰ δέκα ἀντίτυπα.* Ἔῤῥωσο.

"Ἐν Λονδίνῳ τῇ 30 Μαΐου 1858."

Γράφει δὲ *καὶ ὁ κλεινὸς* Θωμᾶς *τάδε·*

"**M. H. 29 Ap. '58.**

"Sir,

"I am glad you are come to England, for I am very desirous to see your famous, celebrated book *Uranius*. Have you got it with you in London? I hope to be in London in a few days, but I should be glad to hear from you whether you will show me the *Uranius*, and whether you will *sell* it to me.

"I will wait here probably until your answer comes[1].

"I am yours,

"TH. PHILLIPPS."

Πρὸς *ταῦτα οὖν πάντα τὰ μαρτύρια κείσθω ὡς ἐπίμετρον καὶ ἅπερ ὁ* Τύπος *τῆς* Βιέννης *ἐκοινοποίησε τάδε·*

[1] Ἔγραψε δὲ ἡμῖν ὁ ἀνὴρ οὗτος Γαλλιστὶ καὶ πρότερον (ὅτε διέτριβον ἐν Μονάχῳ) περὶ πωλήσεως τοῦ Οὐρανίου, ἀλλ' ἀπέτυχε τῆς αὐτοῦ αἰτήσεως· ἤδη δὲ, ἐλθὼν καὶ θεωρήσας αὐτὸν ἀκριβῶς ηὐξήθη ἐπὶ μᾶλλον ἡ τῆς ἀποκτήσεως αὐτοῦ ἐπιθυμία, ἀλλ' ὡς ἤκουσεν ὅτι ἄλλοις δέδοται ἐμάνη καθ' ἡμῶν ὁ ἀνήρ. Ἔγραψε δὲ ἡμῖν καὶ ἐπιστολὴν τὴν περὶ τῆς ἀποτυχίας λύπην αὐτοῦ δηλοῦσαν· ἥ περ ἄρχεται ὧδε·

"Athenæum Club, 16 May, 1858.

"Sir,

"I am sorry you will not *allow* me to buy the *Uranius*." . . . .

"Simonides kein Fälscher.

"Der Grieche Simonides, der Clown der Philologie, schreibt die Berl. Morgenpost, ist unter ziemlich ehrenvollen Bedingungen seiner Haft entkommen, hat uns aber die schmerzlichsten Palimpsestischen Zweifel hinterlassen. In einigen juristischen Kreisen, welche an der Freilassung des besagten Handschriftenkünstlers grossen Antheil genommen haben, besteht nämlich die Ansicht, dass sein Ouranios dennoch echt sei, und eine grosse philologische Autorität soll ähnliches geäussert und hinzugefügt haben, dass Simonides, falls er den Ouranios wirklich angefertigt habe, doppelt so viel verdiene, als er von Professor Lepsius gefordert. Stellen wir aber die Frage von der Echtheit und Unechtheit ganz bei Seite, so muss es für uns Klippschüler der Gelehrsamkeit eine grosse Erquickung sein, die Herren und Meister der Wissenschaft endlich auf dem Sokratischen Standpunkte zu sehen, den der alte Weise so schön mit den Worten ausdrückte: '*Ich weiss nur, dass ich nichts weiss.*' Den geschickten und ehrlichen Simonides mag dagegen das Bewusstsein trösten, dass seine mühsame Arbeit nicht vergebens gewesen sei, und dass die Zukunft ihn an der Philologie rächen werde, welche ihm bei seinen Lebzeiten so viele Unannehmlichkeiten verursacht und ihn an den Rand des Suppenkessels der Stadtvoigtei gebracht. Er wird sein Palimpsest in den Winkel einer alten Bibliothek verstecken und es dem Lauf der Zeit überlassen, seine gekränkte Arbeit zu Ehren zu bringen.

"Im Jahre 1956, wenn über den Berliner Academicis längst Thiergartenmischung und Brennnesseln gewachsen sind, und selbst Dindorffs Gebeine im Mondenschein bleichen, findet dann vielleicht ein von Regierungsbrosamen unterstützter junger Geheimerathssohn im tiefen Staube jener Bibliothek den Ouranios und begründet durch diese Entdeckung seinen Ruf und seine ordentliche Professur. Wir sehen es mit dem strahlenden Auge eines begeisterten Sehers, wie jener glückliche Gelehrte einen Folianten über den kostbaren Fund schreibt, wie das jetzt so geschmähte Pergament in festlichen Zuge in den Sitzungssaal getragen, und auf den armen Simonides, der auch einen echten Ouranios besessen, aber von seinen argwöhnischen und

kurzsichtigen Zeitgenossen dass geschändet worden, eine Gedächtnissrede gehalten wird.

" Die Zeit ernährt und reift die Saat,
Es lohnt sich selber jede That."

Die Presse, No. 83. Wien.
Donnerstag, 10 April, 1856. 9 Jahrgang.

(Θ'.)

Ἀλληλογραφία περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ ναοῦ τοῦ ἁγίου Σάββα.

" Παρθένιος Σιμωνίδῃ ἐν Κυρίῳ χαίρειν.

" Χθὲς περὶ τὴν ἕκτην ὥραν μ.μ. παρόντων τῶν κυρίων Γεωργίου, Ἀντωνίου, Σάββα, Φιλαρέτου, Κωνσταντίνου, λόγος ἐγένετο πολὺς περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ ναοῦ τοῦ ἁγίου Σάββα, ἀλλ' οὐδὲν ἀπέβη δυστυχῶς ὑγιὲς, καίτοι ἐν συζητήσει παρελθούσης ὅλης τῆς νυκτός. Καὶ γὰρ τοῦ μὲν Σάββα οὕτω λέγοντος, τοῦ δὲ Νικολάου ἀντιλέγοντος, τῶν δὲ λοιπῶν διαιρεθέντων ταῖς γνώμαις, διελύθημεν ἄνευ ἀποτελέσματος. Δι' ὃ ἀπευθύνομαι ἤδη πρὸς ὑμᾶς ἐκ μέρους πάντων ἡμῶν, ὡς εἰς κατάλληλον λῦσαι τὸ ζήτημα τοῦτο, παρακαλῶν θερμῶς, ὅπως σαφηνίσῃς τὰ περὶ αὐτοῦ ἀκριβῶς· πότε δηλονότι, ἐν ποίῳ χώρῳ, ὑπὸ τίνος, καὶ ποσάκις ᾠκοδομήθη καὶ ἐπεσκευάσθη ὁ ναὸς τοῦ ἐν Ἀλεξανδρείᾳ ἁγίου Σάββα. Ταῦτα πάντα ζητοῦμεν ἤδη παρ' ὑμῶν εἴτε διὰ ζώσης φωνῆς, ἐὰν ἔλθητε πρὸς ἡμᾶς αὔριον τὴν ἑνδεκάτην ὥραν π. μ., ὅπως συμφάγωμεν καὶ τὰ περὶ τούτου ἀκούσωμεν, εἴτε ἐγγράφως ἐὰν αἰτία τις ἐμποδίσῃ ὑμᾶς. Ὑγιαίνετε.

" Ἐν Καΐρῳ ͵αωνβ'. Αὐγούστου κ'."

" Σιμωνίδης Παρθενίῳ τῷ φιλτάτῳ πλεῖστα, χαίρειν.

" Τὴν σὴν ἀσμένως ἐδεξάμην· καὶ ἰδοὺ κατὰ τὴν ἐπιθυμίαν σου ἀπαντῶ σοι ἐγγράφως, πρὸς ὅσα ἠξίωσάς με γράψαι, μὴ δυνάμενος ἵνα πρὸς σὲ ἔλθω· ἀναχωρῶ γὰρ εἰς Ἀλεξάνδρειαν σήμερον περὶ ὥραν ἑβδόμην μ. μ., δι' ἣν οἶδας σοβαρὰν ὑπόθεσιν. Δι' ὃ ζητῶ συγγνώμην καὶ παρὰ σοῦ καὶ παρὰ τῶν φίλων αὐτῶν.

" Ὁ ναὸς τοίνυν τοῦ ἐν Ἀλεξανδρείᾳ ἁγίου Σάββα ἱστορεῖται ὡς εἷς τῶν τεσσαράκοντα ναῶν τῶν ἐπὶ τῆς βασιλείας τοῦ ἰσαποστόλου Κωνσταντίνου οἰκοδομηθέντων, ὥς φησι Διονύσιος ὁ Μάγνης, ὁ Λιβύης μητροπολίτης, ὁ τοῦ 'περὶ ὁμωνύμων ποιητῶν καὶ συγγραφέων ἀπανθίσματος' συντάκτης ἐκεῖνος ἐν τῷ περὶ ναῷ αὐτοῦ συντάγματι. Ὠκοδομήθη δὲ, ὡς ὁ αὐτός φησι Διονύσιος, ἐπὶ τῶν ἐρειπίων τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος ἐν τῷ δεκάτῳ ἔτει (τιϛ' μ. Χ.) τῆς Κωνσταντίνου

βασιλείας, τοῦ δήμου τῶν Ἀλεξανδρέων δαπάνῃ ἐπ' ὀνόματι τῶν ἁγίων Ἀποστόλων, καὶ καθωράϊσεν αὐτὸν ψηφίοις Ἀνδρέας ὁ Ἀλεξανδρεὺς, τῷ εἰκοστῷ τῆς Κωνσταντίνου βασιλείας ἔτει. Μετὰ δὲ χρόνον τινὰ ἤτοι τῷ υκ' Θεοδόσιος ὁ νεώτερος ἀνεκαίνισεν αὐτὸν ἐξ ὁλοκλήρου. Ἐν δὲ τῳ χιέ ἐπὶ τῆς βασιλείας Ἡρακλείου καταπεσὼν ἀπὸ σεισμοῦ Σάββας τις, εἷς τῶν ζαπλούτων τῆς Ἀλεξανδρείας, ἰδίᾳ δαπάνῃ ἀνήγειρε καὶ τῷ ἁγίῳ Σάββᾳ καθιέρωσε καὶ γραφαῖς ἐκαλλώπισεν ὁ Ἁλικαρνασσεὺς Δημήτριος. Τῷ δὲ χμ' πυρὶ παραδοθέντος ὑπὸ τοῦ Ἀμροῦ στρατηγοῦ τοῦ Ὀμὰρ, τοῦ ἐν τῷ αὐτῷ ἔτει κυριεύσαντος τὴν Ἀλεξάνδρειαν ἀνηγέρθη τῷ ωπθ'· τρίτῳ δὲ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ, συγκαταθέσει τῶν κρατούντων τῆς Ἀλεξανδρείας βαρβάρων, καὶ δαπάνῃ τῶν κατοίκων Χριστιανῶν, καθάπερ φησὶ καὶ ἡ ἐπιγραφὴ ἥδε·

" '✠ Ὁ Ναὸς οὗτος τοῦ ἐκ μητρὸς ἡγιασμένου Σάββα ἀνηγέρθη τέταρτον ἤδη ἐῤῥάνῳ μὲν τῶν ἐνταῦθα Χριστιανῶν, ἐπιστασίᾳ δὲ Σαμουὴλ τοῦ πρεσβυτέρου ἐν τῷ τρίτῳ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ. Ἔτει δὲ ἀπὸ κτίσεως κόσμου ϛ,τηζ'. Ἰνδικ. ζ'. Μαΐου ιη'.' "

" Καταστραφεὶς δὲ αὖθις ἐν τῷ ͵αχθ' ὑπὸ τῶν βαρβάρων, ὅτε μάλιστα Ῥωμανὸς ὁ Διογένης ἐν Βυζαντίῳ ἐβασίλευεν, ἐγείρεται πάλιν τῷ ͵ατκη' ὑπὸ τοῦ Μητροπολίτου Λιβύης Σεραφεὶμ, τοῦ Ἀλεξανδρέως, ἐξωσθεὶς τοῦ θρόνου ὑπὸ τοῦ ἐγγόνου αὐτοῦ Ἀνδρονίκου τοῦ τρίτου, τοῦ καὶ τὴν ἀρχὴν κατασχόντος. Ἐρημωθεὶς δὲ μετὰ χρόνον τῶν κρατούντων ἕνεκα, ἀνηγέρθη τῷ ͵αφξη' ἐπὶ τῆς δυναστείας τοῦ Σουλτὰν Σελίμι τοῦ Β', αἰτήσει τοῦ Οἰκουμενικοῦ Πατριάρχου Μητροφάνους τοῦ Γ', τοῦ καὶ ὑπὸ Μιχαήλου Κατακουζηνοῦ τοῦ Ἀγχιάλου συκοφαντηθέντος παρὰ τοῖς Τούρκοις, καὶ τοῦ θρόνου ἀποβληθέντος. Ἀλλὰ τῷ ͵αχκε' ἐπιπεσόντων αἴφνης τῶν βαρβάρων κατὰ τοῖς ἑορτάζουσι τὴν Ἀνάστασιν τοῦ Σωτῆρος τότε Χριστιανοῖς, ἀπέσφαξαν πάντας ὡς ἀρνία, διήρπασαν τὴν μονὴν καὶ κατέκαυσαν αὐτήν· τὸν δὲ ἡγούμενον, Ἀκάκιον τοὔνομα, Μεγιστέα τὸ γένος, ἔῤῥιψαν εἰς τὰς φλόγας ζῶντα. Ἐν δὲ τῷ ͵αχπζ' ἐπὶ τῆς δυναστείας Σουλεϊμάνου τοῦ Β', ᾠκοδόμηται αὖθις ὁ νῦν σωζόμενος αἰτήσει τοῦ τότε Οἰκουμενικοῦ Πατριάρχου Ἰακώβου· καθωράϊσε δὲ αὐτὸν γραφαῖς Φίλιππος ὁ Κρὴς τῷ ͵αχπ'. Τοῦτον μετὰ χρόνον ἐπεσκεύασε καὶ ὁ Μητροπολίτης Λιβύης Μισαὴλ ὁ Συμαῖος, ὃς καὶ ἐτελεύτα τῷ ͵αψπα' Δεκεμβρίου ε' κατὰ τὸ ἐπιτύμβιον τὸ ἐν τῷ αὐτῷ ναῷ καί τινες ἕτεροι ὕστερον, οἳ καὶ τὴν ὅλην οἰκοδομίαν ἰδιοποιήσαντο. Καὶ ταῦτα, ὦ φίλε, ἐν συνόψει περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ ναοῦ τοῦ ἁγίου Σάββα. Περὶ δὲ τῶν λοιπῶν ναῶν ἐπανελθὼν εἰς Κάϊρον, Θεοῦ θέλοντος, ζώσῃ φωνῇ διασαφήσω σοι. Ἔῤῥωσο.

" Ἐν Καΐρῳ ͵αωνβ'. Αὐγούστου εἰκοστῇ πρώτῃ."

(Γ'.)

" Δωσιάδης ὁ Ἀπολλοφάνους καὶ Κλεοφύλης τὸ γένος ἦν Καμιρεύς· ἡ δὲ Κάμιρος πόλις ἐν Ῥόδῳ ἐπιφανεστάτη. Ἐγεννήθη δὲ οὗτος ἐν τῷ τρίτῳ ἔτει τῆς ἐννενηκοστῆς ἕκτης Ὀλυμπιάδος, ἐτελεύτα δὲ τῷ πρώτῳ ἔτει τῆς εἰκοστῆς ἑβδόμης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ὡς Δημήτριός φησιν ὁ Μάγνης. Ἔγραψε δὲ βωμοὺς δύω καὶ θώρακας ἑπτὰ, ὧν ὁ πρῶτος Σέσωστρει τῷ βασιλεῖ ἐπιγέγραπτο. Ἐγένετο δὲ καὶ ἕτερος Δωσιάδης, Θεοκρίτῳ συνακμάσας, ὁ τῶν Κρητικῶν ἀπογραφεὺς ἐκεῖνος, Ἰδαίου μὲν καὶ Νικίππης υἱὸς, τὸ δὲ γένος Κρής. Ἔγραψε δὲ πρὸς τοῖς Κρητικοῖς καὶ Αἰγύπτου χρονικὰ ἐν βίβλοις ἑπτὰ, ὡς Δημήτριός φησιν ὁ Μάγνης. Ἔστι δὲ καὶ ἕτερος Κνίδιος τὸ γένος ὁ Ξανθίππου, Ἀπολλωνίῳ μὲν τῷ Ῥοδίῳ συνακμάσας, τελευτήσας δὲ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Ἔγραψε δὲ οὗτος Κνίδου ἀρχαιολογίαν ἐν βίβλοις δύω, καὶ πίνακας ἱστορικοὺς τῆς Καρικῆς χερσονήσου ἑβδομήκοντα." (οὕτως ὁ Λιβύης Διονύσιος ἐν τῷ περὶ ὁμωνύμων ποιητῶν καὶ συγγραφέων πολυτίμῳ Ἀπανθίσματι.)

Μέχρι μὲν πολλοῦ ἠγνοεῖτο παρὰ πάντων ἀληθῶς ὁ πατὴρ τῶν δύω σωζομένων βωμῶν, ἄλλων ἄλλῳ ἐπιγραφόντων αὐτοὺς, ὡς ἔδοξεν ἑκάστῳ τῶν ἐκδοτῶν, καὶ μέχρι τῆς δεῦρο ἀμφιβάλλεται παρά τισι τῶν κριτικῶν, εἰ αὐτός ἐστιν ἀμφοτέρων ὁ πατὴρ, ἢ ἕτερός τις· ὅσον δὲ ἐκ τοῦ χαρακτῆρος τοῦ λόγου, οὐδεμία ὑπάρχει διάκρισις· καὶ αὗται μὲν αἱ ἀπορίαι ἐγεννήθησαν, διὰ τὸ μὴ ἔχειν τοὺς σοφοὺς ἐρευνητὰς τὰ κατάλληλα βοηθήματα· ἀλλ' ἤδη ἐκ τῆς ἀναμφισβητήτου ταύτης μαρτυρίας, οὐ μόνον τοῦτο βεβαιούμεθα εὐτυχῶς, ὅτι δηλαδὴ αὐτὸς οὗτος ὁ Ἀπολλοφάνους Δωσιάδης ἀμφοτέρων ἐστὶ τῶν σωζομένων βωμῶν ὁ πατὴρ, καὶ πᾶσα περαιτέρω περὶ τούτου συζήτησις παύεται, καὶ τὰ γραφόμενα τινῶν ὀξυγράφων μηδενίζονται, διὰ τὸ ἐπὶ ἀπιθάνων εἰκασιῶν στηριχθῆναι· ἀλλὰ καὶ ποίας πατρίδος ἦν ὁ Δωσιάδης οὗτος, ἤδη πληροφορούμεθα, καὶ ποίων γεννητόρων υἱός· πρὸς δὲ καὶ τὸν χρόνον τῆς γεννήσεως αὐτοῦ ἅμα τε καὶ τῆς τελευτῆς, καὶ ὅτι παρεκτὸς τῶν βωμῶν καὶ θώρακας ἔγραψεν ἑπτά· ἔτι δὲ τὸ πάντων, ὡς οἶμαι, διαφέρον ἔστι τὸ γεγονέναι, καὶ ἑτέρους δύω ὁμωνύμους αὐτῷ, τὸν τοῦ Ἰδαίου καὶ τὸν τοῦ Ξανθίππου, τὸν μὲν Κρῆτα τὸ γένος τὸν δὲ Κνίδιον οἵτινες ἀμφότεροι διάφορα συνέγραψαν. Καὶ τὸν μὲν Κρῆτα, τὸν καὶ τὰ Κρητικὰ συγγράψαντα, ἀναφέρει καὶ Κλήμης ὁ Ἀλεξανδρεύς, ἐν τῷ τρίτῳ κεφαλαίῳ τοῦ προτρεπτικοῦ αὐτοῦ λόγου, καθάπερ καὶ τὸν Καμιρέα Λουκιανὸς ἐν Λεξιφάνει, ὃν Κρῆτα μάλιστα ὁ κλεινὸς Ἰακώβσιος εἰς ἓν συγχωνεύει τὸν Καμιρέα, κακῶς ποιῶν. Τοιαῦτα καὶ ἕτερ' ἄττα ἀσύγγνωστα ἁμαρ-

τήματα ἀνεφύησαν, καὶ καθ' ἑκάστην ἀναφύονται διὰ τὸ ἀπολεσθῆναι τὰ κατάλληλα μαρτύρια τῶν ἀρχαίων, τὰ μὲν ὑπὸ τοῦ χρόνου, τὰ δὲ ὑπὸ τῶν βαρβάρων· τὸ δὲ εὐτυχῶς περισωθὲν πολύτιμον Ἀπάνθισμα τοῦ Διονυσίου, πολλὰ διορθώσει τοιαῦτα τῶν φιλολόγων ἁμαρτήματα. Ἐπικυρεῖ δὲ τὰ τοῦ Διονυσίου καὶ ἕτερον χειρόγραφον ἐν διφθέραις, λίαν ἀρχαῖον, ἐν Ἄθῳ ἀνακαλυφθὲν, κεφαλαιώδεσι γράμμασι γεγραμμένον, ἐν ᾧ σὺν ἄλλοις ποιήμασι διαφόρων ποιητῶν καὶ οἱ γνωστοὶ τοῦ Δωσιάδου δύω βωμοὶ ἀπαντῶνται, διάφορον ἔχοντες καὶ περίεργον τὸ σχῆμα, ὡς πρὸς τὴν διάθεσιν τῶν γραμμάτων, σχηματίζοντες ἀληθῶς βωμοὺς καὶ φέροντες τοιαύτην ἐπιγραφήν·

"ΔΩΣΙΑΔΟΥ ΑΠΟΛΛΟΦΑΝΟΥΣ
ΤΟΥ ΚΑΜΙΡΕΩΣ ΒΩΜΟΙ ΔΥΩ."

Τὰ δὲ λοιπὰ τῶν τοῦ χειρογράφου ποιημάτων ἐστὶ τὰ τρία τοῦ Τυρταίου γνωστὰ πολεμιστήρια ᾄσματα, οὑτωσὶ ἐπιγραφόμενα·

"ΟΡΝΥΤΙΩΝΙ ΝΙΚΟΚΡΕΟΝΤΟΣ ΤΩΙ ΑΛΕΞΑΝΔΡΕΙ ΤΑ ΤΥΡΤΑΙΟΥ ΑΡΧΙΜΒΡΟΤΟΥ ΤΟΥ ΑΛΩΠΕΚΕΩΣ ΠΟΛΕΜΙΣΤΗΡΙΑ ΜΕΛΗ ΛΕΥΚΙΠΠΙΔΗΣ ΛΕΑΓΡΟΥ Ο ΙΑΣΣΕΥΣ."

Ἡ δὲ ἐπιγραφὴ αὕτη σχηματίζει τοῖς γράμμασι διάγραμμα ναοῦ. Τῶν δὲ πολεμιστηρίων μελῶν τούτων ἔχονται εὐθὺς οἱ τοῦ Δωσιάδου βωμοὶ, καὶ τῶν βωμῶν τὰ τοῦ Σιμμίου τεχνοπαίγνια, τοιαύτην ἔχοντα τὴν ἐπιγραφήν·

"ΣΙΜΜΙΟΥ ΘΡΑΣΥΜΗΔΟΥΣ ΡΟΔΙΟΥ ΤΕΧΝΟΠΑΙΓΝΙΑ ΠΤΕΡΥΞ ΠΕΛΕΚΥΣ ΩΟΝ ΣΥΡΙΓΞ."

Τούτων δὲ ὕστερον ἕπεται ὁ γνωστὸς τοῦ Μεσομήδους εἰς Νέμεσιν ὕμνος, ἐπιγραφόμενος

"ΜΕΣΟΜΗΔΟΥΣ ΠΟΛΕΜΩΝΟΣ ΟΛΟΦΥΞΙΟΥ ΥΜΝΟΣ ΕΙΣ ΝΕΜΕΣΙΝ."

Τοῦ ὕμνου δὲ τούτου ἕπεται ἡ

"ΑΡΥΟΝΟΣ ΕΥΡΥΜΑΧΟΥ ΤΟΥ ΜΗΘΥΜΝΑΙΟΥ ΩΙΔΗ."

Διὰ τούτου τοίνυν τοῦ χειρογράφου, τοῦ πρὶν μὲν ἡμετέρου ὄντος, νῦν δὲ τοῦ ἐν ἀρχαιολόγοις κλεινοῦ καὶ ἀρχαιοδώκτου, Θωμᾶ Φιλίππου, μέλους διαφόρων ἑταιριῶν σὺν ἄλλοις ἐξαργυρωθὲν, πρὸς αἰώνιον αἶσχος τῶν ἡμετέρων, καὶ τὰ τῆς πατρίδος τῶν ἀναφερομένων ποιητῶν πληροφορούμεθα ἀρκούντως καὶ τὰ τῶν πατέρων αὐτῶν σύμφωνα ὅλως ὄντα πρὸς τὰ τοῦ Διονυσίου γραφόμενα.

Ὑπάρχει δὲ καὶ ἕτερον μαρτύριον διαβεβαιοῦν τοὺς βωμοὺς ἀμφο-

τέρους Δωσιάδου εἶναι, ἡ ἀκόλουθος ἐπιγραφὴ, περίεργος οὖσα, οὐ μόνον διὰ τὴν αὐτῆς ἀρχαιότητα, ἀλλὰ καὶ διὰ τὴν ἐπίνοιαν τῆς διαγραφῆς, ἐν ᾗ πολλαχῶς καὶ πολυτρόπως τὸ ὄνομα τοῦ Δωσιάδου καὶ τὰ τῷ ὀνόματι ἑπόμενα ἀναγινώσκεται, ὥς περ καὶ ἡ τοῦ Λεοντίου ἐπιγραφὴ (ὅρα σελ. 130) *ἔχει δὲ τὰ τῆς ἐπιγραφῆς οὕτω·*

"ΔΩΣΙΑΔΟΥ ΑΠΟΛΛΟΦΑΝΟΥΣ ΤΟΥ ΚΑΜΙΡΕΩΣ ΒΩΜΟΙ ΔΥΩ" . . . .


Τὴν δὲ διάθεσιν τῆς γραφῆς ὧδ' ἔχει·

Ω Υ Δ Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι Δ Υ Ω
Υ Δ Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι Δ Υ
Δ Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι Δ
Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι
Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο
Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ
Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω
Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β
Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ
Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω
Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε
Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ
Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι
Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ
Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α
Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ
Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Ι Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ
Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Ι Σ Ι Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο
Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Ι Σ Ω Σ Ι Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ
Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Ι Σ Ω Δ Ω Σ Ι Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ
Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Ι Σ Ω Σ Ι Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ
Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Ι Σ Ι Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο
Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Ι Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ
Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Α Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ
Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Δ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α
Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Ο Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ
Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Υ Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι
Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Α Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ
Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Π Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε
Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Ο Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω
Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Λ Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ
Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Λ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β
Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Ο Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω
Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Φ Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ
Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Α Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο
Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Ν Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι
Δ Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Ο Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι Δ
Υ Δ Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Υ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι Δ Υ
Ω Υ Δ Ι Ο Μ Ω Β Σ Ω Ε Ρ Ι Μ Α Κ Υ Ο Τ Σ Τ Ο Υ Κ Α Μ Ι Ρ Ε Ω Σ Β Ω Μ Ο Ι Δ Υ Ω

Καὶ οὕτω μὲν ἔχει ἡ ἐπιγραφή· συνέχονται δὲ ταύτῃ καὶ οἱ δύω τοῦ ποιητοῦ Δωσιάδου γνωστοὶ βωμοί. Ἀνεσκάφη δὲ αὕτη, καθὰ καὶ προείρηται, ἐν τοῖς κατὰ τὴν νῆσον Ῥόδον ἐρειπίοις τῆς Καμίρου πόλεως σὺν ἄλλαις ἑπτακαίδεκα ἐπιγραφαῖς. Ἔχει δὲ ἡ πλὰξ τὸ μὲν ὕψος

τρίπηχες, τὸ δ' εὖρος δίπηχες. Ἐκδώσω δὲ τὸ τῆς πλάκος ταύτης πιστὸν ἐκμαγεῖον ἐν τοῖς Νησιωτικοῖς· ἐν οἷς μάλιστα καὶ πάσας τὰς ἐν ταῖς νήσοις ἀνασκαφείσας ὑπ' ἐμοῦ ἐπιγραφάς· πολλαὶ γάρ εἰσιν αὗται καὶ σπουδαῖαι λίαν.

Τοιαύτης δὲ διαθέσεως ἐπιγραφαί, ὡς ἡ τοῦ Δωσιάδου καὶ ἡ τοῦ Λεοντίου, σώζονται καὶ ἐν χειρογράφοις, ἐξ ὧν μάλιστα καὶ ὁ κλεινὸς Μοντφοκὼν μεταγράψας μίαν ἐξέδωκεν ἐν τῇ Ἑλληνικῇ αὐτοῦ παλαιογραφίᾳ (ὅρα ἐν σελ. 297)· πρὸς ταύτῃ δέ, καὶ σταυροειδεῖς ἐπιγραφὰς ἐκοινοποίησε δύω, ὧν ἡ μὲν πρώτη τὴν ἐπ' ὀρθὸν δείκνυσι γραφὴν συνηθεστάτην παρὰ τοῖς Βυζαντινοῖς οὖσαν (ὅρα ἐν σελ. 309)· ἡ δὲ δευτέρα τὴν κιονιδὸν ἅμα τε καὶ τὴν ἐκ δεξιῶν καὶ τὴν ἐξ ἀριστερῶν ἥ περ διαγράφεται ὧδε·



Φράζει δὲ αὕτη τάδε·
"ΕΛΕΝΗ ΕΚ ΘΕΟΥ ΕΥΡΕΜΑ ΕΔΟΘΗ."
Πρὸς ταύτῃ δὲ κείσθω καὶ ἡ ἐχομένη ταύτης, ἥ περ ἐν Πατάροις ἀνεσκάφη, καὶ ἥ περ φράζει τάδε·
"ΧΡΙΣΤΟΣ ΧΡΙΣΤΙΑΝΟΙΣ ΧΑΡΙΝ ΧΑΡΙΖΕΤΑΙ."
Πολλαὶ δέ, καὶ ἐν Ἄθῳ σταυροειδεῖς ἀνεκαλύφθησαν ἐπιγραφαί, ἀμφοτέρας μαρτυροῦσαι τὰς γραφάς, αἵ περ ἐν τῇ Ἀθωνιάδι ὁμοιογράφως δημοσιευθήσονται. Ἀλλὰ καὶ τὸ Χριστιανικὸν μονόγραμμα ΧΡ εὕρηται ἐν πολλοῖς Χριστιανικοῖς μνημείοις ἐστρεμμένην ἔχον τὴν γραφὴν καὶ πρὸς τὰ ἀριστερὰ καὶ πρὸς τὰ δεξιά· ἀπαντᾶται δὲ τὸ τοιοῦτον καὶ ἐν τῷ πρώτῳ τόμῳ τῶν καταλόγων τῆς Λεοπολδικῆς βιβλιοθήκης (ὅρα ἐν σελ. 726). ὁ δὲ κατάλογος τῆς Μαρκιανῆς βιβλιοθήκης σώζει πολλὰ μαρτύρια τῆς ἐπ' ὀρθὸν γραφῆς (ὅρα ἐν σελ. 18)· ὥστε οἱ λέγοντες ὅτι αἱ γραφαὶ αὗται, ἥ τε βουστροφηδὸν δηλονότι, καὶ ἡ κιονιδὸν, ἔπαυσαν γραφόμεναι

πρὸ ἐξ ἀμνημονεύτων χρόνων, οὐκ ἴσασι τί λέγουσι καὶ παυσάτωσαν, πρὸς Θεοῦ, παιδαριωδῶς φρονοῦντες· ἀνοίκειος γάρ ἐστι σοφοῖς ἀνδράσιν ἡ τηλικαύτη ἀσύγγνωστος ἄγνοια· παυσάτωσαν δὲ καὶ οἱ φίλοι Ἐρασμῖται ἀναλύειν τὰς διφθόγγους, ὅτι καὶ ἐν ταῖς ἐπ' ὀρθὸν Βυζαντιναῖς ἐπιγραφαῖς οὐκ ἀπαντᾶται τοιαύτη μωρὰ καινοτομία· καὶ ἀκουσάτωσαν οἱ καινοτόμοι καὶ Θουκυδίδου λέγοντος τάδε . . . . "Ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι,

Ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ·

Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις, μὴ λοιμόν ὠνομᾶσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν· ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος, εἰκότως, λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον, τὴν μνήμην ἐποιοῦντο." (Βιβλ. β'. § 54.) Ἐν τῷ χωρίῳ τούτῳ τοῦ Ἱστορικοῦ ἕκαστος καθορᾷ, ὡς εἴ περ οἱ δίφθογγοι ἐπροφέροντο Ἐρασμικῶς πάντως γε ἂν ἐγίνωσκον οἱ τότε τὶ τὸ μαντεῖον μαντεύεται καὶ οὐδεμία ἐγένετο ἔρις τοῖς ἀνθρώποις περὶ τῆς κυρίως ἐννοίας τῆς λέξεως· παυσάτωσαν οὖν οἱ τῆς μωρᾶς καινοτομίας ὀπαδοὶ κακουργοῦντες τὴν μουσικὴν (καθά φησιν ἡ παροιμία) τῇ ἀναλύσει τῶν διφθόγγων, ἵνα μή ποτέ τις ὑμῶν τὸν ΑΥ̓ΛῸΝ ἀναλύων ἊΫΛΟΝ ἐκλάβουσι λέγειν οἱ ἀκούσοντες αὐτοῦ· καὶ τότε φωνήσουσιν αὐτῷ, καταγελάστως, οἱ κληρονόμοι τῆς ἀληθοῦς φωνῆς τῶν Ἑλλήνων, οἱ γνήσιοι, φημὶ, ἀπόγονοι τῶν ἡμιθέων ἐκείνων Ἕλληνες, τὸ, οὐαί σοι, ὦ ἄνθρωπε, ἅπαντ' ἐρίζεις καὶ συνιεῖς οὐδὲ ἕν· ὁδοῦ γὰρ παρούσης τὴν ἀτραπὸν ζητεῖς. Καὶ τοσαῦτα μὲν καὶ περὶ τούτων παροδικῶς· ἐροῦμεν δὲ ἐν ἄλλοις κατὰ πλάτος τὰ εἰκότα, ὅτι ἐν τῷ παρόντι σπουδαιότερα ἐπασχολοῦσιν ἡμᾶς ἔργα.

ΕΠΙΓΡΑΦΑΙ

ΑΘΩΪΔΕΣ

ΤΡΕΙΣ ΠΡΟΣ ΤΑΙΣ ΕΙΚΟΣΙΝ ΕΝ ΑΙΣ

ΚΑΙ ΝΟΜΙΣΜΑΤΑ ΔΥΩ

ΑΙ ΠΕΡ

ΕΝ ΑΘΩΙ ΕΚΚΑΛΥΦΘΕΙΣΑΙ ΤΩΙ ΟΡΕΙ

ΥΠΟ

Κ. ΣΙΜΩΝΙΔΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΤΩ ͵ΑΩΝΑ′

ΚΑΙ ΠΡΩΤΟΝ ΗΔΗ ΕΝ ΛΟΝΔΙΝΩΙ ΚΟΙΝΩΘΕΙΣΑΙ

ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ

ΤΩΙ

ΚΛΕΙΝΩΙ ΜΟΥΛΛΑΧΙΩΙ

ΑΝΔΡΙ ΤΑΜΑΛΙΣΤΑ ΣΟΦΩΙ

ΚΑΙ

ΑΡΕΤΗΙ ΚΕΚΟΣΜΗΜΕΝΩΙ ΠΑΝΤΟΙΑΙ

ΚΑΘΙΕΡΟΥΝΤΑΙ.


͵ΑΩΝΘ′.

"Πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει."

A'.




ΑΞ Α'.













ΚΡΑΝΑΟΣΠΕ.ΡΔΙΚΚΑΣΦΩΚ
ΔΡΑΚΩΝΔΙΟΡΦΟΣΛΑΟΔΑΜ
ΑΦΡΟΔΙΤΗΙΕΥΛΟΧΩΙΥΠΤΗ


ΔΙΟΣΚΟΥΡΟΙΝΘΕΟΙΝ


ζ'.


ΔΙΟΣΚΟΥΡΙΕΣ
ΝΕΣΤΟΡΑΓΛΑ





ΕΤΙΜΗϹΑΝ
ΡΑΓΑΘΙΑΙ


ι'.


ΚΟΙΝΗΙ ΤΟΥ ΔΗΜΟΥ
ΨΗΦΩΙ
ΑΓΑΘΟΚΛΕΑ ΑΡΧΙΕΡΕΑ
ΛΑΜΠΡΩΣ ΑΡΧΙΕΡΑΤΕΥ
ΣΑΝΤΑ Η ΠΟΛΙΣ ΔΙΕΩΝ
ΤΟΝ ΕΑΥΤΗΣ ΕΥΕΡΓΕΤΗΝ


ιβ'.




ιγ'.


ΚRΟΝΟΟΙΕΥRΥΓΕΝΕΙΟΟΙ
KARIΟΠΟΛΙΤΑΙΟΙΔΙΚΤΙ
ΟΙΟΛΟΦΥΞΙΟΙΤΟΝΒΟΟΜΟΝ


ιδ'.


ΚΡΟΝΩΙΕΥΡΥΓΕΝΕΙΩΙ
ΦΙΛΟΚΡΑΤΗΣΦΕΙΔΙΟΥ
ΟΝΕΩΚΟΡΟΣΑΝΕΘΗΚΕΝ


ιϛ'.


Τ·ΥΦΑΩΝΥΨΥΝΟΡΟΣΟΘΥΣΣΙΟ
ΗΓΗΑΝΔΡΟΥΟΚΛΕΩΝΕΥΣΕΚ


ιζ'.


ΟΔΕΕΜΟΣΟΚΑΡΙΑ
ΑΓΕΣΤΡΑΤΟΟΙΕΥΡ
ΕΤΕΕΙΚΟΙΜΟΟΙΚΑΙ
ΤΕΕΣΑΡΚΗΙΓΕΝΕΤΗ
ΡΙΟΝ


ιη


ΚΑΧΧΙΩΝΑ ΔΕ ΗΣ
ΟΠΙΣΘΟΔΟΜΟΝ ΘΕ


ιθ'.


ΕΝΝΟΣΙΓΑΙΟΙΤΕΕΝ
ΑΥΝΟΙΜΕΓΑΚΛΕΟΥΣ
ΠΑΙΔΕΣ


κα'.


ΕΔΟΞΕ ΤΟΙΣ ΤΩΝ ΟΛΟΦΥΞ
ΘΕΤΑΙΣ ΣΤΕΦΑΝΩΣΑΙ Σ
ΛΟΥ ΤΙΤΥΩΝ ΑΔΕΙΜΑΝΤ
Π ΤΗΝ ΚΑΙ ΛΟΞΙΑΝ ΕΠΙΓ
ΜΝΗΜΟΝΑ ΚΑΙ ΑΓΕΣΤΡ
ΦΑΝΟΥ ΤΟΝ ΙΕΡΟΠΟΙΟΝ
Δ.ΙΚΑΙΟΣΥΝΗΣ ΕΝΕΚΑΚ
ΔΗΜΟΝ ΕΥΠΡΑΠΑΣΑΝ ΑΓ
ΙΟΔΙΟΝ ΤΟ ΔΕ ΤΟ ΨΗΦΙΣΜΑ
ΑΙ ΣΤΗΣΑΙ ΕΝ ΤΩΙ ΙΕΡΩΙ Τ
ΘΗΝΑΣ ΤΟΝ ΙΕΡΟΣ ΤΟΛΙΣ

κβ'.


ΗΑΚΡΟΘΩΩΝ ΠΟΛΙΣ ΚΑΙ Γ
ΤΑΙΩΝ ΚΑΙ ΣΕΡΜΥΛΙΑΙΩΝ Τ
ΦΕΥΤΟΥ ΑΘΗΝΑΣ ΑΕΤΩΜ
ΘΕΟΥ

κγ'.


ΑΓΑΘΗΙ ΤΥΧΗΙ
ΤΟΝ ΚΡΑΤΙΣΤΟΝ ΚΑΙ ΑΡΙ
ΣΤΟΝ ΠΟΛΙΣΣΟΝΟΜΩΝ
ΘΕΟΚΡΙΤΟΝ ΕΡΜΙΠΠΟΥ
ΠΑΡΑ ΤΗΙ ΑΝΥΜΦΕΥΤΩΙ
ΑΘΗΝΑΙ Η ΟΛΟΦΥΞΙΩΝ
ΠΟΛΙΣ ΤΟΝ ΕΑΥΤΗΣ ΕΥΕΡ
ΓΕΤΗΝ

AI πρῶτον ἤδη ἐκδιδόμεναι ἀνὰ χεῖρας Ἀθωΐδες ἐπιγραφαὶ ἐν Ἄθῳ ἐξεκαλύφθησαν τῷ Ὄρει σὺν ἄλλαις τέσσαρσι καὶ ὀγδοήκοντα, ὧν τὸ περιεχόμενόν ἐστι λίαν σπουδαῖον· καὶ γὰρ οὐ μόνον ἤθη καὶ θεσμοὺς θρησκευτικούς τε καὶ πολιτικοὺς τῶν Ἀθώων λαῶν ἐκείνων τὸ παράπαν ἀγνωομένους, καὶ ἀναθέσεις, καὶ ἱστορικὰς πληροφορίας, ἅμα δὲ καὶ γεωγραφικὰς πόλεων καὶ χωρῶν καθόλου ἀγνώστων, ὥς περ καὶ βωμῶν καὶ ἱερῶν οὐκ ὀλίγας περιέχουσιν· ἀλλὰ καὶ Ὀλυμπιάδων ἀναγραφὰς τῆς Μακεδονικῆς πόλεως Δίου, ἥν περ ἄλλοι Διαστάδα καλοῦσιν· ἐτελοῦντο γὰρ ὡς πάντες ἴσμεν, ἐκ τῶν ἱστοριῶν, καὶ ἐν τῇ πόλει ἐκείνῃ Ὀλυμπιακοὶ ἀγῶνες· ἄρχεται δὲ ἡ τούτων γραφὴ ἀφ' ἧς ἱδρύθησαν ἐποχῆς καὶ καταλήγουσιν ἐπὶ τῆς ὑπὸ τῶν Ῥωμαίων καταστροφῆς τῆς Κορίνθου· περιέχεται δὲ τὸ πᾶν τῶν Ὀλυμπιάδων, ἐν τέσσαρσιν ἀνδρομήκεσι πλαξὶ λίαν σμικροῖς γράμμασι γεγραμμένον· ἐπιγράφονται δὲ ὧδε· "Ἀναγραφαὶ Ὀλυμπιάδων τῶν ἐν τῇ Διαστάδι πόλει τῆς Μακεδονίας τελουμένων, ἅς περ Εὐμένης Ἀντιπάτρου ὁ Διοσκουριεὺς ἔγραψεν ἀπὸ τῶν ἄνωθεν τὴν ἀναγραφὴν ποιούμενος χρόνων." Τούτων οὖν ἁπασῶν τὸ ἔκτυπον ἀπομαχθήσεται ἡλιοτυπικῶς καὶ διαδοθήσεται τοῖς ἀνθρώποις ἅμα τῇ Ἀθωνιάδι καθάπερ ἀλλαχοῦ γέγραπται. Καὶ τοσαῦτα μὲν ἐνταῦθ' ἡμῖν ὡς ἐν βραχέσιν περὶ τούτων εἰρήσθω.

"Ἡ μὲν κακία, κἂν τὴν οἰκουμένην ἔχῃ μεθ' ἑαυτῆς, πάντων ἐστὶν ἀσθενεστέρα· ἡ δὲ ἀρετὴ, κἂν μεμονωμένη τύχῃ, πάντων ἐστὶ δυνατωτέρα."

ΧΡΥΣΟΣΤΟΜΟΣ εἰς ψαλμ. Ζ'.

ΟΛΙΓΑ
ΕΚ ΠΟΛΛΩΝ ΠΕΡΙ ΤΟΥ
ΑΠΟΣΤΟΛΙΚΟΥ ΠΑΤΡΟΣ
ΕΡΜΑ
ΑΣΥΓΚΡΙΤΟΥ ΤΟΥ ΛΑΟΔΙΚΕΩΣ

ΚΑΙ ΤΩΝ ΟΜΩΝΥΜΩΝ ΑΥΤΩΙ·

ΠΡΟΣ ΔΕ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΜΕΧΡΙΣ ΗΜΩΝ ΚΑΤΕΛΘΟΝΤΩΝ

ΑΠΟΓΡΑΦΩΝ ΤΩΝ

ΠΟΙΜΕΝΙΚΩΝ

ΑΥΤΟΥ ΓΡΑΦΩΝ ΕΝ ΠΑΡΟΔΩΙ·

ΣΥΝΤΕΘΕΝΤΑ ΤΕ ΚΑΙ ΕΚΔΟΘΕΝΤΑ

ΥΠΟ

Κ. ΣΙΜΩΝΙΔΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

ΠΡΟΣΤΙΘΕΤΑΙ ΔΕ ΤΟΥΤΟΙΣ ΚΑΙ ΤΑ ΑΧΡΙΣ ΗΜΕΡΑΣ ΑΝΕΚΔΟΤΑ ΤΡΙΑ ΚΑΙ ΗΜΙΣΥ ΕΔΑΦΙΑ ΤΟΥ ΕΝΝΑΤΟΥ ΚΕΦΑΛΑΙΟΥ ΤΩΝ ΠΑΡΑΒΟΛΩΝ ΚΑΙ ΤΟ ΔΕΚΑΤΟΝ ΟΛΟΚΛΗΡΟΝ.

ΤΑΥΤΑ ΔΕ ΠΑΝΤΑ

ΣΥΝ ΤΑΙΣ ΔΥΣΙΝ ΕΠΙΣΤΟΛΑΙΣ ΤΩΝ ΙΕΡΑΡΧΩΝ ΜΑΡΚΟΥ ΤΟΥ ΘΕΙΟΤΑΤΟΥ ΚΑΙ ΛΑΖΑΡΟΥ ΤΟΥ ΙΕΡΟΥ

ΤΩΙ

ΑΝΑΝΙΑΙ ΑΜΠΕΤ

ΑΝΔΡΙ ΣΕΒΑΣΤΩΙ ΚΑΙ ΕΝΑΡΕΤΩΙ ΚΑΙ ΜΑΛΙΣΤΑ ΕΝ ΙΕΡΑΙΣ ΕΝΤΕΘΡΑΜΜΕΝΩΙ ΓΡΑΦΑΙΣ

ΕΙΣ ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΑΜΑ ΔΕ ΚΑΙ ΣΕΒΑΣΜΟΥ ΕΛΑΧΙΣΤΟΝ ΤΕΚΜΗΡΙΟΝ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΣΙΜΩΝΙΔΗΣ.

ΑΩΝΘʹ.

ΠΙΝΑΞ.

ΠΑΡΟΡΑΜΑ.

Ἐν τῷ 12 ςίχῳ τῆς 49 σελίδος ἀνάγνωθι "ἐκδίδωμι." Ἐν δὲ τῷ περισελιδίῳ τῆς 65 σελ. ἀνάγνωθι "Κυρ[ίου]·" ἀνάγνωθι δὲ καὶ ἐν τῷ τῆς 134 σελίδος 29 ςίχῳ "ἴσμεν καὶ τὴν γραφήν." Ἐν δὲ τῷ 15 ςίχῳ τῆς 139 σελ. ἀνάγνωθι "Τουρκο-πατρόκλου."

Περὶ τοῦ Ἀποστολικοῦ πατρὸς Ἑρμᾶ Ἀσυγκρίτου τοῦ Λαοδικέως καὶ τῶν ὁμωνύμων αὐτῷ· πρὸς δὲ καὶ περὶ τῶν μέχρις ἡμῶν κατελθόντων ἀπογράφων τῶν Ποιμενικῶν αὐτοῦ γραφῶν ἐν παρόδῳ.

Τεσσαρασκαίδεκα οἶδα γεγονότας ἄνδρας τῷ Ἀποστολικῷ πατρὶ ἡμῶν Ἑρμᾷ ὁμωνύμους, ὧν οἱ μὲν πέντε πολλῷ τῷ χρόνῳ εἰσὶ τούτου πρεσβύτεροι, οἱ δὲ νεώτεροι· δύω δὲ τούτων μόνοι σύγχρονοι, ὧν ὁ μὲν ἕτερος τῶν δύω ἐν τοῖς δυσὶ καὶ ἑβδομήκοντα καταλέγεται Ἀποστόλοις, ὁ δ' ἕτερος ἀδελφιδοῦς αὐτοῦ ἦν.

Καὶ ὁ μὲν τοῖς χρόνοις πάντων πρεσβεύων Ἀντιοχεὺς ἦν τὸ γένος, καὶ Τυχίου παῖς, Σωκράτους δὲ μαθητής, ὡς φησὶν ὁ Μάγνης Δημήτριος παρὰ τῷ πολίτῃ αὐτοῦ Διονυσίῳ. Ὁ δὲ δεύτερος κατὰ τοὺς Ἀλεξάνδρου χρόνους γεγονὼς, Κνίδιος ἦν τὸ γένος καὶ υἱὸς Ἡροδότου ῥήτορος. Ὁ δὲ τρίτος Περδίκκᾳ τῷ βασιλεῖ συνηκμακὼς, τὰ μὲν πρὸς πατρὸς ἐκ τῆς Ἀφροδισιάδος πόλεως τῆς κατὰ Κιλικίαν ἕλκων τὸ γένος, τὰ δὲ πρὸς μητρὸς ἐξ Ὀλύνθου. Ὁ δὲ τέταρτος Μηνοφάνους υἱὸς μικρὸν πρὸ τῆς τοῦ Πτολεμαίου τοῦ Ἐπιφανοῦς τελευτῆς ὑπάρξας, καὶ ἑβδομήκοντα ἔτη βιοὺς ἐν Μέμφει ἐτελεύτα, ἐν ᾗ καὶ ἐγεννήθη. Πέμπτος δὲ ἦν ὁ Ὀλοφύξιος Μελανίππου παῖς καὶ Ἡφαιστιωνίδος ἑβδομήκοντα ἔτεσιν Ὀλυνθίου ὑστερόχρονος. Ἕκτος δὲ ἦν ὁ τοῖς δυσὶ καὶ ἑβδομήκοντα Ἀποστόλοις συγκαταλεγόμενος καὶ τῆς Φιλίππου πόλεως πρῶτος κληρωσάμενος, ὃς μάλιστα καὶ τὸ τοῦ ὁμωνύμου αὐτῷ καὶ συμμαθητοῦ μυσταγωγικὸν σύγγραμμα κοινότατον ἐποίησε γενέσθαι, καὶ ἐν τῇ μητροπόλει αὐτοῦ ἐκέλευσεν ἀναγινώσκεσθαι τὸ βιβλίον, δι' ὃ καὶ οἱ μεταγενέστεροι αὐτῷ ἀπένεμον τοῦτο ἀγνωοῦντες. Ἦν δὲ οὗτος τὸ μὲν γένος Ἀντιοχεὺς, υἱὸς δὲ Τυχικοῦ καὶ Προχώρης. Ἐτελεύτα δὲ ἐν Φιλιππουπόλει περὶ τὰ τέλη τοῦ πρώτου μετὰ Χριστὸν αἰῶνος ὑπέργηρως. Ἕβδομος δὲ ἦν ὁ τοῦ Μαξίμου καὶ Ἀργιώπης, ὁ ἀδελφιδοῦς Ἑρμᾶ τοῦ Ἀποστολικοῦ πατρὸς τυγχάνων γεννηθεὶς ἐν Ἀντιοχείᾳ καὶ τελευτήσας ἐν Ἐφέσῳ ἀρχομένης τῆς δευτέρας ἑκατονταετερίδος. Ὄγδοος δὲ ἦν ὁ Ἱερογράφος Θεοφράστου λιθοξόου καὶ Γυρτώνης υἱὸς, τὸ γένος Κνίδιος, ὃς ἐτελεύτα ἐν τῷ ͵ϛωλβ' ἔτει δεύτερον καὶ ἑβδομηκοστὸν ἄγων τῆς ἡλικίας ἔτος. Ἔνατος δὲ ἦν ὁ Κωνωπεὺς υἱὸς Ἠριγόνου καὶ Κλεώνης,

ὃς καὶ Βασιλείῳ τῷ Μεγάλῳ ἐμαθήτευσεν. Δέκατος δὲ ἦν Χριστοκλέους Ὑλλαριμεὺς τὸ γένος ἐν τῷ ὀγδόῳ ἀκμάσας αἰῶνι, ὃς μάλιστα καὶ ἐπίσκοπος Στρατονικείας ἐχρημάτισεν. Ἑνδέκατος δὲ ἐγένετο Ἀδριανουπόλεως μητροπολίτης, οὗ ὁ μὲν πατὴρ Σωφρονίσκος ἐκαλεῖτο, ἡ δὲ μήτηρ Ἀρετὴ ἀμφότεροι ἐκ τῆς Θρᾳκικῆς Νικαίας ὁρμώμενοι. Ἐγεννήθη δὲ ἐν Βυζαντίῳ τῷ ωμδ' ἔτει καὶ ἐτελεύτα ἐν Ἄθῳ τῷ ϡζ' πεφυγαδευμένος τυγχάνων. Δωδέκατος δὲ ὁ Δαμασκηνὸς ἦν, ὁ καὶ πατὴρ τυγχάνων Ἡσυχίου τοῦ τὸ ἕβδομον ἀπόγραφον τοῦ Ἑρμᾶ ποιησαμένου (ὅρα ἐν σελ. 195). Τρισκαιδέκατος δὲ ἦν ὁ τὴν Βιβλιοθήκην τοῦ Ἄθω συνταξάμενος (ὅρα ἐν σελ. 196). Ὀλύνθιος καὶ οὗτος ὢν πατρόθεν, ὥς περ καὶ ὁ τρίτος, Ἱππονήσιος δὲ μητρόθεν, γεννέθλιον δ' ἔδαφος τὴν Θεσσαλονίκην ἔσχεν. Ἐγεννήθη δὲ οὗτος τῷ χιλιοστῷ σωτηρίῳ ἔτει καὶ ἐτελεύτα δύω καὶ ἑβδομήκοντα ἐτῶν γενόμενος. Τεσσαρασκαιδέκατος δὲ γέγονεν ὁ Χρυσάνθου Ῥόδιος τὸ γένος ὢν καὶ Ῥόδου ἐπίσκοπος χρηματίσας, γεννηθεὶς τῷ ᾳσγ' καὶ τελευτήσας τῷ ᾳσλϛ'. Ὁ δε τοῦ Ἐπισκόπου Ῥώμης Πίου τοῦ Α'. ἀδελφὸς, ᾧ μάλιστα καὶ ἀπονέμουσί τινες τῶν Ῥωμαίων, κακῶς ποιοῦντες, τὸ τοῦ Ποιμένος βιβλίον, ἐκαλεῖτο Ἑρμῆς κατά τινας καὶ οὐχὶ Ἑρμᾶς.

Καὶ οὗτοι μὲν εἰσὶν, οὓς ἐγὼ οἶδα, οἱ ὁμώνυμοι τῷ τοῦ Ποιμένος συγγραφεῖ γεγονότες μνημονευόμενοι, οἱ μὲν ὑπὸ Διονυσίου τοῦ Μάγνητος Λιβύης ἀρχιερατεύσαντος ἐν τῷ ἕκτῳ αἰῶνι καὶ πολλὰ συγγραψαμένου, οἱ δὲ ἐξ ἄλλων τεκμηρίων, ἅ περ ἐγὼ ἰδίοις πόνοις ἐξ ἐπιγραφῶν καὶ τῶν ἀνὰ χεῖράς μου χειρογράφων ἀνευρὼν, καὶ ἰδοὺ παρέχω τοῖς ὑπὲρ ἀκριβείας καὶ ἀληθείας σπουδάζουσι τὰ μαρτύρια πρόχειρα· καὶ πρῶτον μὲν τὰ τοῦ Μάγνητος Διονυσίου, λόγον μάλιστα ἐν πρώτοις ποιουμένου περὶ τοῦ Ἀποστολικοῦ πατρὸς Ἑρμᾶ, ᾧ καὶ τὴν περιώνυμον τοῦ Ποιμένος ἱερὰν ἀπονέμει βίβλον. Λέγει οὖν ὁ σοφώτατος Λιβύης ἐπίσκοπος ἐν τῷ περὶ ὁμωνύμων ποιητῶν καὶ συγγραφέων Ἀπανθίσματι λέξεσιν αὐταῖς τάδε·

"Ἑρμᾶς ὁ θειότατος ἦν παῖς Ἀσυγκρίτου καὶ Πατρόβας, οἵ περ Λαοδικεῖς ὄντες τὸ γένος, καὶ ἐν Ἀντιοχείᾳ τὴν οἴκησιν ποιήσαντες, ὅτε ὁ λόγος τοῦ Κυρίου διεφέρετο δι' ὅλης τῆς πόλεως ὑπὸ τῶν ἀπὸ τῆς Ἰουδαίας διὰ Φοινίκης καὶ Κύπρου καταφυγόντων, καὶ μάλιστα Κυπρίων καὶ Κυρηναίων τῷ Κυρίῳ πιστῶν μετὰ τὸν τοῦ Πρωτομάρτυρος Στεφάνου θάνατον, εἰς Χριστὸν πανοικεὶ ἐβαπτίσθησαν ὑπὸ Βαρνάβα τε καὶ Παύλου τῶν ἀποστόλων τὰ εἰς Χριστὸν εὐαγγελισθέντες. Ἑρμᾶς δὲ παῖς ἔτι ὢν καὶ ἐν φόβῳ Θεοῦ αὐξανόμενός τε καὶ κρατυνόμενος, παῤῥησίᾳ τὴν εἰς Χριστὸν πίστιν ὁμολόγησε τυχὼν ἔν τινι κατὰ τῶν Χριστιανῶν ἐν Ἀντιοχείᾳ γενομένῃ ἐκκλησίᾳ, καὶ Κεβρίονα τὸν διώκτην καὶ

Τοπάρχην Ἀντιοχείας ὄντα τότε ἐξήλεγξε· δι᾽ ὃ καὶ ἐραπίσθη ὁ μακάριος, καθά γε Ἡγήσιππος ἐν τῇ δευτέρᾳ τῶν Ἐκκλησιαστικῶν αὐτοῦ ἱστοριῶν ἱστόρηκεν εἰπών· ‘ Ἑρμᾶς δὲ παῖς ἔτι ὤν, καὶ τυχὼν κατὰ συγκυρίαν ἐν τῇ κατὰ τῶν πιστῶν τοῦ Κυρίου ἡμῶν ἐκκλησίᾳ τῇ ἐν τῇ Ἀντιοχείᾳ γενομένῃ ἐν τῷ τρίτῳ καὶ δεκάτῳ ἔτει τῆς Ἀρχῆς Κεβρίονος Τοπάρχου Ἀντιοχείας, ἀναστὰς τοὺς πρεσβυτάτους ἐδίδασκε, καὶ Κεβρίονα τὸν διώκτην σοφῶς ἐνουθέτει, ὃς ταμάλιστα ὀργισθεὶς ἐπὶ τῷ τολμήματι τοῦ νεανίσκου ἐράπισεν αὐτὸν καὶ ἀπέπτυσεν· εἶτα δὲ τῆς ζώνης αὐτὸν λαβόμενος ἀπεσφενδόνισεν, ὃν οἱ πιστοὶ ἀράμενοι, καὶ ἐν ταῖς ἀγκάλαις αὐτῶν δεξάμενοι, τοῖς τοκεῦσιν αὐτοῦ παραδιδόασι μηδὲν παθόντα.’ Παύλου δὲ κατ᾽ ἐκεῖνο καιροῦ ἐν Ῥώμῃ κηρύττοντος, Ἑρμᾶ δὲ ἀκοῦσαι αὐτοῦ αὖθις ἐπιθυμοῦντος, πείθεται ὑπ᾽ αὐτοῦ ὁ πατὴρ εἰς Ῥώμην ἀγαγεῖν αὐτὸν, ὁ δὲ ὑπὸ τοῦ αὐτοῦ πόθου πρὸ πολλοῦ κατεχόμενος, πρῶτον μὲν τὸ πολὺ τῆς οὐσίας αὐτοῦ, ἦν γὰρ ζάπλουτος ὁ ἀνὴρ, διεμέρισε τοῖς ἀδελφοῖς καθότι ἄν τις χρείαν εἶχεν· εἶτα παραλαβὼν τρεῖς τῶν παίδων αὐτοῦ Ἑρμᾶν, Φλέγοντα, Ἑρμῆν, καὶ σὺν αὐτοῖς τὴν μητέρα αὐτῶν Πατρόβαν, Μάξιμον δὲ τὸν πρωτότοκον, τὸν καὶ τετράκις Ἰησοῦν παῤῥησίᾳ διὰ φόβον ἀπαρνησάμενον, καὶ τετράκις αὖθις πρὸς Κύριον ἐπιστρέψαντα, καὶ Εὐφημίαν θυγατέρα αὐτοῦ ἄρτι γεγαμηκότας τυγχάνοντας ἐν οἰκίᾳ καταλιπὼν εἰς Λαοδίκειαν πάντες κατῆλθον, καὶ πλοίου ἐπιβάντες Σικελικοῦ εἰς Ἰταλίαν πλέοντος εἰκοσταῖοι εἰς Ποτιόλους ἐγκαθωρμίσθησαν, καὶ ἐκεῖθεν εἰς Ῥώμην ἀφίκοντο, καὶ πρὸς Παῦλον τὴν ταχίστην ἐγένοντο ἐν φυλακῇ δέσμιον τηρούμενον, οὗ τὰ δεσμὰ ἀσπασάμενοι καὶ δάκρυσι καταβρέξαντες ἀπελύθησαν ἐνισχυθέντες τῇ πίστει, καὶ Ῥούφῳ τινὶ ἐκλεκτῷ ἐν Κυρίῳ ὄντι ὑπὸ τοῦ Παύλου συσταθέντες οὗτοι, παρ᾽ ᾧ καὶ συχνὸν κατέμειναν χρόνον, ἀφθόνως πάντα τὰ πρὸς διατροφὴν τοῖς ἀποροῦσι τῶν ἀδελφῶν παρεῖχον."

"Ἀσυγκρίτου δὲ γήρᾳ καμόντος, καὶ τελευτήσαντος, Φλέγων μὲν καὶ Ἑρμῆς εἰς τὰ οἰκεῖα ἐπανῆλθον ἅμα τῇ μητρὶ αὐτῶν. Ἑρμᾶς δὲ ἐν Ῥώμῃ κατέμεινεν ἅμα τοῖς ἀπὸ Ἀντιοχείας μικρὸν πρὸ τῆς τελευτῆς τοῦ πατρὸς αὐτῶν παραγεγονόσι Μαξίμῳ τῷ ἀδελφῷ αὐτοῦ, καὶ τοῖς ἀδελφιδέσιν Ἑρμᾷ καὶ Ἀσυγκρίτῳ, καὶ ἀδελφιδεῖ Πατρόβᾳ ἐδίδασκε παῤῥησίᾳ (μετὰ τὴν τῶν κορυφαίων Πέτρου τε καὶ Παύλου ἐν Ῥώμῃ ἄθλησιν) καὶ εὐηγγελίζετο Ῥωμαίοις τὸν λόγον τοῦ Θεοῦ Ἐπαινέτῳ τε ἅμα καὶ Ἀμπλίᾳ, οὓς καὶ παραλαβὼν ἐξῆλθε τῆς Ῥώμης καὶ τὰς κωμοπόλεις διερχόμενος ἐκήρυσσε τοῖς ἐνοικοῦσι τὸν λόγον τοῦ Κυρίου, καὶ πολλοὶ ἐπίστευσαν τῷ κηρύγματι αὐτοῦ τῶν τεταγμένων μάλιστα εἰς ζωὴν, ὡς ἤκουσαν τὸ κήρυγμα. Ἐγένετο δὲ ἐν τῷ εὐαγγελίζεσθαι αὐτὸν Ῥωμαίοις περὶ πόλιν Κύμην ἐπιπεσεῖν ἔκστασιν ἐπ᾽ αὐτὸν καὶ πολλὰ αὐτῷ ἀπο-

καλυφθῆναι θείᾳ δυνάμει, ἅ περ καὶ ἐπὶ διφθέρας γραψάμενος διὰ Κλήμεντος καὶ Γραπτῆς καὶ τῶν πρεσβυτέρων τῆς Ἐκκλησίας τοῖς πιστοῖς κατήγγειλε πᾶσιν. Ἐστὶ γὰρ διδακτικώτατον τὸ βιβλίον. Ἐπιγέγραπται δέ τοῦτο παρὰ μέν τισι Ποιμενικαὶ γραφαί, παρ' ἄλλοις δὲ Ποιμὴν, παρὰ δέ τισι Μετανοίας ἄγγελος, παρ' ἄλλοις δὲ Μυσταγωγὸς μετανοίας, παρ' ἐνίοις δὲ Μετανοίας ὁδός."

"Τοῦτο οὖν συγγραψάμενος τὸ βιβλίον, καὶ παραδοὺς οἷς ἐνετείλατο τὸ Πνεῦμα τὸ ἅγιον αὐτῷ ἐν μορφῇ πρεσβύτιδος γυναικὸς παραδοῦναι, Ἐπαίνετον μὲν ἐν Ῥώμῃ κατέλιπεν, Ἀμπλίαν δὲ καὶ Μάξιμον τὸν ἀδελφὸν ἅμα τε τοῖς τέκνοις αὐτοῦ παραλαμβάνει καὶ εἰς Ποτιόλους γίγνεται, ἐκεῖθεν δὲ εἰς Σικελίαν ἀπέπλευσεν ἐν ᾗ καταμείνας ἐπὶ μῆνας τρεῖς, καὶ τὴν πόλιν Συρακούσας εἰς ἣν ἔτυχεν καταπλεύσας πᾶσαν εὐαγγελισάμενος, πολλοὺς τῷ λόγῳ τοῦ Κυρίου εἰς τὴν πίστιν ἤγαγε. Μετὰ δὲ νηὸς ἐπιβὰς Ἀχαϊκῆς εἰς Πάτρας ὀκτωκαιδεκαταῖος ἐγκαθορμίσθη. Ἐνταῦθα οὖν μείνας ἑπτὰ καὶ εἴκοσιν ἡμέρας ξενιζόμενος σὺν πᾶσι τοῖς περὶ αὐτὸν ἁγίοις παρ' ἀνδρὶ δικαίῳ Τεγεάτῃ τοὔνομα, καὶ ἄρτι πεπιστευκότι τυγχάνοντι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ τὸν λόγον τοῦ Θεοῦ ἀκωλύτως Πατρέοις κηρύσσων, καὶ τοὺς προπεπιστευκότας στηρίξας τῇ πίστει, καὶ τὴν Ἀχαϊκὴν πᾶσαν διελθὼν, τὰ ἔθνη καλῶν ἐπὶ τὸ πιστεῦσαι εἰς τὸν Κύριον, προσετίθετο τῷ Κυρίῳ καθεκάστην λαὸς οὐκ ὀλίγος."

"Διελθὼν τοίνυν τὴν Ἀχαϊκὴν, καὶ χωρήσας εἰς τὴν Ἀργολικὴν, καὶ ἐκεῖθεν εἰς τὴν Κορινθιακὴν, εἰς Μέγαρα ἀπὸ Κορίνθου παραγίνεται· συνείποντο δὲ αὐτῷ καὶ πολλοὶ τῶν ἐν Κορίνθῳ πιστῶν. Μικρὸν δὲ καὶ ἐν τῇ Μεγάρων κατατρίψας ὁ μακάριος χρόνον καὶ Μεγαρεῦσιν εὐαγγελισάμενος τὸν λόγον Ἰησοῦ καὶ προσευξάμενος τῷ Κυρίῳ ὑπὲρ τῶν πιστευσάντων αὐτῷ, κατῆλθεν εἰς τὸν αἰγιαλὸν Μεγάρων τὸν προσαγορευόμενον Σεμέστην, καὶ πλοίου ἐπιβὰς εἰς Σελεύκιαν κατέπλευσε, κᾀκεῖ ἀποβὰς εἰς Ἀντιόχειαν ἀνέβη καὶ ἀσπασάμενος τὴν Ἐκκλησίαν κατέμεινεν ἐν Ἀντιοχείᾳ ἡμέρας δύω πρὸς ταῖς εἴκοσιν ὑπὸ τῶν ἁγίων παρακληθείς. Μετὰ δὲ ταῦτα κατελθὼν αὖθις εἰς Σελεύκιαν μετὰ τοῦ Ἀμπλίου, κατέλειπε γὰρ Μάξιμον τὸν ἀδελφὸν αὐτοῦ ἅμα τοῖς τέκνοις, εἰς Σμύρνην ἀπέπλει πάραυτα ἅ τε τὸ Πνεῦμα τὸ ἅγιον ἐσήμανεν αὐτῷ ὅτου τρισκαιδεκαταῖος ἀφικόμενος καὶ τοὺς πρεσβυτέρους ἀσπασάμενος καὶ τοὺς πιστοὺς πάντας· εἶτα δὲ ἐκκλησιασάμενος καὶ προσευξάμενος τῷ Κυρίῳ Ἰησοῦ ὑπὲρ τοῦ λαοῦ αὐτοῦ, καὶ τὰ κατὰ τὴν ὁδὸν αὐτῷ γεγονότα παῤῥησίᾳ ἐξηγησάμενος, πάντων ἐπὶ τούτοις τὸν Θεὸν δοξαζόντων ἐπὶ τῇ δυνάμει αὐτοῦ, ἀπέπλευσεν εἰς τὸν Ἑλλήσποντον τὴν τρίτην καὶ τῇ Ἀβύδων πόλει ἑβδομαῖος προσέσχεν. Ἀποβάντος δὲ τῆς νηὸς ἐξῆλθον

τῆς πόλεως εἰς ὑπάντησιν αὐτοῦ πολλοὶ τῶν περὶ αὐτοῦ ἀκουσάντων ἀδελφῶν, ὧν καὶ Εἰρήναρχος ὁ ἄρχων τῆς πόλεως. Γενόμενος δὲ ἐν τῇ πόλει ἐδίδασκε τὰ πλήθη τὸν λόγον τοῦ Θεοῦ ἐν ἡμέραις δέκα. Καὶ προσετέθη λαὸς πολὺς τῷ Κυρίῳ ἐν ταῖς ἡμέραις ἐκείναις τῇ διδασκαλίᾳ αὐτοῦ. Εὐαγγελισάμενος οὖν τὴν πόλιν Ἀβύδων καὶ πλῆθος πολὺ τῶν κατοίκων αὐτῆς μαθητεύσας ἐξῆλθε, διερχόμενος τὴν Τρῳάδα καταγγέλλων τε τὸν λόγον Ἰησοῦ καὶ στηρίζων τοὺς πιστοὺς κατήντησεν εἰς Πάριον πόλιν κατὰ τὸν Ἑλλήσποντον ἐν παραλίᾳ κειμένην, ἐν ᾗ συντυχὼν ἑνὶ τῶν δύω καὶ ἑβδομήκοντα ἀποστόλων, τῷ ὁμωνύμῳ αὐτοῦ Ἑρμᾷ πλεύσοντι μέλλειν εἰς Φιλιππούπολιν τοῦ διακονῆσαι τῷ Κυρίῳ, ἀσπάζεται αὐτὸν καὶ παῤῥησίᾳ Πάριον ἀμφότεροι εἰς τὴν ὁδὸν τοῦ Κυρίου κατηχοῦσι. Μεθ' ἡμέρας δὲ ἀναχθέντες ἀπὸ Παρίου εἰς Πέρινθον ἐγκαθωρμίσθησαν. Εὐαγγελισάμενοι δὲ καὶ ταύτην καὶ ἀσπασάμενοι ἀλλήλους καὶ τῶν μαθητῶν αὐτῶν ἀποσπασθέντες ἀπέπλευσαν, ὁ μὲν εἰς Φιλιππούπολιν, ὁ δὲ εἰς Ἄστακον τὴν Βιθυνικὴν σὺν τῷ Ἀμπλίᾳ."

"Καταχθέντα οὖν εἰς τὴν Ἀστακηνῶν τὸν Ἑρμᾶν μεθ' ἡμέρας τρεῖς πρὸς τοῖς δέκα ἀσμένως ὑπεδέξαντο αὐτὸν οἱ ἐν τῇ πόλει ἐκείνῃ πιστοί· παρ' οἷς μείνας πολλὰς ἡμέρας τὰ πλήθη διδάσκων, ἐξῆλθε τῆς Ἀστακηνῶν καὶ τὰς πόλεις διήρχετο Βιθυνίας εὐαγγελιζόμενος τοὺς λαοὺς αὐτῶν· καὶ δυνάμεις ἐποίει ὁ Θεὸς μεγάλας διὰ τῶν τοῦ Ἑρμᾶ χειρῶν."

"Πᾶσαν οὖν διαδραμὼν τὴν Βιθυνικὴν ἅμα τῷ Ἀμπλίᾳ, διά τε θαλάσσης καὶ ξηρᾶς κακοχούμενός τε καὶ θλιβόμενος ὑπὲρ τῆς τοῦ Κυρίου ἀγάπης, εἰς Θεοδοσίαν ἧκε τὴν Ταυρικὴν, ἀπὸ Ἡρακλείας τῆς ἐν τῇ Μαριανδυνῶν χώρᾳ, τὴν Μεγαρέων ἄποικον, ἀπάρας· ἐν ᾗ ποιήσας χρόνον ἱκανὸν εὐαγγελιζόμενος τοὺς ὄχλους αὐτῆς μετὰ πάσης παῤῥησίας πολλοὶ τῶν κατοίκων δεξάμενοι τὸν λόγον τοῦ κηρύγματος ἐβαπτίσθησαν. Μετὰ δὲ μῆνας τρεῖς ἐξελθὼν τῆς πόλεως Θεοδοσίας, καὶ διελθὼν πολλὴν τῆς Ταυρικῆς καὶ μάλιστα τὴν Χεῤῥόνησον αὐτῆς πᾶσαν (διδάσκων ἀκωλύτως τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τοῦ λόγου αὐτοῦ κατὰ κράτος αὐξηθέντος τε καὶ ἰσχύσαντος καὶ ἐν τῇ Ταυρικῇ) εἰς Θεοδοσίαν ἐπανακάμπτει, ἐν ᾗ δεσμευθεὶς τῇ τῶν τῆς Ἀρτέμιδος ἱερέων ῥᾳδιουργίᾳ ἐν τῷ κηρύττειν τὸν σταυρικὸν ὑπέμεινε θάνατον τῷ ͵ΕΧΘʹ, ἄγων ἔτος πρῶτον καὶ ὀγδοηκοστὸν, ὡς Ἀμπλίας ὁ τούτου συνεργὸς, ὁ καὶ τὰς πράξεις μάλιστα τοῦ Ἑρμᾶ συγγραψάμενος καὶ τὸ μαρτύριον αὐτοῦ, καὶ Ἡγήσιππος Κρηθέως ὁ Ἔλγιός φασι."

Καὶ τοσαῦτα μὲν περὶ τοῦ μυσταγωγικοῦ πατρὸς Ἑρμᾶ φησὶν ὁ Μάγνης Διονύσιος, ὃν Ἑρμᾶν μάλιστα οἱ μὲν παλαίτατοι τῶν ἁγιογράφων μιξοπόλιον καὶ οὐλότριχα γράφουσι, καὶ τὴν ῥίνα σιμὸν, καὶ γράφοντα, καὶ λέγοντα· "Πρῶτον πάντων πίστευσον ὅτι εἷς ἐστιν ὁ

Θεὸς, ὁ τὰ πάντα κτίσας καὶ καταρτήσας, καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα." Οἱ δὲ νεώτεροι αὐτῶν "νέον ἀρχιγένειον" (ὅρα Ἑρμηνείαν τῶν Ζωγράφων μέρος Γ΄. ἀριθ. 190 ἔκδ. Ἀθηνῶν). Λέγει δὲ ὁ αὐτὸς Διονύσιος καὶ περὶ ἑτέρων ἐννέα Ἑρμῶν τῷ ἀποστολικῷ πατρὶ ὁμωνύμων τάδε·

"Ἐγένοντο δὲ καὶ ἕτεροι τούτου Ἑρμαῖ ἐννέα, ὧν ὁ μὲν πρῶτος Ἀντιοχεὺς ἦν τὸ γένος πατρὸς μὲν Τυχικοῦ μητρὸς δὲ Ἀγανίππης, ὃς ἀκουστὴς γενόμενος Σωκράτους τοῦ Σωφρονίσκου, ὡς αὐτὸς οὗτός φησιν ἐν τῇ πρώτῃ τῶν Νόστων, καὶ οἴκαδε ἀπελθὼν μετὰ τὸν τοῦ Σωκράτους θάνατον, καὶ Ἀντιοχεῖς Σωκρατικῶς πεντεκαίδεκα ὅλα ἔτη διδάξας, γήρᾳ καμὼν ἐτελεύτα, τὴν Σωκράτους διδασκαλίαν καταλειπὼν ἡμῖν ἐν διαλόγοις ὅσοις Σωκράτης ἐπέζησεν ἔτεσι· πρὸς δὲ καὶ τοὺς Ἠθικοὺς Νόστους ἐν βίβλοις τριάκοντα. Ἐτελεύτα δὲ οὗτος ἐν τῷ ἑξηκοστῷ, μετὰ τὴν τοῦ διδασκάλου αὐτοῦ τελευτὴν, ἔτει· τρίτον καὶ ὀγδοηκοστὸν ἄγων τῆς ἡλικίας ἔτος. Ὁ δὲ δεύτερος πατέρα μὲν λέγεται ἐσχηκέναι Ἡρόδοτον τινὰ ῥήτορα Κνίδιον τὸ γένος ὄντα, μητέρα δὲ Καλλιόπην. Ἐγεννήθη δὲ οὗτος ὅτε Τύρος ὑπὸ τοῦ Ἀλεξάνδρου ἑάλω. Ἑξήκοντα δὲ βιοὺς ἔτη ἐν ᾗ καὶ ἐγεννήθη πόλει Κνίδῳ τὸ ζῆν ἐξεμέτρησε τὰς Ἀλεξάνδρου μάχας ἐν ἑπτακαίδεκα συγγραψάμενος βίβλοις. Τρίτος δὲ ἦν ὁ Ἑρμογένους τοῦ ἐκ τῆς κατὰ Κιλικίαν Ἀφροδισιάδος πόλεως καὶ Πυρήνης τῆς Ὀλυνθίας, ὃς ἐν Ἀθήναις γεννηθεὶς τὰ μὲν πρῶτα τὴν Στωϊκὴν ἠσπάσατο φιλοσοφίαν· εἶτα δὲ Κυνικὸς γενόμενος, εἰς Ὄλυνθον πεζῇ ἀπὸ Ἀθηνῶν ἧκεν, ἐν ᾗ ἀσθενείᾳ περιπεσὼν τὸν βίον κατέστρεψεν ἐν τῷ τρίτῳ ἔτει καὶ δεκάτῳ τῆς Περδίκκου βασιλείας, πεντήκοντα ὢν ἐτῶν. Ἔγραψε δὲ οὗτος Κυνικῶν φιλοσόφων ἀποφθέγματα ἐν βίβλοις ἕξ. Τέταρτος δὲ ὁ Μεμφίτης Μηνοφάνους καὶ Κλεοπάτρας υἱὸς τυγχάνων, ὃς δέκα πρὸ τῆς τελευτῆς ἔτη Πτολεμαίου τοῦ Ἐπιφανοῦς γενόμενος, καὶ τὰ περὶ τοῦ μεγάλου Ἀλεξάνδρου ἐν δέκα συνταξάμενος βίβλοις, ἐν τῇ εὐνῇ ὑπὸ τῆς ἰδίας γυναικὸς Ἑρμιόνης ἐπιβουλευθεὶς ἐτελεύτα περὶ τὸ ἑβδομηκοστὸν τῆς αὐτοῦ ἡλικίας ἔτος. Πέμπτος δὲ γέγονεν ὁ Ὀλοφύξιος, ὃς σχὼν πατέρα Μελάνιππον τὸν Γεωμέτρην καὶ μητέρα Ἡφαιστιωνίδα τὴν ποιήτριαν, καὶ τὰ περὶ τὴν Γεωμετρίαν ἀσχοληθεὶς, καὶ πολλὰ περὶ αὐτῆς συνταξάμενος πονήματα πολλῆς δόξης ἔτυχε. Γήρᾳ δὲ καμὼν (λέγεται γὰρ γεγονέναι αὐτὸν ἑκατοντούτην) ἐν Βυζαντίῳ τὸν βίον ἐτελεύτα, καὶ Βυζάντιοι δημοσίᾳ ἔθαψαν, καὶ ἀνδριάντι ἐτίμησαν. Ἦν δὲ οὗτος τοῖς χρόνοις νεώτερος τοῦ Ὀλυνθίου ἀμφὶ τὰ ἑβδομήκοντα. Ἕκτος δὲ γέγονεν ὁ τὴν Φιλίππων κληρωσάμενος πρῶτος, εἷς τῶν ἑβδομήκοντα καὶ δύω τυγχάνων καὶ οὗτος Ἀποστόλων, καθάπερ καὶ ὁ τῶν Ποιμενικῶν Γραφῶν πατήρ. Ἦν δὲ τὸ γένος Ἀντιοχεὺς πατρὸς Τυχικοῦ καὶ

μητρὸς Προχώρης τυγχάνων, ὃς πολλὰς τῶν κατὰ τὴν μικρὰν Ἀσίαν καὶ τὸν Πόντον πόλεων εὐαγγελισάμενος τὸν λόγον τοῦ Θεοῦ καὶ Φιλιππουπολιτῶν ποιμεναρχήσας ἔτεσι τεσσαράκοντα εἰς Κύριον μετέστη τῷ ͵εφοθ΄, ὥς περ Ἡγήσιππος ἱστόρηκε· φησὶ δὲ ὁ αὐτὸς ὡς καὶ τὰς Ποιμενικὰς Γραφὰς οὗτος πρῶτος ἐπ' ἐκκλησίας ἀπεφήνατο δεῖν ἀναγινώσκεσθαι, καὶ οὕτως οὗτος ἐν τῇ Φιλίππων ἐκκλησίᾳ ἐποίη· δι' ὃ καὶ ἀπένημόν τινες αὐτὰς τούτῳ οὐ καλῶς ποιοῦντες [1]. Ἕβδομος δὲ ἐγένετο ὁ ἀδελφιδοῦς Ἑρμᾶ, Μαξίμου δὲ καὶ Ἀργιώπης παῖς, ὃς ἐν Ἀντιοχείᾳ γεννηθεὶς περὶ τὰ μέσα τῆς πρώτης ἑκατονταετηρίδος ἐν Λαοδικείᾳ τὸν βίον ἐτελεύτησε τῷ ͵εχκζ΄ τῆς τῶν Λαοδικέων ἐκκλησίας διάκονος γενόμενος. Ὄγδοος δὲ ἦν ὁ Ἱερογράφος Θεοφράστου λιθοξόου καὶ Γυρτώνης υἱὸς, τὸ δὲ γένος Κνίδιος. Ἐγεννήθη δὲ οὗτος τῷ ͵εψξ΄, καὶ τὰ μὲν πρῶτα ἀγαλματοποιΐας ἐπεμελήθη, ὕστερον δὲ παρὰ Καλλικράτει μαθητεύσας τῷ ἱερογράφῳ χρόνον ἱκανὸν οὐκ ὀλίγης δόξης ἔτυχεν εὐδοκιμήσας· εἰς Ἀντιόχειαν δὲ ἀπὸ Κνίδου ἐλθὼν καὶ τὴν Ἀντιοχέων ἐκκλησίαν πρῶτος αὐτὸς κοσμήσας γραφαῖς, τὴν Καινὴν Διαθήκην πᾶσαν ἀκριβῶς ἐξεικονίσας ἐν ἑπτὰ καὶ ἑπτακοσίαις εἰκόσι, καὶ πολλοὺς τῶν Ἀντιοχέων παῖδας τὴν ἱερογραφίαν διδάξας, γήρᾳ καμὼν ἐτελεύτα τῷ ͵ϛωλβ΄. Ἔννατος δὲ ἐγεγόνει ὁ Κωνωπεὺς πατρὸς Ἡριγόνου καὶ μητρὸς Κλεώνης, ὃς Βασιλείου τοῦ Μεγάλου ἀκουστὴς γενόμενος καὶ ὑπὸ τοῦ αὐτοῦ διάκονος κελευσθεὶς Θεῷ ἐλειτούργει ἐν τῇ τῶν Καισαρέων ἐκκλησίᾳ ἐφόρου ζωῆς. Ἐτελεύτα δὲ οὗτος δύω ἔτη πρὸ τῆς τοῦ ἱεροῦ Βασιλείου τελευτῆς ἐν ἡλικίᾳ ἐτῶν τριάκοντα."

Καὶ τοσαῦτα μὲν ἱστόρηκε καὶ περὶ τούτων ὁ Μάγνης Διονύσιος ἐν τῷ αὐτοῦ Ἀπανθίσματι· τὰ δὲ περὶ τοῦ δεκάτου ἐξ ἐπιγραφῆς ἐν Ὑλλαρίμοις τυχαίως πως ἐκκαλυφθείσης βεβαιούμεθα, ἐχούσης τόνδε τὸν τρόπον·

ΡΝϚ ͵ΒΣϞΑ ͵ΑΧΛΑ ΡϞϚ ΧΙΖ	ΛΑ ͵ΒΤΚϚ ͵ΒΧΚΗ ΤΚ
͵ΒΕ ΡΚϚ ͵ΑΡΠΘ ΦΙΓ ΦΛ	ΡΙΑ Μ ΦΟ ΥϞΓ ͵ΑΡΝΕ
͵ΑΣΞΖ Θ ͵ΑϡΝΕ ͵ΑΙΔ	ϡΙΕ ΥΙΑ ΩΠΓ ΑΤΞΕ ΣΚϚ
ΥΠΑ ΝΕ ͵ΒΦΚΑ ͵ΑΨΛϚ	͵ΑΦϚ ΥΞΖ ΝΕ ΧΞϚ ͵ΑΤΟΒ

[1] Τὸν Ἑρμᾶν τοῦτον εἰκονίζουσί τινες μὲν τῶν ἁγιογράφων λευκότριχα καὶ τὴν ἰδέαν ἱλαρὸν καὶ σταυρὸν φέροντα τῇ ἑτέρᾳ τῶν χειρῶν, ἐφ' ᾧ ἐπιγέγραπται τάδε· "Πᾶς ὁ πιστεύων Ἰησοῦν, τὸν τὸν ἄνθρωπον διὰ τοῦ σταυροῦ ῥησάμενον, καὶ ἐν αὐτῷ μένων ζήσεται τῷ Θεῷ· αὐτὸς γὰρ οὗτός ἐστιν ὁ ἀπ' ἀρχῆς ὢν Λόγος Θεὸς ζῶν, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας τῷ λόγῳ αὐτοῦ μόνῳ." Δείκνυσι δὲ ταῦτα τῇ ἑτέρᾳ χειρί· οὕτως ἐν ταῖς κατὰ τὸν Ἄθων τειχογραφίαις εἰδὼν οἶδα καὶ γράφω· οὐ μὴν ἀλλὰ δὲ καὶ οἱ πάλαι τῶν ἁγιογράφων οὕτω παραδιδόασιν ἡμῖν. Οἱ δὲ νεώτεροι Νέον ὀξυγένειον εἰκονίζουσιν. (Ὅρα Ἑρμηνείαν τῶν ζωγράφων ἐν σελ. 196.)

Φράζει δέ ταῦτα ᾧδε·

" Ἄνδρα σοφώτατον καλύπτω, Ἑρμᾶν Ὑλλαριμέα,
" Χριστοκλέους μὲν καὶ Θεοδώρας ἀγαπητὸν υἱὸν,
" Στρατονικείας δὲ τὸν ἀγαθώτατον ποιμενάρχην,
" Γεννηθέντα ἐν τῶι εἰκοστῶι καὶ διακοσιοστῶι
" Καὶ ἑξακισχιλιοστῶι κοσμοσωτηρίωι ἔτει.
" Ἐννέα δὲ καὶ ἑβδομήκοντα γενόμενος ἐτῶν,
" Ἐξ ὧν τρία καὶ τριάκοντα ποιμεναρχήσας πλήρη,
" Εἰς οὐρανοὺς ἀπέπτα ἐν τῆι δεκάτηι τῆς Ἰνδίκτου."

Ἡ σιγαλέα αὕτη ἐπιγραφὴ τυχαίως ἐκκαλυφθεῖσα, ὥς περ προείρηται, ἐν τοῖς ἐρειπίοις τῆς Στρατονικείας πόλεως πρὸ πέντε περί που ἐτῶν, τὸ καταρχὰς μὲν οὐδαμῶς ἐννόησα τὸ νοούμενον καίτοι πολὺ μοχθήσας· ὕστερον δὲ ὑπολαβὼν αὐτὴν ἐπιτύμβιον εἶναι, ὡς καὶ ἀληθῶς ἐστι, καὶ τὰ γράμματα ἀριθμητικοὺς εἶναι χαρακτῆρας, καὶ προσεκτικώτερον θεωρήσας αὐτὴν, καὶ τὴν πρώτην μαντεύσας λέξιν, καὶ εἰς ἐλάττονας ἀναλύσας ἀριθμοὺς ἔμαθον τὸ κρυπτόμενον. Τὴν δὲ ἀνάλυσιν ἐποιησάμην ὡς ᾧδε·

Ἀ= 1	σ= 200	κ= 20	Ἑ= 5	Ὑ=400
ν= 50	ο= 70	α= 1	ρ=100	λ= 30
δ= 4	φ= 500	λ= 30	μ= 40	λ= 30
ρ=100	ώ= 800	ύ= 400	ᾶ= 1	α= 1
α= 1	τ= 300	π= 80	ν= 50	ρ=100
	α= 1	τ= 300		ι= 10
	τ= 300	ω= 800		μ= 40
	ο 70			έ= 5
	ν= 50			α= 1
ρνϛ=156 :	͵βσϟα=2291 :	͵αχλα=1631 :	ρϟϛ=196 :	χιζ=617

Οὕτω δὴ καὶ τοὺς λοιποὺς ἑπτὰ ἀνέλυσα στίχους, οὓς ὁ ἀναγνώστης μόνος ἤδη ῥᾷστα ἀναλῦσαι δύναται τὴν ἑρμηνείαν πρὸ ὀφθαλμῶν ἔχων[1].

[1] Τοιαύτας ἐπιγραφὰς ἀνέσκαψα ἔτι τρεῖς Στρατονικείας ἄποθεν, ὧν ἡ πρώτη ἔχει ᾧδε·

ΣΜΑ ͵ΑΨ ΥΟΕ ΤΞϛ ΣΛΕ

ἥ περ λέγει· "Ἱεροκλέα κρύπτω τὸν ἐν ἀνδράσι κλεινόν." Ἡ δὲ δευτέρα ᾧδε·

͵ΑΒ ͵ΑΣΒ ͵ΑΤΑΖ ͵ΑΩΙ ΨΞϛ ϡΙΑ ΩΟΘ ΣΑ

φράζει δὲ αὕτη τάδε· " Καλλίμαχος Καλλιμάχου ὁ Στρατονικείας Στρατάρχης ἐνταῦθα καμὼν ὑπὸ πληγῆς ἀπέθανεν." Ἡ δὲ τρίτη ἔχει οὕτως·

͵ΑΣΝΗ ΦΞΕ ͵ΑΤΛϛ ͵ΑΥΞϛ ͵ΒΣΞΑ ͵ϛΨΗ΄.

ἑρμηνεύεται δὲ αὕτη ᾧδε· " Θεόδωρός ἐστιν ὁ καλυπτόμενος Ὑλλαριμέων Πρωτοσύγγελος 6708" (1200 μ. Χ.)

Καὶ ταῦτα μὲν περὶ τοῦ δεκάτου Ἑρμᾶ ἐκ τῆς ἐπιγραφῆς ταύτης πληροφορούμεθα. Περὶ δὲ τοῦ ἑνδεκάτου ταῦτα ἐν τῇ τῶν κεκοιμημένων καὶ εὐεργετῶν τοῦ Ἄθω βίβλῳ συντεταγμένῃ μάλιστα τῷ ,ϛφνγ´ ὑπό τινος Θεοδώρου Φιλοθεΐτου ἀναγινώσκομεν·

" Ἑρμᾶς δὲ ὁ Σωφρονίσκου καὶ Ἀρετῆς γεννηθεὶς ἐν τῇ βασιλευούσῃ τῶν πόλεων πόλει Κωνσταντίνου ἐν τῷ ωμδ´ σωτηρίῳ ἔτει καὶ Πρωτοσύγγελος χρηματίσας ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ Ἐπίσκοπος, μετὰ χρόνον πολὺν, Ἀδριανουπόλεως χειρονεῖται. Δέκα δὲ ὅλα ἔτη καὶ μικρὸν πρὸς ποιμάνας τὸ ποίμνιον αὐτοῦ καθαιρεῖται, ὡς συγγραψάμενος πολλὰ βλάσφημα, καὶ εἰς Ἄθωνα φέρεται δέσμιος, ἐν ᾧ ἐν φυλακῇ τηρούμενος χρόνον τινὰ διεργάζεται ἑαυτὸν καὶ οἰκτρῶς ἀποθνήσκει ἐν τῷ ϡζ´. Ἦν δὲ οὗτος τά τε πρὸς πατρὸς καὶ μητρὸς ἐκ τῆς Θρᾳκικῆς Νικαίας."

Λέγει δὲ καὶ περὶ τοῦ δωδεκάτου ὁ αὐτὸς Θεόδωρος τάδε·

" Ἑρμᾶς δὲ ὁ Παγκρατίου καὶ Μαρίας ὁ Δαμασκηνὸς ἐλθὼν εἰς τὸ ἁγιώνυμον Ὄρος τοῦτο τοῦ Ἄθωνος ἐν ἔτει σωτηρίῳ ϡΚ πρῶτον μὲν ἐν τῇ τῶν Φιλοθεϊτῶν ἱερᾷ μονῇ ἐκοινοβίασε, καὶ Ἑρμόλαος ἐν τῇ κουρᾷ μετωνόμασται, καὶ τὴν τράπεζαν τῆς μονῆς ἰδίᾳ ἀνεκαίνισε καὶ τὸ ὁρμητήριον σὺν τῷ πύργῳ. Μετὰ δὲ ἔτη δώδεκα, κατὰ παραχώρησιν Θεοῦ ἔριδος μεγάλης γενομένης ἐν ᾗ ἡσύχαζε μονῇ περὶ ἐκλογῆς ἡγουμένου (ἐκοιμήθη γὰρ ἐν Κυρίῳ ὁ καθηγούμενος τῆς μονῆς Ἀνδρέας) ἀπῆλθεν εἰς τὰ οἰκεῖα ἅμα τῷ Ἱεροδιακόνῳ τῷ καὶ υἱῷ αὐτοῦ ὄντι κατὰ σάρκα Ἡσυχίῳ. Ἐπανελθὼν δὲ αὖθις εἰς Ἄθωνα καὶ τὸν τῆς ἁγίας Ἄννης ναὸν καταπεπτωκότα ἀπὸ σεισμοῦ αὐτὸς ἐκ βάθρων ἤγειρε, καὶ οἰκήμασι περιβαλὼν τὸν ναὸν καὶ πολλοὺς τῶν πέριξ ἀσκούντων καλεσάμενος, διῆγε σὺν αὐτοῖς ἐν προσευχαῖς καὶ νηστείαις, παραινῶν πάντας ὑπείκειν τῷ υἱῷ αὐτοῦ ἡγουμένῳ αἱρεθέντι κοινῇ ψήφῳ. Γήρᾳ δὲ καμὼν, ἀπῆλθε πρὸς Κύριον ἐν τῷ ϡλζ ἑπτὰ καὶ ἑβδομήκοντα ἐτῶν ὢν τὴν ἡλικίαν."

Καὶ ταῦτα μὲν ὁ Θεόδωρος περὶ τούτου ἱστόρηκε. Μνημονεύει δὲ τούτου καὶ ὁ Θεοδοτίωνος Ἑρμᾶς ἐν ταῖς τοῦ Ἄθω βιβλιοθήκαις λέξεσιν αὐταῖς·

" Δεύτερον δὲ καὶ τριακοστὸν τὸ τῆς ἁγίας Ἄννης ἐστὶ, τῆς ἐπὶ τῶν ἐρειπίων τῆς Βουναίας Ἥρας ἱδρυθείσης ποτέ. Ἔκειτο δὲ ὅπου ἤδη ὁ Πύργος τῆς Νέας σκήτης. Τούτου δὲ ἀπογραφεὺς Ἡσύχιός τις ἐκ Δαμασκοῦ ἦν, ὃς ἐν δέκα σελίσι τὸ ὅλον χωρήσας τοῦ συγγράμματος, καὶ κοσμήμασι ποικίλοις κοσμήσας Ἑρμᾶ μυσταγωγίαν ἐπέγραψεν, ὃ καὶ Ἑρμᾷ τῷ Φιλοθεΐτῃ τῷ ὕστερον Ἑρμολάῳ μετονομασθέντι προσεφωνήθη τῷ ϡκζ´ ὑπὸ τοῦ ἀπογραφέως Ἱεροδιακόνου Ἡσυχίου, τοῦ καὶ υἱοῦ τυγχάνοντος αὐτοῦ κατὰ σάρκα." (Ὅρα ἀπόγραφον Ζ´ ἐν σελ. 200.) [1]

[1] Τὰ ἐν ταῖς κοιναῖς τῶν Ἱερῶν τοῦ Ἄθω μονῶν βιβλιοθήκαις ἔκπαλαι

Καὶ τοσαῦτα μὲν καὶ περὶ τούτου· περὶ δὲ τοῦ τρισκαιδεκάτου τάδε ἐν τῇ αὐτοῦ συγγραφῇ τῇ καὶ βιβλιοθήκαις Ἄθω ἐπιγεγραμμένῃ ἐν ἀρχῇ ἀναγινώσκομεν·

" Ὁ τοῦ συγγράμματος τούτου πατήρ ἐστιν ὁμώνυμος τῷ Ἀποστολικῷ πατρὶ Ἑρμᾷ, οὗ ὁ πατὴρ Ὀλύνθιος ἦν, ἡ δὲ μήτηρ Ἱππονησία. Ἐγεννήθη δὲ ἐν Θεσσαλονίκῃ καὶ ἐτελεύτα ἐν Ἄθῳ τῷ ϙοβʹ σωτηρίῳ ἔτει, δύω καὶ ἑβδομήκοντα βιοὺς πλήρη ἔτη."

Καὶ ταῦτα μὲν ὁ ἀπογραφεὺς, ἴσως, τοῦ συγγράμματος Κύριλλος εἰδὼς ἐσημείωσε. Γράφει δὲ καὶ ἡ ἐπιτύμβιος τοῦ ἀνδρὸς ἐκείνου πλὰξ, ἡ ἐν τῷ Ἄθῳ εἰσέτι σωζομένη, τάδε·

IC	XC
NI	KA

" Ὁ Θεοδοτίωνος Ἑρμᾶς ὁ λογογράφος,
" Ἐλθὼν ἀπὸ Ὀλύνθου καὶ ζήσας ἔτη δέκα,
" Ἐν τῇ τοῦ Πρωτομάρτυρος μονῇ τῇ θείᾳ ταύτῃ
" Τὸν βίον ἐξεμέτρησε βιβλιοθήκην γράφων,
" Καὶ μελετητήριον ψυχῆς βιβλία δέκα·
" Ταῦτα συγγραψάμενος εἰς οὐρανοὺς ἀνῆλθεν."

ϚΦΙΙ. ΙΝΔΙΚΤ. Ι. ΜΑΡΤ. Κ.

Καὶ τοσαῦτα καὶ περὶ τούτου. Περὶ δὲ τοῦ τεσσαρασκαιδεκάτου, ᾧ μάλιστα καὶ τὸ ἕως χθὲς, ὥς οἶμαι, ἀδημοσίευτον ἐν βιβλιοθήκαις κείμενον περὶ τοῦ Ἐπιστολιμαίου χαρακτῆρος συγγραμμάτιον ἀποδίδοται κατὰ τὴν ἐπιγραφὴν (ἀνάγνωθι αὐτὸ ἐν σελίδι 144) βεβαιούμεθα ἐξ ἐπιγραφῆς ἀνακαλυφθείσης ἐν τῇ τῆς νήσου Ῥόδου μητροπόλει τῷ ϙωνβʹ, ὡς πατρὸς μὲν Χρυσάνθου ἦν, τὸ δὲ γένος Ῥόδιος, ὃς Ῥοδίων χρηματίζων ποιμενάρχης καὶ τὴν μητρόπολιν αὐτοῦ κοσμήσας γυμνασίοις γραμμάτων, καθὸ τῶν Μουσῶν ἀληθὴς θιασώτης (ἐκλήθη γὰρ οὗτος καὶ σοφίας στόμα) ἐτελεύτα τῷ ͵ϛψμδʹ (τῷ ϙσλϛʹ) τρίτον καὶ τριακοστὸν

ἀποθησαυρισμένα ἀπόγραφα τῶν Ποιμενικῶν Γραφῶν, καὶ ἄχρις αἰῶνος δεκάτου καὶ δωδεκάτου σῶα κατελθόντα, λογίζονται εἶναι ἑπτὰ καὶ ἑβδομήκοντα, ὥς περ ἐν τοῖς ἀρχαίοις τοῦ Ἄθω καταλόγοις ἀπαντᾶται τοῦτο. Συνέλεξε δὲ τοὺς καταλόγους τούτους ὁ πολὺς τὴν σοφίαν καὶ κοινὸς βιβλιοφύλαξ τῆς τοῦ Κώνστα μονῆς Ἑρμᾶς ὁ Ὀλύνθιος, καὶ εἰς ἓν τεῦχος τὰ πάντα περιέβαλε καθ' ὕλην κατατάξας, καὶ κατ' ἐποχὴν διαιρέσας, ὅ περ μάλιστα Ἄθου βιβλιοθῆκαι ἐπέγραψεν. (Ὅρα ἐν σελ. 188 καὶ 196.) Τοῦτο δὲ τὸ πολύτιμον τεῦχος κτησάμενος ὁ ἡμετέρος πρὸς μητρὸς θεῖος Βενέδικτος ἐκληρονόμησα ἐγὼ ἐκείνου τελευτήσαντος (ὅρα ἐν σελ. 115)· σὺν τούτῳ δὲ, καὶ τὸ δεύτερον τοῦ αὐτοῦ ἀνδρὸς ἐκτησάμην δεκάβιβλον ἔργον, τὸ καὶ "Μελετητήριον ψυχῆς," καθὰ ἐῤῥέθη, ἐπιγεγραμμένον.

ἄγων τῆς ἡλικίας ἔτος, καθάγε ἡ ἐπιτύμβιος αὐτοῦ ἐπιγραφὴ διαβεβαιοῖ τοῦτο, ἥν περ ὅρα ἐν σελίδι 147.

Τούτων δ᾽ ἐκτὸς καὶ ἕτεροι εὕρηνται δύω· ἐν τῇ τῶν Ἑλληνικῶν ἐπιγραφῶν τοῦ Βοικίου συλλογῇ, οἵ περ γεγονέναι λέγονται, ἐπὶ τῶν Καρακάλου χρόνων, ὧν ὁ μὲν ἕτερος τυγχάνει Κιβαρίωνός τινος υἱὸς, ὁ δὲ ἕτερος οὐ γινώσκεται τίνος υἱὸς ἦν (ὅρα ἐπιγραφὴν 5109, 13, 22). Ἔστι δὲ καὶ ποταμὸς ἐν Μυγδονίᾳ τῇ Μακεδονικῇ Ἑρμᾶς τὸ πάλαι καλούμενος, καὶ ἕτερος αὖθις ἐν τῇ τῆς Μεγάλης Φρυγίας Μυγδονίᾳ, ὥς περ σὺν ἄλλοις καὶ Στέφανός [1] φησιν ὁ Ἐθνικογράφος ἐν τῇ ὁλοσχερεῖ αὐτοῦ συγγραφῇ. Ἔστι δὲ καὶ φυτόν τι ΕΡΜΑΣ καλούμενον.

Καὶ τοσαῦτα μὲν περὶ τῶν ὁμωνύμων τῷ Ἑρμᾷ καὶ τοῦ Ἑρμᾶ αὐτοῦ εἰδὼς γράφω. Εἰ δὲ καὶ ἕτερός τις τούτων ἐγένετο οὐκ οἶδα· οἶδα δὲ μόνον ὅτι προσηνέχθη ποτὲ δῶρον Καίσαρι τῷ Σεβαστῷ ἀνὴρ Ἰνδὸς ἄχειρ, ὃς καὶ ΕΡΜΑΣ ὀρθῶς ἐκλήθη, καθάγε ὁ Δαμασκηνὸς Νικόλαος παραδίδωσιν ἡμῖν διὰ τοῦ Στράβωνος·

"Φησὶ γὰρ οὗτος ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ παρατυχεῖν τοῖς Ἰνδῶν πρέσβεσιν ἀφιγμένοις παρὰ Καίσαρα τὸν Σεβαστόν· οὓς ἐκ μὲν τῆς ἐπιστολῆς πλείους δηλοῦσθαι, σωθῆναι δὲ τρεῖς μόνους, οὓς Ἰδεῖν φησί, τοὺς δ᾽ ἄλλους ὑπὸ μήκους τῶν ὁδῶν διαφθαρῆναι τὸ πλέον· τὴν δ᾽ ἐπιστολὴν ἑλληνίζειν ἐν διφθέρᾳ γεγραμμένην, δηλοῦσαν ὅτι Πῶρος εἴη ὁ γράψας, ἑξακοσίων δὲ ἄρχων βασιλέων ὅμως περὶ πολλοῦ ποιοῖτο φίλος εἶναι Καίσαρι, καὶ ἕτοιμος εἴη δίοδόν τε παρέχειν ὅπῃ βούλεται καὶ συμπράττειν ὅσα καλῶς ἔχει. Ταῦτα μὲν ἔφη λέγειν τὴν ἐπιστολὴν, τὰ δὲ κομισθέντα δῶρα προσενεγκεῖν ὀκτὼ οἰκέτας γυμνοὺς, ἐν περιζώμασι καταπεπασμένους ἀρώμασιν· εἶναι δὲ τὰ δῶρα τόν τε ΕΡΜΑΝ, ἀπὸ τῶν ὤμων ἀφῃρημένον ἐκ νηπίου τοὺς βρα-

[1] "Μυγδονία, μοῖρα τῆς Μακεδονίας, ἐν ᾗ ὁ ΕΡΜΑΣ ῥεῖ ποταμὸς, τὰς πηγὰς ἔχων παρὰ τῷ ἱερῷ Μυγδονίου Ἑρμοῦ, ἀφ᾽ οὗ μάλιστα καὶ τῆς προσηγορίας ὁ ποταμὸς ἔτυχεν. Ἔστι δὲ καὶ χώρα Μυγδονία ἐν Φρυγίᾳ τῇ Μεγάλῃ ἐν ᾗ καὶ ἱερὸν ἅγιον Μυγδόνου Διὸς, κτίσμα Μύγδονος ἄνακτος, τοῦ καὶ τὴν χώραν οἰκίσαντος πρώτου, καὶ τὴν πόλιν Μαίδην τὴν πρωτεύουσαν αὐτῆς, ἀπὸ τῆς γυναικὸς αὐτοῦ Μαίδης, κτίσαντος, ἀφ᾽ ἧς καὶ Μαιδοὺς τοὺς Μυγδονοὺς πάντας ἐκάλεσάν τινες. Ἔστι δὲ καὶ Μυγδονία πόλις τρισχιλίους σταδίους ἄπωθεν Μαίδης, Μακαιδόνων Μυγδονίων κτίσμα ἔνθα καὶ ἱερὸν μέγα Ἑρμοῦ Μυγδονίου πρός τε ταῖς τοῦ ΕΡΜΑ ποταμοῦ ἐκβολαῖς καὶ τῷ τοῦ Μυχθονίου ἡρώῳ, ἀφ᾽ οὗ μάλιστα καὶ ἡ ἐγγὺς αὐτοῦ κοιλὰς Μυχθονία ἐκλήθη ποτὲ καθὰ Ἔφορός φησι. "Τὸ Ἐθνικὸν Μυγδονικὸς, καὶ θηλυκῶς καὶ οὐδετέρως· τῆς δὲ Μυχθονίας Μυχθόνιος καὶ Μυχθονία καλεῖται." Οὕτως ὁ πολὺς τὴν σοφίαν Στέφανος ὁ Ἐθνικογράφος γράφει, ὁ δὲ ἐπιτομεὺς αὐτοῦ Ἑρμόλαος διέφθειρε καὶ τὸ χωρίον τοῦτο ὡς καὶ ἅπασαν τὴν συγγραφὴν τῶν Ἐθνικῶν χάριν συντομίας.

χίονας, ὃν καὶ ἡμεῖς εἴδομεν, καὶ ἐχίδνας μεγάλας καὶ ὄφιν πηχῶν δέκα καὶ χελώνην ποταμίαν τρίπηχυν πέρδικά τε μείζω γυπός." Καὶ ταῦτα μὲν τὰ τοῦ Νικολάου (ὅρα Στράβ. βιβλ. ιε΄. § 73). Νῦν δὲ μετιτέον ἐπὶ τῶν τοῦ ΠΟΙΜΕΝΟΣ ἀπογράφων.

Ἑπτὰ τῶν τοῦ μυσταγωγικοῦ πατρὸς Ἑρμᾶ ἱερῶν γραφῶν ἐκτησάμην, ὥς περ καὶ ἐν τῷ Μέμνονι ἐῤῥέθη τὸ τοιοῦτον. Καὶ πρῶτον μὲν τὸ Καλλιστράτειον, δεύτερον δὲ τὸ Ἀρτέμειον, τρίτον δὲ τὸ Νεστώρειον, τέταρτον δὲ τὸ Ἀμφιλόχειον, πέμπτον δὲ τὸ Εὐσέβειον, ἕκτον δὲ τὸ Λειψιανὸν πολύκροτον παλίμψηστον, ἕβδομον δὲ τὸ Ἡσύχειον· τούτοις δὲ πρόσθες καὶ ὄγδοον τὸ Κλημέντειον, καὶ τὸ Ἀβράμειον ἔννατον.

Καὶ τὸ μὲν πρῶτον τούτων ἐν τῷ πρώτῳ αἰῶνι τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως μεταγραφὲν ὑπὸ Καλλιστράτου τινὸς τὸ γένος Ἀντιοχέως ἐν τῇ κατὰ τὸ Σίναιον ὄρος Ἑλληνικῇ μονῇ ἀνεκαλύφθη τῷ ͵ΑΩΝΒ΄. Ἔστι δὲ τοῦτο ἐπὶ παπύρου γεγραμμένον Αἰγυπτιακοῦ κεφαλαίοις μάλιστα γράμμασι, καὶ ἄνευ τόνων καὶ πνευμάτων, καὶ κώλων καὶ κομμάτων· ἀπαρτίζεται δὲ τὸ ὅλον αὐτοῦ ἐκ σελίδων ΣΟΖ. Ἑκάστη δὲ τῶν σελίδων τετράστηλος οὖσα ΝΒ στίχους ἀριθμεῖ ἑκάστη τῶν στηλῶν. Ἐπιγράφεται δὲ τοῦτο ὧδε·

"ΑΙ ΠΟΙΜΕΝΙΚΑΙ ΓΡΑΦΑΙ ΕΡΜΑ ΑΣΥΓΚΡΙΤΟΥ ΛΑΟΔΙΚΕΩΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ."

Τὸ δὲ δεύτερον Ἀρτέμιός τις ἐξ Ὀλύνθου ὁρμώμενος πόλεως ἐξέγραψε τῷ ͵ΕϡΠ΄ (272 μ. Χ.) καὶ "Ο ΠΟΙΜΗΝ ΕΡΜΑ ΔΟΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ" ἐπέγραψε. Τοῦτο δὲ ἐν τῇ κατὰ τὸν Ἄθων μονῇ τοῦ ἁγίου Παντελεήμονος ἀνακαλυφθὲν τῷ ͵ΑΩΝΑ΄ ἐξ ΡΚΒ σελίδων διστήλων σύγκειται τὸ ὅλον αὐτοῦ· ἑκάστη δὲ τῶν στηλῶν ΜΘ στίχους περιέχει. Ἔστι δὲ τοῦτο κεφαλαιωδῶς γεγραμμένον, καὶ Νικηφόρῳ τινὶ πρεσβυτέρῳ καθιερωμένον.

Τὸ δὲ τρίτον παλίμψηστον ὂν ἐν Ἄθῳ καὶ τοῦτο ἀνεκαλύφθη καὶ μάλιστα ἐν τῷ τῆς Βουγοροδίσσης ναῷ. Ἐκ σελίδων δὲ ἑπτὰ καὶ ὀγδοήκοντα συγκείμενον, καὶ κεφαλαίοις γράμμασι γεγραμμένον γραφῇ μάλιστα ἀρίστῃ Νεστώριός τις Μαζαινηνὸς τὸ γένος ἐν τῷ Δ΄ αἰῶνι ἐποίησε, καὶ "Ο ΠΟΙΜΗΝ ΤΗΣ ΜΕΤΑΝΟΙΑΣ ΕΡΜΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ" ἐπέγραψε.

Τὸ δὲ τέταρτον ἐπαγγέλλεται μεταγραφέα Ἀμφιλόχιόν τινα ἱερομόναχον ἐκ Λαοδικίας πόλεως, ὅ περ μάλιστα ἐν τῷ ͵ϚΙ΄ (502) μεταγραφὲν ἔτει ἐξ ὀγδοήκοντα σύγκειται σελίδων· διαιρεῖται δὲ τοῦτο ἐν μέρεσι τρισί· καὶ τὸ μὲν πρῶτον μέρος ἐπιγράφεται ὧδε·

"ΕΡΜΑ ΔΟΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΟΡΑΣΕΙΣ ΠΕΝΤΕ."

Τὴν δὲ ἀρχὴν ἐντεῦθεν ποιεῖται τοῦ λόγου·

"Ὁ ἐκ παίδων παραλαβών με εἰς τὰ οἰκεῖα καὶ ὡς ἴδιον παιδεύσας με τέκνον ἐπρίατο παιδίσκην ἐκ Ῥώμης λίαν εὐηδῆ." . . . .

Τὸ δὲ δεύτερον ὧδε ἐπιγράφεται·

"ΕΡΜΑ ΔΟΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΕΝΤΟΛΑΙ ΔΥΩΔΕΚΑ."

Τὴν δὲ ἀρχὴν τούτου τοῦ μέρους ποιεῖται ὡς ἑξῆς·

"Πρῶτον μὲν πάντων δεῖ πιστεύειν ἕκαστον, ὡς εἷς ἐστιν ὁ Θεὸς, ὁ τὰ πάντα κτίσας τῷ λόγῳ αὐτοῦ μόνῳ καὶ καταρτήσας." . . . .

Τὸ δὲ τρίτον ἐπιγράφεται οὕτως·

"ΕΡΜΑ ΔΟΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΠΑΡΑΒΟΛΑΙ ΔΕΚΑ."

Ποιεῖται δὲ τὴν ἀρχὴν τοῦ λόγου ὧδε·

"Μικρὸν δὲ ὕστερον παραγενόμενος αὖθις πρός με ὁ ἄγγελος τῆς μετανοίας ἐν παραβολαῖς ἤρξατο λαλεῖν καὶ λέγειν· 'Οἴδατέ,' φησιν, 'ὅτι ἐπὶ ξένης κατοικεῖτε γῆς ὑμεῖς οἱ τοῦ Θεοῦ δοῦλοι πάντες'" . . . Τοῦ ἀπογράφου δὲ τούτου ἐμνήσθη καὶ ὁ τοῦ Κλημεντείου ἀπογραφεὺς Κλήμης εἰπὼν ἐν τῷ περισελιδίῳ τῆς α′ σελίδος τάδε· "Μαξίμῳ τὸ Καυσοκαλυβίτῃ δοκεῖ ὡς τὸ χωρίον τοῦτο οὐ καλῶς ἔχει, καθαπερεὶ καὶ ἄλλα οὐκ ὀλίγα· δι' ὃ καὶ προκρίνει τούτου καὶ πολλῶν ἄλλων τὸ ἐν τῷ ἁγίῳ Παύλῳ σωζόμενον Ἀμφιλόχειον ἀπόγραφον." (Ὅρα Μέμν. σελ. ιβ′. παρὰ τῇ πέζῃ τῆς γ′ στήλης, μάλιστα δὲ καὶ ἐν τῷ περισελιδίῳ τοῦ ἐκμαγείου.)

Τὸ δὲ πέμπτον Εὐσέβιός τις ἔγραψεν ἐν τῷ ͵ϚΦΚΗ′ (1020) τὸ γένος Θορνάκιος τυγχάνων καὶ ἐπέγραψεν αὐτὸ ὧδε·

"ΕΡΜΑ ΑΣΥΓΚΡΙΤΟΥ ΤΟΥ ΛΑΟΔΙΚΕΩΣ ΓΡΑΦΑΙ ΤΡΕΙΣ."

Τὸ δὲ ἕκτον παλίμψηστον ὂν καὶ ἀτελὲς οὐκ ἴσμεν οὐδὲ τὸν μεταγραφέα αὐτοῦ, ὡς οὐδὲ τὸν χρόνον τῆς μεταγραφῆς ἀκριβῶς γιγνώσκομεν· πιστεύεται δὲ εἶναι γεγραμμένον ἐν τῷ ἕκτῳ αἰῶνι, ὅτι ἡ γραφὴ αὐτοῦ κεφαλαιώδης οὖσα ἐν τῷ αἰῶνι ἐκείνῳ ἦν μᾶλλον ἐν χρήσει. Ἐπιγράφεται δὲ τοῦτο "ΕΡΜΑ ΠΟΙΜΗΝ." Καὶ ἔστιν αὐτὸ ἐκεῖνο περὶ οὗ τοσοῦτος μάταιος ἐγένετο λόγος τῇ ῥᾳδιουργίᾳ τῶν ἐξ ἐπαγγέλματος ῥᾳδιούργων, ὥς περ κατεδείχθη[1]. Τοῦ παλιμψήστου τούτου ἐκτήσατο ἡ

[1] Ὡς τὰ πρῶτα τέσσαρα τοῦ χειρογράφου τούτου φύλλα ἐξ Ἀλεξανδρείας ἐδεξάμην, καὶ τῷ καθηγητῇ Δινδορφίῳ ἐγνώσθη τοῦτο διὰ τοῦ καθηγητοῦ Ἀγγέρου

ἐν Βιέννῃ Καισαροβασιλικῇ βιβλιοθήκῃ φύλλον ἕν, ὃ καὶ θεωρεῖ ὡς ἀδάμαντα πολύτιμον. Ἀνεκαλύφθη δὲ τοῦτο ἐν τῷ κατὰ Βολβιτίνην (Ῥαχήττιον τανῦν) ναῷ τοῦ ἁγίου Νικολάου.

πάραυτα γενόμενος πρός με οὗτος ἅμα τῷ Λυκούργῳ ἤρξατο (μετὰ τὴν τῶν φύλλων ἐπιστημονικὴν ἐξέτασιν) παρακαλεῖν καὶ λέγειν· " δέομαί σου, φίλτατε Σιμωνίδη, παραχώρησον καὶ ταῦτα τῇ Ἐθνικῇ ἡμῶν βιβλιοθήκῃ·" ἀλλ' ἐγὼ τὸ κατ' ἀρχὰς μὲν οὐδαμῶς συγκατένευσα, ὕστερον δὲ ἐνέδωκα ταῖς παρεκλήσεσιν ἀμφοτέρων καὶ μάλιστα ὑπὸ τὴν ἑξῆς ἔγγραφον σύμβασιν·

" Τὰ ἐξ ἀρχαίου τινὸς, ἐν παλιμψήστῳ παρ' ἐμοὶ σωζομένῳ Ἑλληνικῆς τοῦ Ποιμένος τοῦ Ἑρμᾶ συγγραφῆς τέσσαρα φύλλα πωλῶ ὁ ὑποφαινόμενος ἀντὶ 100 ταλλήρων εἰς τὴν ἐνταῦθα Ἀκαδημαϊκὴν βιβλιοθήκην, ὑπὸ τὸν ἑξῆς ὅρον·

" Ἐὰν ἐν τῷ μεταξὺ ὀκτὼ ἐτῶν, ἀπὸ σήμερον τοῦ χρόνου ὑπολογιζομένου, εὑρεθῶσι καὶ ἕτερα τοῦ αὐτοῦ χειρογράφου φύλλα, ἢ καὶ πᾶν τὸ χειρόγραφον, ἡ τῆς Ἀκαδημίας βιβλιοθήκη ὑποχρεοῦται ἵνα μοι ἀποστρέψῃ τὰ τέσσαρα φύλλα, καὶ λάβῃ ἃ ἤδη χορηγεῖ μοι ἑκατὸν τάλληρα· ἐν περιπτώσει καθ' ἣν ἀπαναίνεται ἑτέραν περὶ τῆς πωλήσεως τῶν μέχρι τῆς ἐποχῆς ἐκείνης εὑρεθησομένων φύλλων τοῦ χειρογράφου συμφωνίαν*.

" Ἐν Λειψίᾳ τῇ 27/9 Δεκεμβρίου 1855.

" Κ. Σιμωνίδης."

Παραχωρήσας οὖν ἐγὼ τότε τῷ Δινδορφίῳ τὰ τέσσαρα φύλλα καὶ λαβὼν παρ' αὐτοῦ τὸ συμπεφωνηθὲν ἀργύριον ἡσυχίαν εἶχον· ἀλλὰ μεθ' ἡμέρας δεξάμενος φάκελλον ἐξ Ἀλεξανδρείας διὰ τοῦ ταχυδρομείου, καὶ ἀποσφραγίσας αὐτὸν εὗρον ἐν αὐτῷ καὶ ἕτερα τοῦ Ἑρμᾶ φύλλα ἐν οἷς καὶ τὴν ἐπιστολὴν τήνδε·

" Ἀγαπητέ μου αὐτάδελφε Κύριε Κωνσταντῖνε.

" Ἐν Ἀλεξανδρείᾳ τῇ 5 Ἰαν. 1856.

" Εἰς Λειψίαν.

" Ὁ σεβαστὸς ἡμῶν πατὴρ (ὅστις καὶ ἀπὸ καρδίας σᾶς εὔχεται) ὡς ἔλαβε τὴν ἐπιστολήν σου αὐθημερὸν ἐξετέλεσε τὴν ἐπιθυμίαν σου, διότι ἐξέτασε τὰ κιβώτιά σου μετὰ πολλῆς προσοχῆς καὶ εὗρεν, εὐτυχῶς, φύλλα τινὰ ὅμοια κατὰ πάντα τοῖς προτέροις ὀκτὼ, ἅ περ καὶ ἔλαβον χθὲς μόλις διὰ τοῦ ταχυδρομείου Ῥόδου ἐκ Σύμης σταλέντα μοι. Εἰσὶ δὲ τὰ περίκλειστα, δεκαεπτὰ φύλλα τὰ πάντα ὄντα. Ὅθεν παρακαλῶ σε θερμῶς ἅμα λάβεις ταῦτα κοινοποίησόν μοι τὴν παραλαβὴν αὐτῶν πρὸς ἡσυχίαν μου. Ὑγίαινε.

" Ὁ αὐτάδελφός σου

" Στίλπων Σιμωνίδης."

Ταῦτα μέντοι κομισάμενος πρὸς Ἄγγερόν τε καὶ Δινδόρφιον τὴν ταχίστην παραγίγνομαι, καὶ τὴν αἰτίαν τῆς ἐπισκέψεως λέγω, καὶ τὰ πάντα αὐτοῖς δείκνυμι· οἱ δὲ πλήρεις χαρᾶς γενόμενοι ἐπὶ τοῖς δρωμένοις ἐλυπήθησαν ὕστερον ὑπερβαλλόντως μαθόντες τὴν ἀληθῆ τῆς ἐπισκέψεως αἰτίαν· εἶπον γὰρ αὐτοῖς τάδε· " Ἰδοὺ ὡς ὁρᾶτε, φίλοι, ἀνεκαλύφθη καὶ ἄλλα τοῦ Ποιμένος φύλλα· ἀπόδοτέ μοι οὖν ἤδη τὰ παραχωρηθέντα ὑμῖν φύλλα καὶ λάβετε τὸ ἀργύριον

---

* Τὴν σύμβασιν ταύτην συνετάξατο μὲν Γερμανιστὶ ὁ Δινδόρφιος, ἐξελλήνισε δὲ ὁ Λυκοῦργος, ὃς ὑπὲρ Σιμωνίδου τὸ πρὶν μέχρι μονομανίας ἀγορεύων, ἐκινήθη κατ' αὐτοῦ ὕστερον μὴ λαβὼν ἅπερ ᾐτήσατο 200 τάλληρα.

Τὸ δὲ ἕβδομον "ΕΡΜΑ ΜΥΣΤΑΓΩΓΙΑ" ἐπιγραφόμενον Ἡσύχιός τις ἐκ Δαμασκοῦ ἐν Ἄθῳ τῷ ὄρει ἐξέγραψε τῷ ,ϚΥΛΕ΄ (927) καὶ τῷ πατρὶ αὐτοῦ Ἑρμᾷ ἀνέθηκεν (ὅρα ἐν σελίδι 196). Σύγκειται δὲ τοῦτο ἐκ σελίδων δέκα μόνον καὶ μάλιστα κοσμήμασι ποικίλοις κεκοσμημένων· τὴν δὲ γραφὴν λίαν καθαρὰν ἔχει. Τούτου τὸ ὅλον ἀπομαχθήσεται ἡλιοτυπικῶς καὶ κοινωθήσεται τοῖς ἀνθρώποις, δι' οὗ ἡλιοτυπικοῦ συστήματος ἐδωρήσατο ἡμῖν ὁ ἀληθῶς φιλόπατρίς τε καὶ φιλόκαλος κύριος Στέφανος Κοκκιλάνης.

Τὸ δὲ ὄγδοον Κλήμης τις Λαρισσαῖος ἐπίκλην Πλατυγένης ἔγραψεν ἐν τῷ ,Ϛ϶ΞΕ΄ (1457), καὶ τάδε ἐπέγραψεν· "Ἀρχὴ σὺν Θεῷ τῆς βίβλου τῆς λεγομένης Ποιμήν." Ἔστι δὲ τοῦτο ἐν ἐννέα καὶ εἴκοσι σελίσι γεγραμμένον, οὗ τὰς ἓξ ἡ τῆς Λειψίας Ἀκαδημαϊκὴ βιβλιοθήκη ἐκτήσατο· ἡ δὲ τούτου γραφή ἐστιν ἤδη τοῖς πᾶσι γνωστὴ, ὅτι πολλὰ τούτου χωρία ἐξεδόθησαν πανομοιωτύπως ἐν τῷ Μέμνονι.

Ἔννατον δ' ἔστι τὸ τοῦ Τηλίου Ἀβραμίου ἐν Ἄθῳ μεταγραφὲν τῷ ,ΑΩΚΑ΄, τὸ καὶ μηδεμιᾶς προσοχῆς ἄξιον, ὅτι κοινολέκτως ἠλλοίωτο ὑπὸ τοῦ μεταγραφέως Ἀβραμίου. Προστεθήτω δὲ τούτοις καὶ τὸ ἀκρωτηριασμένον Γρηγοριανὸν χειρόγραφον, καὶ καθόλου ὑπὸ τοῦ χρόνου διεφθαρμένον, οὗ μάλιστα ὁ ἀπογραφεὺς Θεόφιλος Φιλιππεὺς εὕρηται εἶναι. Μετεγράφη δὲ τοῦτο ἐν τῷ τρίτῳ καὶ δεκάτῳ αἰῶνι. Πρὸς τούτῳ δὲ καὶ τὰς εἰκονικὰς παραστάσεις πρόσθες, εἰ βούλει, Ἀρσενίου τοῦ ἁγιογράφου τὰς εἰς τὰς Ὁράσεις τοῦ Ἑρμᾶ, καὶ τὴν τοῦ Μητροφάνους Εἰκονικὴν Ἑρμηνείαν εἰς τὰς δυωκαίδεκα τοῦ πατρὸς ἐντολὰς, ὅτι παρὰ μὲν τῷ Ἀρσενίῳ αἱ ὁράσεις σώζονται πᾶσαι· παρὰ δὲ τῷ Μητροφάνει αἱ ἐντολαὶ (ὅρα ἐν σελίδι 128). Ἐπὶ πᾶσι δὲ καὶ τὰς δυωκαίδεκα ἐντολὰς μόνας, αἵ περ ἐν τοῖς ἐρειπίοις τῆς τῶν Μυρέων μητροπόλεως ἐξεκαλύφθησαν ἐπὶ λίθου οὖσαι γεγραμμέναι ἅμα ταῖς δέκα τῆς Π. Διαθήκης, αἵ περ, ὡς ἔοικεν, ἵσταντο ἔνθεν καὶ ἔνθεν τῆς πύλης τοῦ ἐσωτερικοῦ προνάου κατὰ παλαιὸν ἔθος· ἔστι δὲ γεγραμμέναι πᾶσαι ἐπὶ δύω στηλῶν τριῶν πήχεων ὕψος ἑκάστη ἔχουσα, πήχεως δ' εὖρος· καὶ ἡ μὲν ἑτέρα τούτων τὰς τοῦ Ἑρμᾶ περιέχει, ἡ δὲ τὰς τῆς Π. Διαθήκης.

Καὶ ταῦτα μέν ἐστι τὰ μέχρις ἡμῶν κατελθόντα τοῦ ΠΟΙΜΕΝΟΣ ἀπόγραφα, ὧν τὸ μὲν πρῶτον τούτων ἐπὶ παπύρου Αἰγυπτιακοῦ γέ-

ὑμῶν." Καταταραχθέντες οὖν οὗτοι τότε ἐπὶ τοῖς λεγομένοις, ἐδέοντό μου θερμῶς ἵνα παραιτηθῶ τῆς ἀπαιτήσεως, ὅτι καταλυπεῖ αὐτοὺς σφόδρα, παραχωρήσω δὲ αὐτοῖς καὶ τὰ λοιπὰ ἐπὶ διπλασίᾳ ἀμοιβῇ. Ἀλλ' ἐγὼ ἄκαμπτος μένων ὅλως ἔλαβον τὴν ἐπιοῦσαν τὸ ζητηθέν. Οἱ δὲ λίαν χολήσαντες ἤρξαντο ἔκτοτε Πυθαγορικοὺς κυάμους ἐσθίειν καὶ κατ' ἐμοῦ κινήραν κρούειν· ἀλλ' οὐ μέλει μοι ποσῶς περὶ τούτου, ὅτι δαφνίνην φορῶ βακτηρίαν. Συνέβησαν δὲ περὶ τοῦ παλιμψήστου τούτου καὶ ἄλλα πολλὰ, ἅ περ ἀλλαχοῦ διηγήσομαι.

γραπται, τὸ δὲ τοῦ Κλήμεντος καὶ τὸ τοῦ Ἀβραμίου ἐπὶ χάρτου, τὰ δὲ λοιπὰ πάντα ἐπὶ διφθερῶν. Ὑπάρχει δὲ καὶ ἕτερα τρία τοῦ Ἑρμᾶ ἀπόγραφα ἐκ παπύρου καὶ διφθερῶν συγκείμενα, ἀλλὰ διεφθαρμένα ὅλως καὶ ἀτελῆ.

Ἐκ τούτων τοίνυν δύω μόνα ἐκοινώθησαν τοῖς ἀνθρώποις τὸ Κλημέντειον καὶ τὸ Ἀβράμειον· καὶ τὸ μὲν πρῶτον ὅ τε Ἄγγερος καὶ ὁ Δινδόρφιος ἐξέδωκαν πρῶτοι, τὸ δὲ δεύτερον τὸ καὶ καθόλου διεφθαρμένον Τισσενδόρφιος ἐξέδωκε κερδοσκοπίας ἕνεκα, καίτοι γινώσκων τὸ τοιοῦτον· ἄπληστος γὰρ πίθος ὁ ἀνήρ· δι' ὃ κατὰ τὸν εἰπόντα "οὔποτε ἐκ σκίλλης ῥόδα φύεται οὐθ' ὑάκινθος." Τὸ δὲ πάντων χείριστόν ἐστιν ὅτι τοῦτο μὲν εἶπε γνήσιον εἶναι, ἐκεῖνο δὲ τοὐναντίον ἐκήρυξε, καὶ πολλοὶ τῶν Βεκκεσελήνων συμπολιτῶν αὐτοῦ, οἱ ἀεὶ πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδοντες, ἐπεφήμησαν τῷ ἀνδρί· ἀλλὰ πάραυτα τῆς ἀληθείας ἀποδειχθείσης τῇ διὰ τῆς λιθογραφίας ἐξεικονίσει τῶν διαφιλονεικουμένων χωρίων ἐφωράθη παρ' ἐλπίδας ἡ Τισσενδορφικὴ ἀπάτη, καὶ ἅπαντες ἤδη καταγελοῦσιν αὐτοῦ, ὅτι οἱ κακοὶ τῆς πονηρίας πίνουσι τὴν ὁμίχλην κατὰ τὴν παροιμίαν. Καὶ γὰρ τίς νοῦν ἔχων ἀκούσει ἂν τοῦ φιλαλήθους Ἀβραμίου λέγοντος, ὡς "τὸ ὑπ' ἐμοῦ ἀπόγραφόν ἐστιν οὐκ ἀκριβὲς καθὸ ἠλλοιωμένον ἐν πολλοῖς χωρίοις διά τε τὸ δυσνόητον καὶ δυσανάγνωστον," καὶ πιστεύσει τὸν φύσει τῆς ἀληθείας ἐχθρὸν Τισσενδόρφιον; οὐδεὶς πέποιθα πλὴν τῶν τῆς αὐτῆς κεραμίας ἀνδρῶν· καταδείξει δὲ ἐπὶ μᾶλλον τὸν φενακισμὸν τοῦ ἐν πορφύρᾳ πιθήκου κλεινοῦ Τισσενδορφίου ἡ πρὸς ἄλληλα παράθεσις[1] ἁπάντων τῶν παρ' ἐμοὶ σωζομένων τοῦ Ποιμένος ἀπογράφων, καὶ ἡ τοῦ ἀρχαιοτέρου τούτων ἔκδοσις. Εἰ δὲ καὶ τῶν ἀναγνωστῶν ἡμῶν τις τὸ ἱστορικὸν τοῦ Κλημεντείου ἀπογράφου, ἐξ οὗ ἡ Ἀγγερο-Δινδόρφιος προὔκυψεν ἔκδοσις, μαθεῖν βούλεται, ὁράτω τὴν ἐν τῇ 127 σελίδι πρὸς τὸν Ἄγγερον ἡμῶν ἐπιστολήν· καὶ ταῦτα μὲν ὧδε ἐχέτω. Νῦν δὲ δώσομεν τοῖς ἀναγνώσταις καὶ τὸ ἄχρις ἡμέρας ἄγνωστον μένον τελευταῖον τῶν Ποιμενικῶν γραφῶν μέρος· οὐ παρεδόθη γὰρ τοῖς πρώτοις ἐκδόταις τοῦτο, ὅτι οὐχ ὑπῆρχε παρ' ἐμοὶ τότε. Ἔχει δὲ τοῦτο ὡς ἑξῆς.

[1] Ἡ πρὸς ἄλληλα παράθεσις χωρίων τινῶν ἐκ τῶν μνημονευθέντων χειρογράφων ἐγένετο ἐν τῷ Μέμνονι, καὶ τὸν Ῥαχίας λαλίστερον τοῦτον Σάξωνα σὺν τοῖς ψήφοις τοῦ Πανίδου ὥς περ βατράχους Σεριφίους κατέδειξεν.

ΤΟ ΕΛΛΕΙΠΟΝ

ΤΩΝ ΠΟΙΜΕΝΙΚΩΝ ΘΕΙΩΝ ΓΡΑΦΩΝ

ΤΟΥ

ΑΠΟΣΤΟΛΙΚΟΥ ΠΑΤΡΟΣ ΕΡΜΑ

Ὡς ἐν τῷ Κλημεντείῳ ἀπογράφῳ ἔχει.

ΕΚ ΤΗΣ Θʹ ΠΑΡΑΒΟΛΗΣ

Δεκάτης δὲ ἐννάτης σελίδος τοῦ ἀπογράφου.

Ἄκουέ, φησι, καὶ περὶ τούτων πάντων. Οἱ λίθοι οἱ ἐκ τοῦ πεδίου ἠρμένοι καὶ τεθειμένοι εἰς τὴν οἰκοδομὴν τοῦ πύργου ἀντὶ τῶν ἀποβεβλημένων αἱ ῥίζαι εἰσὶ τοῦ ὄρους τοῦ λευκοῦ τούτου· ἐπεὶ οὖν οἱ πιστεύσαντες ἐκ τοῦ Ὄρους τοῦ λευκοῦ πάντες ἄκακοι[1] *εὑρέθησαν, ἐκέλευσεν ὁ κύριος τοῦ πύργου τούτους ἐκ τοῦ ὄρους τούτου βληθῆναι εἰς τὴν οἰκοδομὴν τοῦ πύργου· ἔγνω γὰρ ὅτι, ἐὰν ἀπέλθωσιν*[2] *εἰς τὴν οἰκοδομὴν τοῦ πύργου οἱ λίθοι οὗτοι, διαμενοῦσι*[3] *λαμπροί, καὶ οὐδεὶς αὐτῶν μελανίσει*[4]. *Εἰ δὲ* † [*καὶ ἐκ τῶν ἄλλων*] *ὀρέων τούτῳ προσέθηκεν*[5] *ἀνάγκη ἦν ἂν οὐδεμία τῷ Κυρίῳ τοῦ πύργου δοκιμάζειν αὖθις αὐτῷ καὶ καθαίρειν· πάντες γὰρ οὗτοι οἱ προστεθειμένοι τῷ πύργῳ λίθοι, ἅ τε λίαν λευκοὶ καὶ ἄσπιλοι ὄντες*[6],

Σημείωσις. Αἱ ἑξῆς γραφικαὶ διαφοραὶ ἐξήχθησαν πᾶσαι ἐκ τῆς τοῦ Ἀμφιλοχίου ἀπογραφῆς· παρεβλήθη γὰρ αὕτη πρὸς τὴν τοῦ Κλήμεντος.

[1] Ἀμφιλόχειον ἀπόγραφον κακίας ἄτερ. [2] πρὸς τὴν οἰκ.

[3] διαμενοῦσιν αὐγάζοντες. [4] μελανθὴς γενήσεται. †· ἐντεῦθεν ἄρχεται τὸ ἐλλεῖπον, τὸ δὲ παρένθετον χωρίον ἐκ τοῦ Ἀμφιλοχείου ἀπογ. ἐλήφθη, ὅτι ὑπὸ σεὸς τὸ Κλημέντειον διέφθαρτο ἐν τῷ μέρει τούτῳ, ὥς περ καὶ ἐν ἄλλοις μέρεσιν, ἅ περ μάλιστα περιττὸν ἔκρινα παρενθέσεσι διακρίνειν· ἄσκοπον γάρ. [5] τούτῳ προσέθηκεν ὀρέων. [6] ἅ τε λίαν καὶ ἄσπιλοι ὄντες, οὐδαμῶς δὲ ψαθαροί, εἰσιν οἱ ἐν τῷ Κυρίῳ.

εἰσὶν οἱ τῷ Κυρίῳ ἡμῶν ἐκ νηπιότητος πιστοὶ, οἵ περ μάλιστα καὶ ἄχρι τελευτῆς τοιοῦτοι διαμένουσιν, ὡς ἐκ τοῦ αὐτοῦ πάντες οὗτοι γένους ὄντες. Μακαριστὸν ἄρα τὸ γένος ἐστὶ τοῦτο, ὅτι δίκαιόν ἐστι καὶ ἄκακον, ὥς περ τὰ βρέφη. Ἄκουε δή, φησι, νῦν, ὦ Ἑρμᾶ, καὶ περὶ τῶν λίαν μὲν στρογγύλων, λαμπρῶν δὲ ὄντων λίθων. Πάντες μέν τοι οὗτοι, ὥς περ ἑώρακας, Ἑρμᾶ, εἰσιν ἡρμένοι ἐκ τοῦ λευκοῦ ὄρους. Καὶ ἵνα τί, ἔφην αὐτῷ, οὕτως στρογγύλοι εὑρέθησαν; Ὅτι, φησὶν, ἐξέκλιναν μὲν τῆς εὐθείας ὁδοῦ, τῆς ὁδοῦ τοῦ Κυρίου ἕνεκα κοσμικῶν φροντίδων, καὶ μάλιστα πλούτου, τοῦ δὲ Θεοῦ οὐκ ἀπεχωρίσθησαν, ἀλλ' ἐν αὐτῷ ἀεὶ διέμειναν, οὐδὲ λόγον πικρὸν πώποτε ἐξερεύξαντο οὗτοι κατά τινος ἢ πονηρίαν τινὰ διελογίσαντο, ἀλλὰ διετέλεσαι ἀεὶ προσέχοντες ἰσότητι, καὶ ἀρετῇ, καὶ ἀληθείᾳ· διελογίζοντο ἀεὶ, καὶ περὶ τούτων συνδιελέγοντο ἀλλήλοις. Ἐπεὶ οὖν ὁ Κύριος τὴν διάνοιαν αὐτῶν ἔγνω, οἷον πείθεσθαι αὐτοὺς τῇ ἀληθείᾳ, ἐκέλευσε μὲν αὐτοὺς τοιούτους διαμεῖναι, ἀρθῆναι δὲ ἀπ' αὐτῶν τὸν πλοῦτον[2], ἵνα μήποτε ἕνεκα τούτου ὀλισθήσωσι καὶ παρεκκλίνωσι τῆς ὁδοῦ τοῦ Κυρίου, καὶ ἀποστρέψωσι τὸ πρόσωπον αὐτῶν ἀπ' αὐτοῦ. Καὶ γὰρ οὐκ ἠθέλησεν ὁ Κύριος τοῦ πύργου ἐκβαλεῖν αὐτοὺς τῆς οἰκοδομῆς, ἀλλὰ καθαίρειν[3] ἐκέλευσε τοῦ δύνασθαι αὐτοὺς ἀγαθοποιεῖν ἀεὶ, ὅπως ζήσωσι τῷ Θεῷ. Ἐκ τοῦ ἀγαθοῦ γὰρ γένους εἰσὶν ἅπαντες οὗτοι. Δι' ὅ περ καὶ ἐλατομήθησαν καὶ τῇ λοιπῇ τοῦ πύργου οἰκοδομῇ ἡρμόσθησαν ἐπιβληθέντες, τοῦ ὄγκου αὐτῶν μικρὸν ἀποκοπέντος. Οἱ δ' αὖ[4] τούτων ἕτεροι, εἰ[5] καὶ ἄχρις ἡμέρας στρογγύλοι διαμένουσι, τῇ οἰκοδομῇ τοῦ πύργου ἀνεπιτήδειοι ὄντες, οὗτοί εἰσιν οἱ μή πω[6] εἰσέτι δεξάμενοι τὴν σφραγῖδα τοῦ ἁγιασμοῦ· δι' ὃ καὶ ἤρθησαν, καὶ ὅθεν ἠνέχθησαν ἀπετέθησαν· στρογγύλοι γάρ εἰσι λίαν, καὶ πρὸς οἰκοδομὴν ἀνεπιτήδειοι[7] ὅλως. Λατομηθήσεσθαι μέντοι γε καὶ τούτους ἐν τῷ αἰῶνι τούτῳ, τῶν ματαίων ἐπιθυμιῶν ἀποχωριζομένους καὶ τῆς βασιλείας

[1] διελογίζοντο δὲ περὶ οὐδενὸς ἀλλοτρίου τούτων, ἀλλὰ περὶ τούτων διελογίζοντο ἀεὶ καὶ συνδιελέγοντο ἀλλήλοις. [2] τὸν πλοῦτον τὴν ταχίστην. [3] καθαίρειν μόνον ἐκέλ. [4] Οἱ δὲ αὖ πάλιν τούτ. [5] οἱ καὶ ἄχρις. [6] οἱ οὔπω δεξάμενοι. [7] πάντη ἀνεπιτήδειοι.

τοῦ Θεοῦ ἀξιωθήσεσθαι. Δεῖ γὰρ αὐτοὺς εἰσελθεῖν, κελεύει ὁ Κύριος, εἰς τὴν βασιλείαν αὐτοῦ. Τοῦτο οὖν τὸ γένος ὡς μὴ ὅλως ἀποστρεβλωμένον ηὐλόγησεν ὁ Κύριος· δι' ὃ καὶ οὐδεὶς ἀπολειφθήσεται τούτου. Εἰ δὲ καί τις πλανηθείς ποτε ὑπὸ τοῦ διαβόλου τῆς πονηρίας ἡμάρτηκεν, ἐπιστρέψει αὖθις πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ. Μακάριος οὖν, φησιν, ὁ ἄγγελος τῆς μετανοίας, λέγει[1] ἐκείνους εἶναι, τοὺς ὡς τὰ παιδία ἀκάκους ὄντας· ἀγαθὴ γάρ ἐστιν ἡ μερὶς αὐτῶν καὶ ἔνδοξος παρὰ τῷ Θεῷ[2]. Ταῦτα δέ, φησιν, ἐρῶ πᾶσιν ὑμῖν τοῖς τὴν σφραγῖδα δεξαμένοις τοῦ ἁγιασμοῦ, ἵνα ἐν ἁπλότητι ζήσητε πάσαις ταῖς ἡμέραις τῆς ζωῆς ὑμῶν, ἀδικίας οὐδέποτε δραξάμενοι· οὐδὲ ἐν ὁδῷ κακίας[3] περιπατήσετε, οὐδὲ διαλογισθήσεσθε ἐν ταῖς καρδίαις ὑμῶν πικρότητα ἀδικίας τινὸς ἀλλ' ἐπιλανθάνεσθαι δεῖ ὑμᾶς αὐτῶν, καὶ βοηθεῖν ἀλλήλοις, τῇ παρέξει τῆς βοηθείας ὑμῶν παντὶ ἑκάστῳ τῆς τοῦ Κυρίου ὁδοῦ παρεκκλίνοντι, πᾶσαν αὐτῷ ἀφαιροῦντες ταῖς διδασκαλίαις πονηρίαν, ὥς περ καὶ ἀφ' ὑμῶν αὐτῶν, ἵνα καὶ ὁ ποιμὴν τούτων χαρίσηται ὑμῖν εἰ ὑγιᾶ πάντα ταῦτα τὰ ἀπολωλότα δέξεται πρόβατα ἐν τῷ λιμῶνι τῆς ζωῆς νεμόμενα τὸν λόγον τοῦ Θεοῦ τῆς ζωῆς τῆς αἰωνίου. Καὶ γὰρ εἰ πρόβατόν τι ἐκ τῆς[4] ὅλης ποίμνης ἀποπλανηθῇ λύπη ἔσεται τοῖς ποιμέσι μεγάλη. Εἰ δὲ καὶ οἱ ποιμένες αὐτοὶ διασπαρῶσι, τίνα λόγον δώσουσιν οὗτοι τῷ Κυρίῳ ὑπὲρ τῶν προβάτων; Ἐροῦσιν ἄρα ὡς ὑπὸ τῶν προβάτων ἀπεβλήθησαν; ἀλλ' οὐδέποτε πιστευθήσονται οὗτοι ὑπὸ τοῦ Κυρίου τῶν ἀνθρώπων· ἀδύνατον γάρ ἐστιν ὅλους τοὺς ποιμένας ἐκβληθῆναι τῆς μάνδρας ὑπὸ τῶν προβάτων, ἤ τι ἕτερον κακὸν παθεῖν αὐτοὺς ὑπ' αὐτῶν· μᾶλλον δὲ ζημιωθήσονται οὗτοι διὰ τὸ ψεῦδος αὐτῶν τοῦτο. Ἐγὼ γὰρ εἰμὶ ὁ ποιμὴν τῶν προβάτων καὶ δεῖ με λόγον περὶ ἑνὸς ἑκάστου τούτων τῆς ἐμπιστευθείσης μοι μάνδρας διδόναι τῷ Κυρίῳ ἡμῶν. Φροντίζεται οὖν περὶ τῆς σωτηρίας ὑμῶν προτοῦ τὸν πύργον οἰκοδομηθῆναι, καὶ ἐστὲ εἰρηνικοί· καὶ γὰρ ὁ Θεὸς πάρεστι, ἀεὶ ἐν τῷ μέσῳ τοῖς εἰρηνικοῖς. Ἔστι δὴ ἡ ἀληθὴς εἰρήνη ἔνδοξος παρὰ τῷ Θεῷ· καὶ

[1] καλεῖ. [2] παρὰ τῷ Θεῷ ἡμῶν. [3] κακίας ἑτέρας. [4] εἰ πρόβατόν τι τῆς ὅλης.

γὰρ εἰρήνη ἐστὶν ὅλως ὁ Κύριος τοῦ πύργου, ὁ Κύριος τῆς δόξης ὑμῶν. Πάντα δὲ πανοῦργον βδελύσσεται Κύριος· οὐκ ἔστι γὰρ ἐν αὐτοῖς εἰρήνη, ἀλλὰ δόλος καὶ κακία βασιλεύει[1] ἐν μέσῳ αὐτῶν. Σπουδάζεται οὖν ἀποδιδόναι τὸ πνεῦμα ὑμῶν καθαρὸν τῷ Κυρίῳ ὥς περ καὶ ἐλάβετε. Ἐὰν γὰρ ἐσθῆτα τινὰ καθαρὰν[2] κναφεῖ δῷς καὶ ὀψέ ποτε θελήσῃς καθαρὰν αὐτὴν αὖθις[3] λαβεῖν, ὁ δὲ κναφεὺς ἀποδιδῷ σοι ταύτην ῥυπαράν τε[4] καὶ διηῤῥωγυῖαν λήψῃ αὐτήν; Ἆρ' οὐκ ὀργισθήσῃ εὐθὺς κατ' αὐτοῦ δικαίως, καὶ σφοδρῶς ἐπιπλήξεις αὐτὸν λέγων ὅτι οὐχὶ ἐγὼ δέδωκά σοι τὴν ἐσθῆτα ταύτην καθαρὰν, καὶ διαῤῥαγῆς τινος ἄτερ, ἵνα τί[5] ἐμόλυνας καὶ κατέσχισας αὐτὴν, καὶ ἄχρηστον ὅλως πεποίηκας γενέσθαι; Ἐπεὶ οὖν σὺ τοιαῦτα τῷ κναφεῖ λέξεις περὶ τῆς ἀχρηστούσης σοι ἕνεκα τοῦ σχίσματος σῆς ἐσθῆτος ὅτι λυπῇ ἐπὶ τῇ ἐσθῆτι καὶ κατηγορεῖς αὐτοῦ ὅτι οὐ καθαρὰν[6] ἔλαβες αὐτὴν οὐδὲ ἀδιάῤῥηκτον, τί διαλογίζῃ Θεὸν ποιήσειν, ὃς πνεῦμα καθαρὸν λίαν δέδωκέ σοι, ὅ περ σὺ κατασπιλώσας[7] θανάτου ἁμαρτήμασιν ἄχρηστον ὅλως πεποίηκας; ἄχρηστον γάρ ἐστιν εἰ ταῖς ἁμαρτίαις τοῦτο κατασπιλωθῇ. Ἆρ' οὐ τὸ αὐτὸ καὶ ὁ Θεὸς ποιήσει περὶ τοῦ Πνεύματος, καὶ τοῦτο καθαρὸν ἀπαιτήσει, ὥς περ καὶ σὺ τὴν ἐσθῆτα παρὰ τοῦ κναφέως καθαρὰν καὶ σώαν ἀπαιτήσεις; Ναί, φημι, Κύριε, ταὐτὸ ποιήσει πᾶσιν οὓς ἂν εὕρῃ διαμένοντας ἐν τοῖς ἁμαρτήμασι. Μὴ ἐξουθενήσητε οὖν τὴν ἀγαθότητα τοῦ Θεοῦ, μᾶλλον δὲ ἀγαπᾶτε αὐτὸν ὅτι οἰκτίρμων καὶ ἐλεήμων ἐστὶ μακρόθυμός τε καὶ πολυέλεος, καὶ οὐχ' ὥς περ ὑμεῖς. Μετανοεῖτε γοῦν· τοῦτο γὰρ καὶ μόνον σώσει ὑμᾶς ἐν ταῖς ἡμέραις ἐκείναις, καθ' ἃς ὁ Θεὸς κρινεῖ ὑμᾶς. Ταῦτα μέντοι γε πάντα τὰ ὑμῖν προλελαλημένα ἐγὼ ὁ Ποιμὴν ὁ ἄγγελος τῆς μετανοίας ἐδίδαξά τε καὶ εἶπον τοῖς δούλοις τοῦ Θεοῦ πᾶσιν. Ἐὰν οὖν γε πιστεύσητε ταῦτα καὶ ἀκούσητέ μου τοὺς λόγους καὶ ἐν αὐτοῖς περιπατήσητε, ζήσετε· ἐὰν δὲ διαμένητε ἐν ταῖς κακίαις ὑμῶν καὶ

[1] κρατεῖ. [2] καθαράν τε καὶ σώαν κναφεῖ δῷς. [3] καὶ σώαν λαβεῖν. [4] κατεσπιλωμένην τε καὶ διεῤῥηγμένην. [5] ἵνα τι, ὦ ἄνθρωπε ἐμόλ. [6] ὅτι οὐκ ἄσπιλον οὐδὲ σώαν ἔλαβες αὐτήν. [7] τοῖς τοῦ θανάτου ἁμαρ.

τῶν ἀδικιῶν ὑμῶν μνημονεύητε, οὐδεὶς ζήσετε τῷ Θεῷ εἰς τὸν αἰῶνα. Ταῦτα εἰπών μοι ὁ Ποιμὴν καὶ ἱλαρῶς ἐπιβλέψας μοι ὑπολαβὼν αὖθις μετὰ μικρὸν εἶπεν. Ἠρώτησάς με, ὦ Ἑρμᾶ, περὶ πάντων, ὧν περ ἑώρακας; Ναὶ, ἔφην αὐτῷ, Κύριε. Ἀλλ' ἵνα τί, εἶπεν ὁ Ποιμὴν, περὶ τοῦ τύπου τῶν λίθων τῶν εἰς τὴν οἰκοδομὴν τεθέντων οὐκ ἠρώτησάς με, ὅπως δυνηθῇ ἐξηγεῖν τοὺς τύπους αὐτῶν; Ἐγὼ δὲ ἔφην αὐτῷ, Ἐπελαθόμην, Κύριε. Ἄκουσον τοίνυν, ἔφη, καὶ περὶ ἐκείνων. Οὗτοί εἰσιν ἐκεῖνοι οἵ περ τῶν ἐντολῶν τούτων ἄρτι ἀκηκόασιν, ἀκούσαντες δὲ ἐξ ὅλης αὐτῶν καρδίας μετενόησαν· δι' ὃ καὶ τὰ ἁμαρτήματα τούτων πάντα ἀφείλετο ἀπ' αὐτῶν ὁ Κύριος, καὶ ἐκέλευσεν ἐξαλείφειν, ἦσαν γὰρ ἤδη οὗτοι ἐγγεγραμμένοι ἐν τῇ βίβλῳ τῶν ζώντων. Οὗτοι οὖν ἦσαν οἱ τύποι τῶν ἁμαρτιῶν αὐτῶν, οἵ περ καὶ μόνῃ τῇ μετανοίᾳ τῶν ἁμαρτησάντων ἀφηρέθησαν καὶ οὐδὲν ἴχνος κατέμεινε τοῦ τύπου τῆς ἁμαρτίας ἐν αὐτοῖς· ἐσώθησαν γὰρ ἅπαντες.

ΠΑΡΑΒΟΛΗ Ι'.

Ἐπεὶ δὲ ἔγραψα τὸ βιβλίον τοῦτο ἰδοὺ καὶ ὁ ἄγγελος ἐκεῖνος ὁ τῷ Ποιμένι παραδούς με, ἧκεν ἔξωθεν εἰς τὴν οἰκίαν ἐν ᾗ ἐτύγχανον, τῆς θύρας αὐτομάτως ἀνοιχθείσης, ὃς ἐπὶ τῆς παρακειμένης μοι κλίνης καθεσθεὶς[1] παρεστηκότος αὐτῷ καὶ τοῦ Ποιμένος ἐκ δεξιῶν, ἐκάλεσέ με καὶ εἶπε· Παραδέδωκά σε, ὦ Ἑρμᾶ σὺν παντὶ τῷ οἴκῳ σου τῷ Ποιμένι τούτῳ, ἵνα δύνῃ φρουρεῖσθαι ὑπ' αὐτοῦ; Ναὶ, φημὶ, Κύριε. Ὁ δὲ ἔφη, Ἐλευθερώσῃ οὖν πάσης ταραχῆς, καὶ ὀργῆς πάσης, καὶ εἰς πᾶν ἔργον ἀγαθὸν ἀεὶ δεῖ σε προκόπτειν, καὶ ἐνδύσῃ πᾶσαν δικαιοσύνην, κακίας κρατῶν πάσης, εἰ τὰς ἐντολὰς αὐτοῦ φυλάττῃς[2] ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς σου. Ἐὰν γὰρ ταύτας φυλάξῃς[3] πάσης ἐπιθυμίας πονηρᾶς καὶ ἡδονῆς τοῦ κόσμου τούτου κατακρατήσεις· ἕψεταί σοι γὰρ καὶ ἐνισχύσει σε τὸ Πνεῦμα τὸ ἅγιον ἐν παντὶ ἔργῳ ἀγαθῷ. Τῇ ὡραιότητι[4] οὖν τούτου καὶ τῇ[5] σωφροσύνῃ ἑπόμενος πειρῶ παραπείθειν καὶ

[1] ἀνακλιθείς. [2] τηρῇς. [3] τηρήσῃς. [4] τῇ καλλονῇ. [5] καὶ σωφροσύνῃ.

τοὺς ἄλλους. Οὗτος γάρ ἐστι μόνος ὁ παρὰ τῷ Θεῷ ἐνδοξότατος πάντων, ὅτι Κύριος καὶ δυνατός ἐστι διὰ τὸ δοθῆναι αὐτῷ μόνῳ τὴν ἐπὶ παντὸς πλάσματος δύναμιν τῆς μετανοίας παρ' αὐτοῦ τοῦ πλάστου Κυρίου τοῦ Θεοῦ ἡμῶν. Ἄρα ἤδη δυνατός σοι δοκεῖ εἶναι οὗτος; ὑμεῖς δὲ καταφρονεῖτε ὅλως τῆς ὡραιότητος[1] καὶ σωφροσύνης αὐτοῦ. Ἵνα τί οὖν τοῦτο ποιεῖτε; Λέγω αὐτῷ, Κύριε, ἐρώτησον αὐτὸν εἴ ποτε πονηρόν τι ἐποίησα ἀφ' ἧς παρέδωκάς μοι αὐτῷ ἡμέρας· Ἀλλ' ἐγώ, εἶπεν, οἶδα οὐδέν σε κακὸν ποιήσαντα οὐδὲ ποιήσοντα· δι' ὃ καὶ λέγω σοι, διάμεινον ἐν[2] τούτῳ· ἀεὶ γὰρ ὑπὲρ σοῦ οὗτος ἀγαθὴν ἕξει πρόνοιαν. Ἐρεῖς οὖν σὺ καὶ τοῖς ἄλλοις πᾶσιν ἵνα[3] μένωσιν ἀεὶ ἐν μετανοίᾳ, ὥς περ οὗτος ἔσται παρ' ἐμοὶ ὑπὲρ ἐκείνων ἑρμηνεύς· ἐγὼ δὲ αὖ πάλιν παρὰ τῷ Κυρίῳ. Ἀλλ' ἐγώ, φημι, Κύριε, ἀπαγγελῶ πᾶσιν ἀνθρώποις ταῦτα πάντα, καθά περ καὶ τὰ περὶ τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ εὔελπις εἰμὶ ὅτι μεταμεληθήσονται πάντες οἱ ἐν ἁμαρτίαις κυλινδούμενοι εἰ ἀκούσονταί μου τοὺς λόγους. Διάμεινον οὖν, φησιν, ἐφ' ὃ καὶ τέλεσον[4] αὐτό. Πᾶς γὰρ ὁ πράττων πάνθ' ὅσα τὸ Πνεῦμα τὸ ἅγιον κελεύει ζήσεται ἐν Κυρίῳ, καὶ μέγας κληθήσεται παρ' αὐτῷ ἐν τῇ ἐνδόξῳ αὐτοῦ ἡμέρᾳ τῇ μεγάλῃ· ὁ δὲ μὴ φυλάσσων αὐτὰ εἰς μεγάλας περιπίπτει ἁμαρτίας, καὶ τῆς ζωῆς ἀπαλλοτριωθήσεται τῆς αἰωνίου εἰ οὐ μὴ μεταμεληθῇ· ὃς δὲ τὰ προστάγματά μου οὐ τηρεῖ, ἐκφαυλίζων αὐτά, παραδίδωσιν ἑαυτὸν τῷ θανάτῳ, καὶ αἴτιος ἔσται αὐτὸς οὗτος τοῦ ἰδίου θανάτου. Σὺ δέ, φησι, φύλαττε τὰς ἐντολὰς ταύτας, καὶ καθαρισθήσῃ ἀπὸ πάσης ἁμαρτίας. Ἀπέστειλα δέ σοι τὰς παρθένους ταύτας, ἵνα σὺν σοὶ κατοικῶσιν ἐν πάσαις ταῖς ἁμαρτίαις τῆς ζωῆς σου. Οἶδα γὰρ ἐκείνας προσηνεστάτας σοι εἶναι[5]· δι' ὃ καὶ ἕξεις αὐτὰς ἀπ' ἄρτι βοηθούς, βοηθούσας σοι ἀεί, ὅπως δι' αὐτῶν δύνῃ φυλάττειν[6] μᾶλλον τὰ ἐντεταλμένα. Ἀδύνατον γάρ ἐστιν ὅλως ἄτερ τῶν παρθένων τούτων τηρεῖσθαι τὰς ἐντολάς· αὗται γάρ, ὥς περ ὁρᾷς, ἄσμενοί σοι παραμενοῦσιν· ἐκέλευσα δ' ἐγὼ

[1] τῆς καλλονῆς. [2] παρὰ τούτῳ. [3] ἵνα κᾀκεῖνοι ἀεὶ ἐν μετανοίᾳ μένωσιν. [4] ἀποτέλεσον. [5] προσηνεστάτας σοι οὔσας. [6] τηρεῖν.

αὐταῖς μήποτε ἀπολιπεῖν τὴν σὴν οἰκίαν. Σὺ οὖν κάθηρον τὴν οἰκίαν σου, ἐν καθαρᾷ γὰρ οἰκίᾳ οἰκοῦσιν αὗται[1] διὰ τὸ καθαρὰς εἶναι ἀεὶ καὶ ἐργατικὰς σφόδρα καὶ πᾶσαι παρὰ Θεῷ ἐχούσας χάριν. Ἐὰν οὖν ἔσεται ἀεὶ καθαρὰ ἡ σὴ οἰκία, διαμενοῦσι παρὰ σοὶ αὗται· εἰ δέ ποτε ἐλάχιστον αὐτῆς μέρος ῥυπωθήσεται[2], διχήσονται ἅμα τῆς οἰκίας σου ἐγκαταλιπεῖν μόνον ἐν αὐτῇ· μισοῦσι γὰρ αὗται τὴν ἀκαθαρσίαν σφόδρα. Ἐγὼ δὲ, ἔφην ἐκείνῳ, ἐλπίζω, Κύριέ μου, εὐαρεστηθῆναι αὐτὰς συνοικεῖν ἀεὶ μετ' ἐμοῦ. Καὶ ὥς περ ἐκεῖνος, ᾧ παρέδωκάς με ἐκ παίδων, οὐδὲν ἔχει κατηγορῆσαί μου, οὕτω καὶ αὗται οὐδὲν κατηγορήσουσιν. Εἶτα δὲ στραφεὶς πρὸς τὸν Ποιμένα ἐκ δεξιῶν αὐτοῦ καθεζόμενον, ἔφη· ὁρῶ τὸν δοῦλον τοῦ Κυρίου τοῦτον, φυλάσσειν βουλόμενον τὰς ἐντολὰς ταύτας, μεταδοῦναι ταῖς παρθένοις οἰκίας καθαρᾶς. Ταῦτα δὲ εἰπὼν οὗτος παραδίδωσι με αὖθις τῷ Ποιμένι. Προσκαλεσάμενος δ' εὐθὺς καὶ τὰς παρθένους εἶπεν αὐταῖς, Ἐπεί περ ὁρῶ ὑμᾶς οἰκείως οὔσας τούτῳ, ἀσμένως βουλομένας συνοικεῖν καὶ ἀεὶ παρ' αὐτῷ διαμένειν, παραδίδωμι αὐτὸν ὑμῖν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, κελεύω τε ὑμῖν μήποτε ἀπολιπεῖν τὴν οἰκίαν αὐτοῦ. Ἐκεῖναι δὲ ἥσθησαν ἐπὶ τοῖς λεγομένοις[3] σφόδρα, καὶ ὑπήκουσαν αὐτῷ. Μετὰ δὲ ταῦτα στραφεὶς αὖθις πρός με λέγει· Ἀνδρίζου τοίνυν ἐπὶ τῇ διακονίᾳ ταύτῃ, καὶ ἀπάγγελλε τοῖς ἀνθρώποις τὸ μεγαλεῖον τῆς δυνάμεως τοῦ Κυρίου, καὶ τὴν μεγαλοπρέπειαν αὐτοῦ[4], καὶ ἕξεις χάριν παρὰ τῷ Κυρίῳ εἰ ἐν ταύτῃ διαμενῇς τῇ διακονίᾳ. Καὶ γὰρ πᾶς ὁ φυλάσσων τὰς ἐντολὰς ταύτας ζήσεται, καὶ μακάριος κληθήσεται, ὁ δὲ καταφρονῶν αὐτῶν οὐ ζήσεται εἰς τὸν αἰῶνα. Ἀπάγγελλε οὖν πάντα πᾶσιν, ἵνα μὴ ὀκνῶσι πράττειν τὸ ἀγαθὸν, ἀλλ' ἀσμένως ποιεῖν αὐτὸ παντὶ τῷ δεομένῳ· πᾶς γὰρ ὁ ἀγαθοεργῶν μέγας κληθήσεται. Πάντα[5] γάρ, φησι Κύριος, ἀνθρώπους δεῖ ἐλευθεροῦσθαι τῶν ἁμαρτιῶν, καὶ ὧν ἔχουσι χρείαν, πρὸς τὰ τοῦ βίου ἀπαλλάττεσθαι αὐτούς. Πᾶς γὰρ ὁ δυνάμενος σῶσαι ἕνα τῶν ἀδελφῶν τοῦ Κυρίου τῶν

[1] καθαρᾶς γὰρ χρωμέναις οἰκήσει διὰ τὸ καθαρὰς ἀεὶ εἶναι. [2] ῥυπωθήσεται τῇ ἀκαθαρσίᾳ. [3] ἐπὶ τοῖς ῥηθεῖσι. [4] καὶ τὴν μεγαλ. αὐτοῦ παντὶ ἀνθρώπῳ ἀπάγγειλον. [5] καὶ ἕξειν.

ἐλαχίστων τὸν ἐν τῷ καθημερινῷ[1] βίῳ θλιβόμενόν τε ὑπ' ἀνάγκης καὶ κακοχούμενον μεγάλην ἕξει[2] χάριν παρὰ τῷ Κυρίῳ εἰ σώσει αὐτόν. Ἐὰν δὲ δυνάμενος σῶσαι οὐ σώσει, οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ· στερηθήσεται γὰρ τῆς αἰωνίου ζωῆς καὶ εἰς αἰώνιον παραδοθήσεται θάνατον[3]· ταράσσεται γὰρ ἡ καρδία παντὶ θλιβομένῳ καὶ θλίβεται ὥς περ καὶ οἱ ἐν ταῖς φυλακαῖς θλίβονταί τε καὶ ταράσσονται. Δι' ὃ δεῖ τοὺς δυναμένους σώζειν αὐτοὺς τούτου μὴ[4] ἀποκνεῖν. Πολλοὶ γὰρ ἕνεκα βιωτικῶν θλίψεων καὶ κακουχιῶν διαχειρίζουσιν ἑαυτοὺς, ἐπεί περ οὐ δύνανται ὑπομένειν[5] αὐτάς. Ἐάν τις οὖν γνῶ τινὰ κακοχούμενόν τε καὶ θλιβόμενον καὶ οὐ σώζει αὐτὸν μεγάλως[6] ἁμαρτάνει ἐν ἑαυτῷ καὶ αἴτιος γίγνεται τοῦ θανάτου αὐτοῦ. Ἐργάζεσθε οὖν πάντες τὸ ἀγαθὸν καὶ μὴ ὀκνεῖτε ἐργαζόμενοι τοῦτο. Οἱ δὲ διακονεῖν δυνάμενοι τοῖς ἀδελφοῖς τοῦ Κυρίου διακονείτωσαν πᾶσιν ἀσμένως ἐμμένων ἕκαστος ἐν ᾗ καὶ ἐκλήθη διακονίᾳ ἄχρις ὁ πύργος οἰκοδομηθήσεται τοῦ Κυρίου. Καὶ τοῦτο ποιοῦντες ἅγιοι κληθήσεσθε καὶ υἱοὶ Θεοῦ, καὶ ἡ κατοικία ὑμῶν ἐν τῷ πύργῳ ἔσται παρὰ τῷ Κυρίῳ αὐτοῦ. Ταῦτα οὖν εἰπών μοι ἐκεῖνος ἀνέστη ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ λαβὼν τὸν Ποιμένα καὶ τὰς Παρθένους ἀφανὴς ἐγένετο. Ἔφη δέ μοι ἐν τῷ ἀποχωρίζεσθαι αὐτὸν ἀπ' ἐμοῦ πέμψειν αὖθις τὸν Ποιμένα καὶ τὰς Παρθένους εἰς τὴν οἰκίαν μου, καὶ διαμενοῦσι παρ' ἐμοὶ ἄχρι συντελείας τοῦ πύργου.

" Εἴληφέ μιν πέρας ἡ θεία βίβλος ἥδε
Τοῦ μυσταγωγικοῦ Ἑρμᾶ πατρὸς τοῦ θείου
Τῷ ἑξακισχιλιοστῷ καὶ ἑξηκοστῷ
Καὶ πέμπτῳ ἔτει πρὸς τοῖς ἐννεακοσίοις,
Ἰνδικτιῶνος πέμπτῃ Αὐγούστου μεσοῦντος.
Ἔγραψε δὲ ὁ ἐκ Λαρίσσης ἐρημίτης,
Κλήμης ἁμαρτωλὸς ἐπίκλην πλατυγένης,
Ἐν μονῇ τῆς Λαύρας Ἀθωϊτῶν τῇ θείᾳ.

[1] τῶν ἐλαχίστων ἐν τῷ ὁσημέραι βίῳ θλιβ. [2] ἕξει τὴν χάριν παρ' αὐτῷ. [3] καὶ παραδοθήσεται εἰς θάνατον αἰώνιον. [4] σώζειν αὐτοὺς μὴ εἰς τοῦτο κατοκνεῖν. [5] φέρειν. [6] λίαν ἁμαρτάνει.

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΑΡΚΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΕΦΕΣΟΥ

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΓΕΩΡΓΙΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ[1].

Ἐντιμότατε πρεσβύτερε καὶ ἡμῖν ἐν Χριστῷ ποθεινότατε ἀδελφὲ Κὺρ Γεώργιε, τοῦ Θεοῦ δέομαι ὅπως ὑγιαίνῃ ἡ ἁγιωσύνη σου καὶ ἐπὶ πᾶσι καλῶς ἔχοι οὗ τῷ ἐλέει καὶ αὐτὸς ὑγιαίνω μετρίως τῷ σώματι. Τὴν γραφήν σου δεξάμενος λύπης οὐ φορητῆς ἐπληρώθην μαθὼν ἐξ αὐτῆς ὅτι ἡ τὴν ἄζυμον καὶ νεκρὰν θυσίαν Ἰουδαϊκῶς ἱερουργοῦντες καὶ τῇ σκιᾷ τοῦ νόμου παρακαθήμενοι, τολμῶσιν ἐγκαλεῖν ἡμῖν καὶ μέμφεσθαι περὶ τῶν ὑφ' ἡμῶν τελουμένων ἐν τῇ ἱερᾷ λειτουργίᾳ· ἀγνοοῦντες οἱ τάλανες, ἅ τε ὑπὸ τοῦ τύφου τετυφλωμένοι, ὅτι πάντων τῶν ὑφ' ἡμῶν γινομένων ἐγγράφους τὰς ἀποδείξεις ἔχομεν· ὅτι κατὰ πάντα τοῖς ἱεροῖς διδασκάλοις ἀκολουθοῦμεν, καὶ ταῖς ἀποστολικαῖς ἄνωθεν παραδόσεσι. Λέγει γὰρ ὁ θεοφόρος καὶ ὁμολογητὴς Μάξιμος ἐν τῇ ἐξηγήσει τῆς ἱερᾶς λειτουργίας, ἧς ἡ ἐπιγραφή· "περὶ τοῦ τίνων σύμβολα τὰ κατὰ τὴν ἁγίαν Ἐκκλησίαν ἐπὶ τῆς θείας συνάξεως τελούμενα καθέστηκεν ἐν κεφαλαίῳ," οὗ ἡ ἐπιγραφὴ, "τίνων εἰσὶ σύμβολα," ἥ τε πρώτη τῆς ἁγίας συνάξεως εἴσοδος καὶ τὰ μετ' αὐτὴν τελού-

[1] Ἡ ἐπιστολὴ τοῦ Θειοτάτου Μάρκου αὕτη οὐκ οἶδα ἀκριβῶς, καθὰ προεῖπον ἐν σελίδι 49, εἴ περ ἐκοινοποιήθη ποτέ· δι' ὃ καὶ δημοσιεύω αὐτὴν ἀμφίβολος ὤν, καὶ μάλιστα ὅτι παρὰ τοῖς ἀλλοφύλοις ἄγνωστός ἐστιν ὅλως (Ὅρα σελ. ιε'.)

μενα," τοιαῦτα ῥητῶς· "*Τὴν μὲν πρώτην εἰς τὴν ἁγίαν Ἐκκλησίαν τοῦ ἀρχιερέως κατὰ τὴν ἱερὰν σύναξιν εἴσοδον, τῆς πρώτης τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ σαρκὸς εἰς τὸν κόσμον τοῦτον παρουσίας τύπον καὶ εἰκόνα φέρειν ὁ λόγος διδάσκει· δι' ἧς τὴν δουλωθεῖσαν τῇ φθορᾷ καὶ πραθεῖσαν ὑφ' ἑαυτῆς τῷ θανάτῳ διὰ τῆς ἁμαρτίας καὶ βασιλευομένην τυραννικῶς ὑπὸ τοῦ διαβόλου τῶν ἀνθρώπων τὴν φύσιν ἐλευθερώσας τε καὶ λυτρωσάμενος πᾶσαν τὴν ὑπὲρ αὐτῆς ὀφειλὴν ὡς ὑπεύθυνος ἀποδοὺς ὁ ἀνεύθυνος καὶ ἀναμάρτητος πάλιν πρὸς τὴν ἐξ ἀρχῆς ἐπανήγαγε τῆς βασιλείας χάριν, ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν δοὺς καὶ ἀντάλλαγμα· καὶ τῶν ἡμετέρων φθοροποιῶν παθημάτων, τὸ ζωοποιὸν αὐτοῦ πάθος ἀντιδοὺς παιώνειον ἄκος καὶ παντὸς τοῦ κόσμου σωτήριον· μεθ' ἣν παρουσίαν ἡ εἰς οὐρανοὺς αὐτοῦ καὶ τὸν ὑπερουράνιον θρόνον ἀνάβασίς τε καὶ ἀποκατάστασις συμβολικῶς τυποῦται, διὰ τῆς ἐν τῷ ἱερατείῳ τοῦ ἀρχιερέως εἰσόδου καὶ τῆς εἰς τὸν θρόνον τὸν ἱερατικὸν ἀναβάσεως."* Ταῦτα μὲν ὁ ἅγιος περὶ τῆς πρώτης εἰσόδου φησί. Περὶ δὲ τῆς δευτέρας αὖθις τῆς καὶ μεγάλης λεγομένης ἐν κεφαλαίῳ, οὗ ἡ ἐπιγραφή, "*Τί σημαίνει ἡ τῶν ἁγίων μυστηρίων εἴσοδος,*" τοιαῦτά φησιν· "*Ἡ τῶν ἁγίων καὶ σεπτῶν μυστηρίων εἴσοδος, ἀρχὴ καὶ προοίμιόν ἐστι τῆς γεννήσεως ἐν οὐρανοῖς καινῆς διδασκαλίας περὶ τῆς οἰκονομίας τοῦ Θεοῦ τῆς εἰς ἡμᾶς· καὶ ἀποκάλυψις τοῦ ἐν ἀδύτοις τῆς θείας κρυφιότητος ὄντος μυστηρίου τῆς ἡμῶν σωτηρίας· 'οὐ γὰρ μὴ πίωμαί,' φησι πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ὁ Θεὸς καὶ λόγος, 'ἀπάρτι ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.'"* Ἀκούεις ὅπως ἅγια καὶ σεπτὰ μυστήρια καὶ πρὸ τοῦ τελειωθῆναι τὰ θεῖα δῶρα καλεῖ ὁ διδάσκαλος; καὶ εἰκότως· βασιλεὺς γὰρ λέγεται καὶ πρὸ τοῦ στεφθῆναι ὁ βασιλεύς· καὶ μάλιστα ὅτε πρὸς τὸ στεφθῆναι ἀπέρχεται δορυφορούμενος καὶ τιμώμενος. Βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκών, καὶ τιμᾶται καὶ προσκυνῆται. Τύπον δὲ καὶ εἰκόνα λέγομεν καὶ ἡμεῖς ἀποσώζειν τὰ θεῖα δῶρα πρὸ τοῦ τελειωθῆναι τοῦ Δεσποτικοῦ σώματος καὶ αἵματος. Ὅθεν καὶ ὁ μέγας Βασίλειος ἐν τῇ ἱερᾷ

λειτουργίᾳ ἀντίτυπα ταῦτα καλεῖ· "προθέντες γάρ, φησι, τὰ ἀντίτυπα τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου." Τί οὖν ποιοῦμεν ἄτοπον εἰ μετὰ τιμῆς προπέμπομεν καὶ ὑποδεχόμεθα ταῦτα τὰ ἤδη τῷ Θεῷ ἀνατεθέντα καὶ ἀφιερωθέντα καὶ θυσίᾳ δῶρα γενόμενα· καὶ πρὸς τὸ τελειωθῆναι διὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως προσφερόμενα; Ἀλλ' οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες, τάχα καὶ περὶ τῶν ἁγίων εἰκόνων ὑμῖν ἐγκαλέσουσιν ὅτι προσκυνοῦμεν αὐτάς· ἐπειδὴ μή εἰσιν αὐτὰ τὰ πρωτότυπα ἀλλ' εἰκόνες ἐκείνων· εἴη γὰρ ἂν καὶ τοῦτο τῆς αὐτῶν ἀπονοίας ἄξιον· καὶ ταῦτα τίνες; οἱ πᾶσαν ἐκκλησιαστικὴν παράδοσιν ἀθετοῦντες, οἱ ἀναμέσον ἁγίου καὶ βεβήλου μὴ διαστέλλοντες· ποῦ γὰρ ἐκείνοις ἱερατεῖον, τὸ νῦν παρ' ἡμῖν ἅγιον βῆμα; ποῦ παρ' ἐκείνοις ἱερατικὸς θρόνος εἰς ὃν ὁ ἀρχιερεὺς ἀναβαίνει; Ἀναγνώτωσαν τὰς τοῦ σεπτοῦ Μαξίμου φωνὰς καὶ ἐγκαλυψάσθωσαν. Ἰδέτωσαν τίνες αὐτῷ μᾶλλον ἀκολουθοῦσι καὶ τοῖς αὐτοῦ πείθονται λόγοις, ἡμεῖς ἢ ἐκεῖνοι· καί τοι γε ὁ φωστὴρ ἐκεῖνος πᾶσαν τὴν οἰκουμένην ἐπέδραμεν ὑπὲρ τῆς ἀληθείας ἀθλῶν καὶ τῆς ὀρθοδόξου πίστεως· καὶ τὸν πλεῖστον χρόνον ἐν τῇ Δύσει πεποίηκεν, ἔν τε τῇ Ῥώμῃ καὶ τῇ Ἀφρικῇ. Καὶ οὐκ ἂν ὅλως εἶπεν οὐδὲν ὃ μὴ διὰ πάσης ἐκράτει τῆς Ἐκκλησίας καὶ τῶν Χριστιανῶν ἁπάντων. Ἀλλ' οἱ παραχαράκται καὶ καινοτόμοι τῆς πίστεως, οὗτοι καὶ τὰ ἐκκλησιαστικὰ ἔθη διέφθειραν καὶ ἐνήλλαξαν, καὶ θαυμαστὸν οὐδέν· ὅπου γε καὶ τὴν φύσιν αὐτὴν παρεχάραξαν ἀντὶ ἀνδρῶν γυναῖκες φαινόμενοι, καὶ τὸν τίμιον κόσμον τῆς ἀνδρείας μορφῆς ἀφαιροῦντες· ὅθεν καὶ ἐν τῷ ἱερουργεῖν γυναῖκας συμπαρισταμένας ἔχουσιν, ἐπεὶ καὶ αὐτοὶ γυναιξὶν ἐοίκασι, καὶ τοὺς πλείονας τῶν λαϊκῶν ὅτε βούλονται καθημένους, καὶ αὐτὸ τὸ μυστικὸν ποτήριον ἀποπλύνοντες μετὰ τὴν μετάληψιν, ἐπ' ἐδάφους ἐκχαίουσι, καὶ ἐπὶ τῆς τραπέζης αὐτῶν ὅτε βούλονται πατεῖν οὐ πεφρίκασι· τοσοῦτον οἴδασι τιμᾶν τὰ ἑαυτῶν ἅγια· εἶτα καὶ ἡμῖν ἐγκαλοῦσι; φεῦ τῆς ἀνοίας, φεῦ τῆς τυφλώσεως! Ἔχεις ἱκανῶς ἐκ τῶν εἰρημένων ὑπὸ τοῦ σοφοῦ τὰ θεῖα Μαξίμου, ὅτι ἡ μὲν πρώτη εἴσοδος τὴν πρώτην διὰ σαρκὸς παρουσίαν τοῦ Κυρίου τυποῖ· δι' ἧς τὴν

τῶν ἀνθρώπων φύσιν τῆς τοῦ ἐχθροῦ δουλείας ἐλευθερώσας καὶ λυτρωσάμενος, πάλιν πρὸς τὴν ἐξ ἀρχῆς ἀνήγαγε τῆς βασιλείας χάριν. Ἡ δὲ μεγάλη εἴσοδος τὴν δευτέραν τοῦ Κυρίου παρουσίαν σημαίνει· καθ' ἣν ἐνταῦθα πάλιν μετὰ δόξης παραγενόμενος ἐπὶ τῷ κρῖναι ζῶντας καὶ νεκρούς, τοὺς ἀξίους μεθ' ἑαυτοῦ συμπαραλαβὼν εἰς τὸν ὑπερουράνιον χῶρον, ἐκεῖ μετ' αὐτῶν ἔσται διηνεκῶς ἀποκαλύπτων τούτοις τὰ τελεώτερα καὶ θειότερα, κατὰ τὸ φάσκον ῥητὸν "ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ." Εἴποι δ' ἄν τις καὶ ἕτερον λόγον· Ὅτι περ ἡ μεγάλη εἴσοδος τὴν τοῦ Σωτῆρος ἡμῶν κηδείαν ὑποτυποῖ· καθ' ἣν νεκρὸς ὑπὸ Ἰωσὴφ καὶ Νικοδήμου πρὸς τὸν τάφον φερόμενος μετὰ μικρὸν ἐξανέστη, καὶ τὸν κόσμον ἅπαντα πρὸς τὴν ἑαυτοῦ γνῶσιν ἐπέστρεψεν· οὕτω κἀνταῦθα φερόμενος ὁ ἱερὸς ἄρτος ἀτελὴς ἔτι καὶ οἷον νεκρὸς μετὰ μικρὸν τῇ τοῦ ζωοποιοῦ Πνεύματος ἐνεργείᾳ ζωοῦται, καὶ πρὸς αὐτὸ τὸ ζωοποιὸν σῶμα καὶ αἷμα μετασκευάζεται. Ταῦτα σοι ἐκ πολλῶν ὀλίγα πρὸς ἀποτροπὴν τῆς ἐκείνων ἀναισχυντίας ἔγραψα.

ΤΟΥ

ΕΝ ΑΡΧΙΕΡΕΥΣΙΝ[1] ΑΓΙΩΤΑΤΟΥ ΚΥΡΙΟΥ ΛΑΖΑΡΟΥ

ΠΡΟΣ ΤΟΝ ΛΑΡΙΣΣΗΣ

ΕΠΙΣΤΟΛΗ,

ΥΠΕΡ ΤΟΥ ΜΗ ΣΥΓΚΟΙΝΩΝΕΙΝ ΤΟΙΣ ΕΤΕΡΟΔΟΞΟΙΣ ΙΤΑΛΟΙΣ.

Ἀπόλωλεν ἄρα παρ' ὑμῖν τοῖς ἀρχιερεῦσι τὸ τιμιώτατον χρῆμα καὶ φυσικώτατον ὃ παρὰ τοῦ ἀρχιερέως εἰλήφατε, ἡ τῆς ἐλευθερίας τιμὴ καὶ δόξα; καθὼς αὐτός φησιν, "ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων," αἱρετικῶν δηλαδὴ καὶ ἀπίστων θηρίων, "καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ." Φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι ἀνελευθέρων γεγόνατε, ὥς περ ἐκ τῶν πατέρων τὸ ἥκειν τοῖς πονηροῖς παραλαβόντες· ἀλλ' ἐκεῖνοί γε πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς πίστεως πολέμους διήνεγκαν· καὶ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικατέστησαν· καὶ οὐδὲν αὐτοῖς ἀπροβούλευτον ἐν ταῖς μάχαις τῶν αἱρετιζόντων ἐπράττετο οὐδὲ αὐτοσχέδιον. Ἀλλ' εὐχὴ μὲν ἀεὶ παντὸς ἔργου προῆγεν αὐτοῖς· τοῖς ἐμπνευσθεῖσι δ' ἐξ εὐχῆς εἵπετο τὰ ἔργα· παρ' ὃ καὶ ἐσφάλλοντο μὲν ἥκιστα· πῶς γὰρ ἔμελλον σφάλλεσθαι, Θεὸν ἔχοντες ἐξ εὐχῆς συνεργὸν καὶ συνέριθον; Κᾂν ἔπταισαν δὲ, ῥᾳδίως τὰ σφάλματα ἀνελάμβανον· οὐ γὰρ ἐκ προθέσεως αὐτοῖς ὁ ὄλισθος, ἀλλ' ἀπὸ συναρπαγῆς. Ἀλλ' ἐκεῖνοι μὲν ἐκ Θεοῦ λαβόντες τὴν τῶν ἀδελφῶν προστασίαν, πολλοὺς καὶ μεγάλους πολέμους ὑπὲρ τῆς πίστεως διήνεγκαν· καὶ οὔτε Ἀρείου, οὔτε Νεστορίου,

[1] Ὁ Ἄρχων Λάζαρος ἔγραψε τήν δε τὴν ἐπιστολὴν προτοῦ αὐτὸν ἀρχιερέα γενέσθαι. (Ὅρα ἐν σελ. ιέ.)

οὔτε Μονοθελητῶν, οὔτε τῆς Εἰκονομάχων δυναστείας ἡττήθησαν· ὑπὲρ τοῦ ποιεῖν τὸ πρὸς Χριστοῦ κελευόμενον, τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων αὐτοῦ τιθέντες καὶ τὸ ποίμνιον αὐτοῦ ἀπήμαντον διασώζειν. Ὑμεῖς δὲ ἐκείνων καὶ τῶν θρόνων καὶ τοῦ τρόπου καὶ τῆς χάριτος γεγονότες διάδοχοι, οὕτως ἀναιμωτὶ καὶ ἀνυδρωτὶ, καὶ ὡς μηδενὸς ὅ φασι τοῦ διώκοντος, πρὸς αἱρετικῶν ἀνθρώπων θέλημα κλιθῆναι καὶ ὑποπεσεῖν ἄνανδρον κατεδέξασθε. Καὶ θαῦμα πῶς τὴν τοσαύτην σωρείαν τῶν ἀγαθῶν εἰς οὐθὲν ὅλως θέμενος, ἐκτὸς τῶν ὑπὲρ Χριστοῦ στιγμάτων τοῦτο πεποίηκας· καὶ οὔτε τὴν σύνεσίν σου τὴν μεγάλην, οὔτε τὴν ἀσφαλῆ φιλίαν, οὔτε τὴν ἀγαθὴν βουλὴν, οὔτε τὴν ἄδολον προαίρεσιν, οὔτε τὴν αὐθέκαστον γνώμην καὶ ἐλευθέραν, οὔτε τὸν μισοπόνηρον τρόπον, οὔτε τὴν οὐχ ἑτεροκλινοῦσαν ψῆφον, ἀλλ' εὐθεῖαν πρὸς τὰ δίκαια· οὔτε παραίνεσιν παιδευτικὴν, οὔτ' ἐπιτίμησιν πατρικὴν, οὔτ' ἄλλοτι συνόλως φάναι τῶν ἀγαθῶν οὐδὲν ὅσα κόσμος τῆς σῆς ἁγίας ψυχῆς ὑπάρχουσιν ἐνεπόδισέ σου τὴν πρὸς τοὺς φαύλους ῥοπήν· ἀλλ' ὡς οὐδενὸς ὄντος τοῦ μέλλοντος ἀπαιτήσειν ἀπὸ σοῦ τὸ τοῦ κόσμου ναυάγιον, ταῖς θωπείαις κατεμαλακίσθης τῆς Δαλιδᾶς ὁ μέγας Σαμψὼν, καὶ τῆς ἀλλοφύλοις ὥς περ ἐκεῖνος ἔκδοτος γέγονας. Ἢ οὖν ἀνδρισάμενος στῆθι ὑπὲρ τῆς προδοθείσης πίστεως, μετὰ σαυτοῦ κἀμὲ προσληψόμενος συναθλοῦντα καὶ συγκακοπαθοῦντά σοι, καὶ μέχρις αἵματος πρὸς τοὺς τυράννους ἀντιμαχησόμενον· ἀδελφοὶ γάρ, φησιν, ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν· ἢ μὴ τοῦτο βούλει, ἀφιλόσοφος ἡ πρόθεσις, παίδων ἀθύρματα καὶ μορμολύκεια δεδιττόμενος· ἀλλὰ θάρσει, ἐγὼ γὰρ τοσοῦτον ἀποδέω κατεπτηχέναι Ἰταλοὺς, μετὰ ταύτην ὑμῶν τῶν ἱερῶν τὴν συναίνεσίν τε καὶ συγκατάθεσιν· ὥς θ' ὑπολαμβάνειν τὸν Θεὸν, Λατίνους μὲν δέλεαρ τοῦτο καθικέναι τοῦ δοῦναι δίκας ἡμῖν τῆς σφῶν ἀσεβείας, τὸ ὑφ' ἡμῶν ἀναθεματισθῆναι καὶ παντελῶς ἐξωσθῆναι ὡς σεσηπότα καὶ διεφθορότα μέλη τοῦ σώματος. Οὔτε οὖν τὸ πεσεῖν, οὔτε τοὐναντίον ἀνθρώποις βέβαιον· ἀλλ' ἔστιν ἰδεῖν ἐπαμειβομένην εἰς ἑκάτερα τὴν τύχην· καὶ τοῦτο μάθοιμεν ἂν ἐκ τῶν ἀρχαίων ὑποδειγμάτων. Πέτρος γὰρ ὁ ὑπὸ Χριστοῦ μαρτυρηθεὶς καὶ τὰς κλεῖς τῆς

βασιλείας ἐγχειρισθεὶς, ἐν τῷ τοῦ πάθους καιρῷ μικρόν τι πειραθῆναι συγχωρηθεὶς, ἐκ τῶν αὐτῷ συμβάντων ἔγνω τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν εἶτα μεταμεληθεὶς καὶ ὀλίγα δακρύσας ἐν τῇ ἰδίᾳ στάσει ἀμετακίνητος ἔμεινε· στηριγμὸς γενόμενος τῶν εἰς ὕστερον μελλόντων ὡς τὸν χοῦν περικειμένοις περιτρεπομένοις καὶ καταπίπτουσιν. Ὡσαύτως δὲ καὶ ὁ ἐκ Περσίδος πολύαθλος Ἰάκωβος, καὶ οὕτως ταῖς τοῦ βασιλέως θωπείαις ἐπικλασθεὶς καὶ πρὸς ἀσέβειαν ὑπαχθεὶς, εἶτα ὑπὸ τῶν πρὸς γένους ὀνειδισθεὶς καὶ πρὸς ζῆλον ἐκκαυθεὶς, παῤῥησιασάμενος τὴν εὐσέβειαν τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Ἀλλὰ τίς ἄρα λόγος περιλαβεῖν ἰσχύσει τὸν ἀριθμὸν τῶν μικρὸν τῆς εὐθείας περιτραπέντων, εἶτα θερμοτέρῳ ζήλῳ ταύτην ἐπανῃρημένων ; πᾶσα γὰρ σχεδὸν ἡ τοῦ ἀνθρώπου ζωὴ τοῦτο καθέστηκε· τὸ γὰρ μὴ ποσῶς τρέπεσθαι, τῆς ἀσωμάτου καθέστηκε φύσεως. Ναὶ δέσποτά μου, ναὶ πάτερ μου γλυκύτατε, ναὶ φῶς τῶν ἐμῶν ὀφθαλμῶν, ναὶ καλλώπισμα τοῦ γένους, δεῖξον μεταμειβομένην τὴν τύχην· καὶ ὥς περ ἐκράτησαν ὑμῶν διὰ τῶν προσκαίρων δωρεῶν καὶ τιμῶν οἱ ὑπεναντίοι, ἁλώσονται νῦν, καὶ αἰσχυνθήσονται τῇ ὑμῶν μεταβολῇ οἱ κρατεῖν δοκήσαντες· τὸ γὰρ ἄγαν πεποιθὸς ἀφύλακτον· ὁ ὄλισθος δὲ οὗτος διδάξει ὑμᾶς τὴν προμήθειαν, ὥστε ἐμοὶ μᾶλλον κἀκ τοῦ πεσεῖν ὑμᾶς παρίσταται θαῤῥεῖν. Εἰ μὲν γὰρ ἐθρασύνεσθε πέρα τοῦ δέοντος, καὶ κατὰ τοῦ κρατοῦντος καὶ τῶν Φράγγων ἐξορμᾶσθε, καιρὸν ἂν εἶχεν ἡ ἐκείνων αἵρεσις· νῦν δὲ ἡ ἧττα ὑμῶν καὶ τὸ δοκοῦν ἄθυμον, ἀσφάλειαν ἐμοὶ νίκης ἐγγυᾶται, μαρτυρικῷ στεφάνῳ ταινιῶσαι τὰς κεφαλάς· μόνον ἐγείρατε τὰ φρονήματα καὶ πείσατε τοὺς ἀσεβεῖς, ὡς οὔτε βασιλικαὶ δωρεαὶ, οὔτ' ἀπειλαὶ ταπεινώσειάν ποτε τὴν τῶν ἀληθινῶν ἀρχιερέων ἀνδραγαθίαν, ἐφ' ὅσον τὰς ψυχὰς ἔχουσιν· οὐδὲ περιόψεταί τις τὸν ἀσεβέστατον Ἰταλὸν τῆς ἑαυτοῦ πίστεως καὶ εὐσεβίας ἀντινομοθέτην γενόμενον· ὃν ἐκ μακροῦ ἐξ ἑαυτοῦ ὡς σεσηπὸς μέλος ἐξέκοψεν. Ὑμεῖς τοίνυν, ὦ πανάγιε δέποτα, πρῶτον μὲν ἐνθυμούμενοι τὴν ἱερὰν τάξιν ὑμῶν, ἔπειτα τὸν ποιησάμενον ὑμᾶς ἀνθ' ἑαυτοῦ ποιμένας καὶ διδασκάλους τῆς ἑαυτοῦ Ἐκκλησίας, καὶ ποίμνης Ἰησοῦν Χριστὸν τὸν Υἱοῦ τοῦ Θεοῦ, τρίτον ἐμὲ

τὸν ἐν οἷς ἔξεστιν σιωπᾷν ζήλῳ θείῳ καὶ πόθῳ παρακαλοῦντα καὶ διεγείροντα, μείνατε ἑδραῖοι, ἀμετακίνητοι, μέχρις αἵματος ἀνδριζόμενοι κατὰ τῆς ἀσεβείας· τὸ γὰρ παραθαῤῥύνειν ἐπὶ, τὰ μὴ φέροντα τῷ σώματι κίνδυνον αὐτόθεν τοῖς παραθαῤῥυνομένοις ἀκλεές· ἀμέλει καὶ τὸ παραθαῤῥύνον φέρει κατάγνωσιν ἀνανδρίας. Δεῖ δὲ, οἶμαι, προτροπῆς εἰκόνα τὰ σφαλερὰ τῶν πραγμάτων, ὡς ἐκεῖνά γε, καθ' αὑτοὺς, πράττειν ἄξιον· τὸ δ' ὅτι μάλιστα προσήκει μάχεσθαι τοῖς δυσκόλοις τοὺς ἀρετῆς ἐφιεμένους· ὅτι καλὸν ἐν εὐκλείᾳ τελευτᾷν· καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος λήψεσθε τὸν τῆς δικαιοσύνης στέφανον ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. Ἀνδρίζου, ἴσχυε, κόσμησον τὸ λευκὸν τῆς πολιᾶς τῷ ἐρυθρῷ τοῦ μαρτυρικοῦ αἵματος, ὁμολόγησον τὴν καλὴν ὁμολογίαν, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ καθὼς παρέλαβες δόξασον, καὶ ἔμπροσθεν τῶν ἀνθρώπων φανέρωσον τὴν εὐσέβειαν, ἵνα καὶ αὐτὸς ὁμολογήσῃ σε ἐνώπιον τῶν ἐκλεκτῶν ἀγγέλων καὶ τοῦ Πατρός. Αὐτὸς δὲ ὁ μόνος ἀΐδιος ὁ τῶν ὅλων ποιητὴς, σθενῶσαι, καταρτίσαι ὑμᾶς, καὶ χαρίσαι τὸ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, καὶ δοξάσαι αὐτὸν ἐν τοῖς μέλεσιν, ἵνα καὶ ἐν μερίδι δικαίων καὶ κλήρῳ φωτεινῷ συναριθμήσειεν· ἔνθα ἦχος, ἑορταζόντων, ἔνθα πανήγυρις πρωτοτόκων ἀπογεγραμμένων ἐν βίβλῳ ζωῆς, μετὰ Ἀγγέλων, μετὰ Ἀρχαγγέλων, μετὰ Ἀποστόλων καὶ Προφητῶν καὶ Μαρτύρων, τὴν μακαρίαν Τριάδα ἐποπτεύων εἰς ἀπεράντους αἰῶνας, ᾗ πρέπει τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ.